ΙΣΙΔΩΡΟΥ ΠΗΛΟΥΣΙΩΤΟΥ

ΑΠΑΝΤΑ ΤΑ ΕΡΓΑ

3

ΕΠΙΣΤΟΛΕΣ

ΒΙΒΛΙΟ Γ΄.

ΕΠΙΣΤΟΛΕΣ Α΄. –ΥΙΓ΄.

Εισαγωγη Κειμενο - Μεταφραση - Σχολια
απο τον
Παναγιωτη Παπαευαγγελου
Διδακτορα θεολογιας

ΙΣΙΔΩΡΟΥ ΠΗΛΟΥΣΙΩΤΟΥ

ΑΠΑΝΤΑ ΤΑ ΕΡΓΑ

3

ΕΠΟΠΤΗΣ - ΕΠΙΜΕΛΗΤΗΣ ΕΚΔΟΣΕΩΣ
ΕΛΕΥΘ. Γ. ΜΕΡΕΤΑΚΗΣ, Π. ΘΕΟΛΟΓΙΑΣ

ΕΠΕ

ΕΚΔΟΤΙΚΟΣ ΟΙΚΟΣ ΕΛΕΥΘΕΡΙΟΥ ΜΕΡΕΤΑΚΗ
«ΤΟ ΒΥΖΑΝΤΙΟΝ»
ΠΑΤΕΡΙΚΑΙ ΕΚΔΟΣΕΙΣ ΓΡΗΓΟΡΙΟΣ Ο ΠΑΛΑΜΑΣ
ΘΕΣΣΑΛΟΝΙΚΗ, ΦΕΒΡΟΥΑΡΙΟΣ 2000

ΙΣΙΔΩΡΟΣ ΠΗΛΟΥΣΙΩΤΗΣ

ΑΠΑΝΤΑ ΤΑ ΕΡΓΑ

Copyright :
ΕΛΕΥΘΕΡΙΟΣ ΜΕΡΕΤΑΚΗΣ
Γ. Μπακατσέλου 3, Θεσσαλονίκη
Τ. Θ. 400 90. 560 10 Θεσσαλονίκη
Τηλ. 031/283 880. Οἰκίας 031/696 653.

ΕΙΣΑΓΩΓΙΚΟ ΣΗΜΕΙΩΜΑ

Στὸν τόμο αὐτὸ συνεχίζεται ἡ ἔκδοση τῶν Ἐπιστολῶν τοῦ ἁγίου Ἰσιδώρου τοῦ Πηλουσιώτου μὲ τὴν ἔκδοση τοῦ Γ΄ Βιβλίου αὐτοῦ, τὸ ὁποῖο περιλαμβάνει 413 ἐπιστολές.

Οἱ 413 Ἐπιστολὲς τοῦ Γ΄ Βιβλίου ἀπευθύνονται σὲ 152 διαφορετικὰ πρόσωπα, τὰ ὁποῖα κατ' ἀλφαβητικὴ σειρὰ εἶναι:

		Ἐπιστολὲς
1	ΑΓΑΘΟΔΑΙΜΟΝΙ ΓΡΑΜΜΑΤΙΚΩ ΤΓ΄.	1
2	ΑΓΑΘΩ ΠΡΕΣΒΥΤΕΡΩ ΙΗ΄, ΚΖ΄, ΠΔ΄, ΡΞ΄΄.	4
3	ΑΓΑΘΩΝΙ ΠΡΕΣΒΥΤΕΡΩ ΣΒ΄, Σϛ΄.	2
4	ΑΕΤΙΩ ΡΝΘ΄.	1
5	ΑΕΤΙΩ ΚΟΜΗΤΙ ΡΜΑ΄, ΤΚΗ΄.	2
6	ΑΘΑΝΑΣΙΩ ΠΡΕΣΒΥΤΕΡΩ ΙΘ΄, ΞΒ΄, ΡΞΘ΄, ΣΝΗ΄.	4
7	ΑΛΥΠΙΩ ΡΙΒ΄, ΡΠ΄, ΤΒ΄, Τϛ΄.	4
8	ΑΛΥΠΙΩ ΕΠΙΣΚΟΠΩ ΣΛΔ΄.	1
9	ΑΛΦΙΩ ΡΝΓ΄.	1
10	ΑΛΦΙΩ ΕΠΙΣΚΟΠΩ ΡΝ΄, ΡΝΑ΄.	2
11	ΑΜΜΩΝΙ ΠΒ΄.	1
12	ΑΜΜΩΝΙΩ Γ΄, ΡΚϛ΄.	2
13	ΑΜΜΩΝΙΩ ΤΡΙΒΟΥΝΩ ΤΗ΄.	1
14	ΑΝΤΙΟΧΩ ΡΔ΄, ΣΛΑ΄.	2
15	ΑΝΤΙΟΧΩ ΣΧΟΛΑΣΤΙΚΩ Ζ΄.	1
16	ΑΝΤΩΝΙΩ ΣΧΟΛΑΣΤΙΚΩ ΤΝΑ΄, ΤΝΒ΄.	2
17	ΑΠΟΛΛΩΝΙΩ ΕΠΙΣΚΟΠΩ, ΝΗ΄, ΡΛΖ΄, ΡΛΗ΄, ΣΞΕ΄, ΣΟΓ΄, ΤΞΓ΄.	6
18	ΑΡΑΒΙΑΝΩ ΕΠΙΣΚΟΠΩ Σϛ΄.	1
19	ΑΡΠΟΚΡΑ ΣΟΦΙΣΤΗ ΛΖ΄, ΡΝΔ΄, ΤΜΕ΄, Τϛ΄,	4

20 ΑΡΣΕΝΟΦΙῼ ΑΝΑΓΝΩΣΤΗ ΡΟΑ′, ΡΟΒ′, ΡΟΓ′, 3
21 ΑΡΧΟΝΤΙῼ Τ⸗Θ′. 1
22 ΑΡΧΟΝΤΙῼ ΠΟΛΙΤΕΥΟΜΕΝῼ ΟϚ, ΣΠΒ′, ΤΑ′, 3
23 ΑΡΧΟΝΤΙῼ ΠΡΕΣΒΥΤΕΡῼ Λ′, ΡΝϚ, ΡΞΑ′, ΡΞϚ, ΤΟΔ′, 5
24 ΑΣΚΛΗΠΙῼ ΕΠΙΣΚΟΠῼ ΣΖ′, ΤΙΘ′, ΤΚ′, ΤΚΑ′. 4
25 ΑΣΚΛΗΠΙῼ ΣΟΦΙΣΤΗ ΚΓ′. 1
26 ΑΥΞΟΝΙῼ ΚΟΡΡΗΚΤΟΡΙ ΣΚ′. 1
27 ΑΦΘΟΝΙῼ ΣΟϚ. 1
28 ΑΦΘΟΝΙῼ ΕΠΙΣΚΟΠῼ, ΚΗ′. 1
29 ΑΦΡΟΔΙΣΙῼ ΠΡΕΣΒΥΤΕΡῼ Η′, ΣΛ′, ΣΟΑ′, ΣΟΔ′. 4
30 ΓΕΡΜΑΝῼ Σ⸗Α′. 1
31 ΓΕΡΜΑΝῼ ΚΟΜΗΤΙ ΤΟΖ′. 1
32 ΔΑΝΙΗΛ ΠΡΕΣΒΥΤΕΡῼ Σ⸗Β′, ΤΙΑ′, ΤΛΑ′, 3
33 ΔΙΟΓΕΝΕΙ ΔΙΑΚΟΝῼ ΥΖ′. 1
34 ΔΙΟΓΕΝΕΙ ΜΑΓΙΣΤΡΙΑΝῼ ΤΠΘ′. 1
35 ΔΙΟΓΕΝΕΙ ΠΡΕΣΒΥΤΕΡῼ ΤΠΓ′, ΥΙΓ′. 2
36 ΔΙΟΣΚΟΡῼ ΣΜΔ′. 1
37 ΔΩΡΟΘΕῼ ΛΑΜΠΡΟΤΑΤῼ ΡΟΕ′, ΣΝΒ′, ΤΠΑ′, ΤΠΒ′, Τ⸗Δ′. 5
38 ΕΛΙΣΣΑΙῼ ΜΟΝΑΧῼ, ΙΕ′, ΙϚ, ΤΠϚ. 3
39 ΕΠΙΜΑΧῼ ΣΧΟΛΑΣΤΙΚῼ ΤΟΗ′. 1
40 ΕΡΜΕΙΑᾷ ΓΡΑΜΜΑΤΙΚῼ ΤΝ′. 1
41 ΕΡΜΙΝῼ, ΔΩΡΟΘΕῼ, ΙΕΡΑΚΙ ΛΑΜΠΡΟΤΑΤῼ, ΤΟΓ′. 1
42 ΕΡΜΙΝῼ ΚΟΜΗΤΙ, Ρ⸗Ε′, ΣΝΓ′, ΣΝΕ′, ΤΟ′, ΤΟΕ′. 5
43 ΕΡΜΟΓΕΝΕΙ ΕΠΙΣΚΟΠῼ, Κ′, ΚΑ′, ΚΘ′, ⸗Θ′, ΡΓ′, ΡΛ′, ΣΝΘ′, ΤΞΒ′. 8
44 ΕΡΜΟΓΕΝΕΙ ΚΑΙ ΛΑΜΠΕΤΙῼ ΕΠΙΣΚΟΠῼ ΤΞΖ′. 1
45 ΕΥΔΑΙΜΟΝΙ ΡΙΕ′, ΣΜΓ′, ΣΝϚ. 3
46 ΕΥΛΟΓΙῼ ΡΠΔ′, ΣΛϚ. 2
47 ΕΥΣΤΑΘΙῼ ΔΙΑΚΟΝῼ ΤΞΘ′. 1
48 ΕΥΣΤΑΘΙῼ ΠΡΕΣΒΥΤΕΡῼ ΣΙΑ′. 1
49 ΕΥΤΟΝΙῼ, ΛΔ′. 1
50 ΕΥΤΟΝΙῼ ΔΙΑΚΟΝῼ, Δ′, Ε′, Ξ′, ΠΓ′, ΡΖ′, ΡΗ′, ΡΘ′, ΡΚΑ′,

ΡΜΖ′, ΡΜΗ′, ΡΜΘ′, ΡΞΗ′, ΡΟΔ′, ΡΠΑ′, ΣΓ′, ΣΜΖ′, ΣΞϛ′, ΣΞΖ′, ΣΠ′, ΣΠΑ′. 20

51 ΖΗΝΩΝΙ ΜΟΝΑΧΩ ΥΗ′. 1

52 ΖΗΝΩΝΙ ΠΡΕΣΒΥΤΕΡΩ Ρ϶′. 1

53 ΖΩΣΙΜΩ ΒΙΒΛΙΟΦΟΡΩ Πϛ′. 1

54 ΖΩΣΙΜΩ ΚΑΙ ΜΑΡΩΝΙ Υϛ′. 1

55 ΖΩΣΙΜΩ ΠΡΕΣΒΥΤΕΡΩ, Α′, ΝΔ′, ΝΘ′, ΞΖ′, Π, ΠΑ′, ϶′, ϶Ζ′, ΡΙΓ′, ΡΛΔ′, ΡΜΓ′, ΡΠΘ′, ΣΙ′, ΣΙΗ, ΣΚΔ′, ΣΛΕ′, ΣΜΗ′, ΣΞ′, ΣΞΑ′, ΤΚΓ′, ΤΜ′, ΤΞΗ′, ΥΑ′. 23

56 ΗΓΟΥΜΕΝΩ ΤΙΝΙ ΤΟϛ′. 1

57 ΗΛΙΑ ΣΠϛ′. 1

58 ΗΡΑΚΛΕΙΔΗ ΕΠΙΣΚΟΠΩ Ι′. 1

59 ΗΡΑΚΛΕΙΩ ΕΠΙΣΚΟΠΩ ΟΒ′, ΣΞΒ′. 2

60 ΗΡΩΝΙ ΤΛΒ′. 1

61 ΗΡΩΝΙ ΜΟΝΑΖΟΝΤΙ ΣΛΖ′. 1

62 ΗΡΩΝΙ ΠΟΛΙΤΕΥΟΜΕΝΩ ΤΛϛ′. 1

63 ΗΡΩΝΙ ΣΧΟΛΑΣΤΙΚΩ ϛ′, ΣΙΕ′. 2

64 ΗΣΑΪΑ Ρ϶Σ′, ΤΜΗ′, ΤΝΖ′, ΤΝΗ′. 4

65 ΗΣΑΪΑ ΣΤΡΑΤΙΩΤΗ ΛΒ′, ΝΒ′, ΡΝΕ′, ΤΖ′. 4

66 ΘΕΟΓΝΟΣΤΩ ΠΡΕΣΒΥΤΕΡΩ ΞΗ′, ΡΜΣ′, Ρ϶Ζ′. 3

67 ΘΕΟΔΟΣΙΩ ΕΠΙΣΚΟΠΩ ΙΖ′, ΟΔ′, ΟΕ′, ΡΚΖ′, ΡΜΒ′, ΣΑ′, ΣΜΕ′, ΤΛ′, ΤΛΖ′, Τ϶Ζ′. 10

68 ΘΕΟΔΟΣΙΩ ΠΡΕΣΒΥΤΕΡΩ ΤΜΘ′, ΤΟΑ′, ΤΠΕ′. 3

69 ΘΕΟΔΟΣΙΩ ΣΧΟΛΑΣΤΙΚΩ ΡΠΕ′, ΣΠΓ′. 2

70 ΘΕΟΔΩΡΩ ΑΥΓΟΥΣΤΑΛΙΩ Ν′. 1

71 ΘΕΟΔΩΡΩ ΛΑΜΠΡΟΤΑΤΩ ΣΠΘ′. 1

72 ΘΕΟΔΩΡΩ ΣΧΟΛΑΣΤΙΚΩ, Μ′, ΜΑ′, ΜΒ′, ΡΒ′, ΡΞΔ′, ΤΟΘ′. 6

73 ΘΕΙΚΤΙΣΤΩ ΙΑ′, ΙΒ′, ΙΓ′, ΙΔ′. 4

74 ΘΕΟΠΟΜΠΩ ΞΓ, 1

75 ΘΕΟΠΕΜΠΤΩ (ΘΕΟΠΟΜΠΩ) ΕΠΙΣΚΟΠΩ ΣΠΔ′, ΣΠΕ′. 2

76 ΘΕΟΦΙΛΩ ΥΠΟΔΙΑΚΟΝΩ ϶Α′, ΤΔ′. 2

77	ΘΕΩΝΙ ΤΙΖ′, ΤΜΒ′.	2
78	ΘΕΩΝΙ ΕΠΙΣΚΟΠῼ ΡΠΣ′, ΡΠΖ′, ΡΠΗ′, Σ϶Θ′.	4
79	ΘΕΩΝΙ ΠΡΕΣΒΥΤΕΡῼ ΤΟΒ′.	1
80	ΘΩΜᾷ ΜΟΝΑΖΟΝΤΙ ΡΟΗ′.	1
81	ΙΕΡΑΚΙ ΛΑΜΠΡΟΤΑΤῼ ΤΜΔ′, ΤΞΑ′, Τ϶Β′.	3
82	ΙΕΡΑΚΙ ΠΡΕΣΒΥΤΕΡῼ, ΛΕ′, Ρ϶Η′, ΣΚΓ′, ΣΟΗ′, ΤΙϚ′, ΤΠΗ′.	6
83	ΙΣΙΔΩΡῼ ΔΙΑΚΟΝῼ ΚΒ′, ΟΖ′, ΟΗ, ′ ΠΘ′, ϶Ε′, ΡϚ′, ΡΙ′, ΡΙΗ′, ΡΚ′, ΡΚΕ′, ΡΚΗ′, ΡΚΘ′, ΡΝΒ′, ΡΟϚ′, ΣΔ′, ΣΜΘ′, ΣΝ′, ΣΝΑ′, ΣΞΗ′, ΤΙΗ′.	20
84	ΙΣΙΔΩΡῼ ΣΧΟΛΑΣΤΙΚῼ ΝΖ′.	1
85	ΙΣΧΥΡΙΩΝΙ ΡΙΖ′.	1
86	ΙΣΧΥΡΙΩΝΙ ΠΡΕΣΒΥΤΕΡῼ ΤΛΔ′, ΤΛΕ′.	2
87	ΚΑΣΣΙΑΝῼ ΔΙΑΚΟΝῼ ΥΒ′, ΥΓ′.	2
88	ΚΑΣΙῼ ΠΟΛΙΤΕΥΟΜΕΝῼ ΡΝΖ′, ΡΝΗ′.	2
89	ΚΑΣΙῼ ΠΡΕΣΒΥΤΕΡῼ ΚϚ′, ΡΙΑ′, Υ′.	3
90	ΚΥΡΙΛΛῼ ΕΠΙΣΚΟΠῼ ΤϚ′.	1
91	ΚΥΡῼ ΜΟΝΑΖΟΝΤΙ ΣΟΒ′.	1
92	ΛΑΜΠΕΤΙῼ ΡΙΔ′.	1
93	ΛΑΜΠΕΤΙῼ ΔΙΑΚΟΝῼ ΤΙΓ′, Τ϶′, Τ϶Α′.	3
94	ΛΑΜΠΕΤΙ{Ω ΕΠΙΣΚΟΠῼ, ΜϚ′, ΜΖ′, ΜΗ′, ΝΓ′, ΡΛΑ′, ΡΛΒ′, ΡΠΒ′, Ρ϶Γ′, Σ′, ΣΙΔ′, ΣΜ′, ΣΜΑ′, ΣΟ′, ΤΜϚ′, ΥΘ′.	15
95	ΛΕΟΝΤΙῼ ΤΞ′.	1
96	ΛΕΟΝΤΙῼ ΕΠΙΣΚΟΠῼ ΠΖ′, ΠΗ′, ΤΠΖ′.	3
97	ΛΕΟΝΤΙῼ ΜΑΓΙΣΤΡῼ ΣΚΘ′.	1
98	ΛΥΣΟΝΙῼ, ΔΙΟΝΥΣΙῼ ΚΟΡΡΗΚΤΟΡΙ, Θ′.	1
99	ΛΥΣΟΝΙῼ ΚΟΡΡΗΚΤΟΡΙ ΣΞΓ′, ΣΞΔ′, ΤΙΕ′, ΤΝΘ′, Τ϶Ϛ′.	5
100	ΜΑΚΑΡΙῼ ΠΡΕΣΒΥΤΕΡῼ ΤΚΘ′.	1
101	ΜΑΡΤΙΝΙΑΝῼ, ΖΩΣΙΜῼ, ΜΑΡΩΝΙ, ΕΥΣΤΑΘΙῼ, ΣΟΕ′, ΤΛΓ′, ΤΞϚ′.	3
102	ΜΑΡΤΙΝΙΑΝῼ ΚΑΙ ΜΑΡΩΝΙ ΥΙΒ′.	1
103	ΜΑΡΤΙΝΙΑΝῼ ΠΡΕΣΒΥΤΕΡῼ ΠΕ′, ΤΚΒ′, ΥΙ′.	3

104 ΜΑΡΤΥΡΙῼ ΑΝΑΓΝΩΣΤΗ ΚΔ′. 1
105 ΜΑΡΤΥΡΙῼ ΠΡΕΣΒΥΤΕΡῼ ΡΞΒ′, ΡΞΓ′, ΤΘ′, ΤΝΕ′, ΤΝϚ′. 5
106 ΜΑΡΩΝΙ ΡΞΖ′, ΥΔ′. 2
107 ΜΑΡΩΝΙ ΚΑΙ ΕΥΣΤΑΘΙῼ ΣΚΑ′, ΣΚΒ′. 2
108 ΜΑΡΩΝΙ ΠΡΕΣΒΥΤΕΡῼ Ρ′, ΡΑ′, ΡΕ′, ΡΙϚ′. 4
109 ΜΑΡΩΝΙ, ΠΑΛΛΑΔΙῼ, ΕΥΣΤΑΘΙῼ, ΖΩΣΙΜῼ ΞΑ′. 1
110 ΝΕΙΛΑΜΜΩΝΙ, ΔΙΑΚΟΝῼ ΙΑΤΡῼ, ΟΑ′, ΤΞΔ′. 2
111 ΝΕΙΛΑΜΜΩΝΙ ΚΑΙ ΝΕΙΛΑΜΜΩΝΙ ΣΠΗ′. 1
112 ΝΕΙΛΑΜΜΩΝΙ ΠΡΕΣΒΥΤΕΡῼ Σϟ′. 1
113 ΝΕΙΛΑΜΜΩΝΙ ΣΧΟΛΑΣΤΙΚῼ ΣΜΒ′. 1
114 ΝΕΙΛῼ ΞΘ′, ΡΛΘ′. 2
115 ΝΕΙΛῼ ΓΡΑΜΜΑΤΙΚῼ ΣΕ′. 1
116 ΝΕΙΛῼ ΔΙΑΚΟΝῼ ΞΕ′, ΞϚ′. 2
117 ΝΕΜΕΣΣΙΑΝῼ ΣΧΟΛΑΣΤΙΚῼ ΤΛΘ′. 1
118 ΟΥΡΣΕΝΟΥΦΙῼ ΑΝΑΓΝΩΣΤΗ ΣΙΘ′. 1
119 ΠΑΛΛΑΔΙῼ ΜΘ′, ΟΓ′, ΟΘ′. 3
120 ΠΑΛΛΑΔΙῼ ΔΙΑΚΟΝῼ ΣΙΓ′, ΣΙϚ′, ΣΛΘ′, ΤΙΒ′, ΤΕ′, ΥΕ′. 6
121 ΠΑΛΛΑΔΙῼ ΕΠΙΣΚΟΠῼ ΡΜ′. 1
122 ΠΑΛΛΑΔΙῼ ΥΠΟΔΙΑΚΟΝῼ ΡΜΔ′. 1
123 ΠΑΜΠΡΕΠΙῼ ΔΙΑΚΟΝῼ ΣΛΗ′. 1
124 ΠΑΜΠΡΕΤΙῼ ΔΙΑΚΟΝῼ ΣΚϚ′. 1
125 ΠΑΥΛῼ, ΛΓ′, ΜΓ′, ΝΕ′, ΞΔ′, ϟϚ′, ΡΙΘ′, ΡΚΒ′, ΡΚΔ′, ΡΛΕ′, ΡΠΓ′, Ρϟ′, Ρϟ′, ΣΙΒ′, ΣΝΔ′, ΣΝΖ′, ΣΞΘ′, Σϟ′, Σϟ′, ΤΜΑ′. 19
126 ΠΑΥΛῼ ΜΟΝΑΖΟΝΤΙ ΣΛΒ′, ΣΛΓ′. 2
127 ΠΑΥΛῼ ΠΡΕΣΒΥΤΕΡῼ ΝΑ′, ΣΟΖ′, ΤΝΔ′. 3
128 ΠΑΥΛῼ ΤΡΙΒΟΥΝῼ ΤΜΖ′. 1
129 ΠΑΥΛῼ ΥΠΟΔΙΑΚΟΝῼ ΡΞΕ′. 1
130 ΠΕΤΡῼ ΡΚΓ′, ΡΟ′, ΣΜϚ′, ΣΟΘ′, Σϟ′, Τ′, ΤΜΓ′, ΥΙΑ′. 8
131 ΠΕΤΡῼ ΑΝΑΓΝΩΣΤΗ ΡΟΖ′, ΤΕ′. 2
132 ΠΕΤΡῼ ΚΟΡΡΗΚΤΟΡΙ ΡΜΕ′. 1
133 ΠΕΤΡῼ ΜΟΝΑΖΟΝΤΙ Ρ ϟΘ′, ΣΗ′. 2

134	ΠΕΤΡῼ ΣΧΟΛΑΣΤΙΚῼ ΡΛΓ', ΤΙ', ΤΙΔ', Τ϶Ε'.	4
135	ΠΟΙΜΕΝΙῼ ΠΡΕΣΒΥΤΕΡῼ ΡΟΘ'.	1
136	ΣΕΡΑΠΙΩΝΙ ΕΠΙΣΚΟΠῼ, ΜΔ'.	1
137	ΣΕΡΗΝῼ ΔΙΑΚΟΝῼ ΣΙΖ'.	1
138	ΣΕΡΗΝῼ, ΛΗ', ΤΚΕ', ΤΚϚ'.	3
139	ΣΤΡΑΤΗΓΙῼ ΜΟΝΑΧῼ, ϶Η', ΣΚΕ', ΣΚΖ', ΣΚΗ', ΤΚΔ'.	5
140	ΣΤΡΑΤΗΓΙῼ ΣΧΟΛΑΣΤΙΚῼ ΤΚΖ'.	1
141	ΣΥΡΙΩΝΙ, ΚΕ'.	1
142	ΤΑΥΡῼ ΥΠΑΡΧῼ Ρ϶Δ', ΤΞΕ'.	2
143	ΤΙΜΟΘΕῼ ΛΑΜΠΡΟΤΑΤῼ ΤΝΓ', ΤΠΔ'.	2
144	ΤΙΜΟΘΕῼ ΣΧΟΛΑΣΤΙΚῼ ΤΠ'.	1
145	ΤΟΙΣ ΒΟΝΘΟΥ ΤΟΥ ΠΡΕΣΒΥΤΕΡΟΥ ΦΟΙΤΗΤΑΙΣ, ΣΠΖ'.	1
146	ΤΟΙΣ ΤΟΥ ΔΩΡΟΘΕΟΥ ΠΑΙΣΙΝ ΝϚ'.	1
147	ΧΑΙΡΗΜΟΝΙ ΔΙΑΚΟΝῼ ΛΘ', ΣΘ', Σ϶'.	3
148	ΧΑΙΡΗΜΟΝΙ, ΖΩΣΙΜῼ, ΜΑΡΩΝΙ Σ϶Ε'.	1
149	ΧΑΙΡΗΜΟΝΙ, ΖΩΣΙΜῼ, ΜΑΡΩΝΙ, ΕΥΣΤΑΘΙῼ ΛϚ'.	1
150	ΩΡΙΩΝΙ ΡΛϚ', ΤΛΗ'.	2
151	ΩΡΙΩΝΙ ΜΟΝΑΖΟΝΤΙ ΜΕ'.	1
152	ΩΦΕΛΙῼ ΓΡΑΜΜΑΤΙΚῼ ΛΑ', Ο', ϶Β', ϶Γ', ϶Δ'.	5
Σύνολο ἐπιστολῶν		413

Ἀπὸ τὶς ἐπιστολὲς αὐτὲς ἄλλες εἶναι φιλικές, ἄλλες συμβουλευτικές, ἄλλες παραμυθητικές, ἄλλες ἐπαινετικές, καὶ ἕνα μεγάλο μέρος αὐτῶν ἑρμηνευτικὲς ἀσαφῶν χωρίων τῆς ἁγίας Γραφῆς, χωρὶς φυσικὰ νὰ παραλείπεται νὰ θιγοῦν θεολογικά, κοινωνικὰ καὶ ἠθικὰ θέματα. Προσεκτικὴ μελέτη αὐτῶν θὰ δείξει τὸ πόσο βαθειὰ ἦταν ἐμποτισμένο ἀπὸ τὴ θεία χάρη τὸ πνεῦμα τοῦ ἁγίου αὐτοῦ πατρός, τοῦ ἰσάξιου τῶν ἄλλων μεγάλων πατέρων τῆς Ἐκκλησίας μας.

Τὸ κείμενο καὶ αὐτοῦ τοῦ τόμου, λαμβάνεται ἀπὸ τὴν PG, στὸ ὁποῖο ἔχουν γίνει σημαντικὲς διορθώσεις ἰδίως στὴ στίξη, καὶ τέθηκαν οἱ τίτλοι στὶς Ἐπιστολὲς ποὺ ἔλειπαν.

ΙΣΙΔΩΡΟΥ ΤΟΥ ΠΗΛΟΥΣΙΩΤΗ

ΕΠΙΣΤΟΛΕΣ

ΒΙΒΛΙΟ ΤΡΙΤΟΝ

ΙΣΙΔΩΡΟΥ ΤΟΥ ΠΗΛΟΥΣΙΩΤΟΥ

ΕΠΙΣΤΟΛΑΙ

ΒΙΒΛΙΟΝ ΤΡΙΤΟΝ
(PG 78, 727-1048)

Α΄.– ΖΩΣΙΜΩ ΠΡΕΣΒΥΤΕΡΩ
Παραινετική.

Εἰ οὔτε γεέννης οὔτε βασιλείας σοι λόγος οὐδείς, ἀλλά γε κἂν τὰς παρούσας δίκαιος ἂν εἴης ἀποτρίψασθαι κωμῳδίας.

Β΄.– ΜΑΡΩΝΙ
Περὶ τῆς μελλούσης κρίσεως.

Οὐκ ἀμφίδοξον, ἀλλ' ἔνδοξον ὄντα καὶ γνώριμον καὶ ἀληθῆ καὶ παρὰ πάντων τῶν σοφῶν καὶ τῶν ἱερῶν Γραφῶν ὁμολογούμενον καὶ πάντως ἐσόμενον, τῆς κρίσεως λόγον, ἐν στέρνοις δίκαιος ἂν εἴης ἔχειν, καὶ παύσασθαι ὧν κρίσιν μὴ εἶναι νομίζων πράττεις, ἵνα καὶ σαυτὸν κολάσεως, καὶ τοὺς ὁρῶντας σκανδάλου, καὶ ἡμᾶς λύπης, καὶ τοὺς ῥαθύμους ἀπογνώσεως ἀπαλλάξῃς.

Γ΄.– ΑΜΜΩΝΙΩ
Εἰς τό, «Ὁ μὴ ὢν καθ' ἡμῶν, ὑπὲρ ἡμῶν ἐστιν».

Ἐν καιρῷ πολέμου οὐ μόνον τὸν συντοξεύοντα, ἀλλὰ καὶ τὸν ἐν τοῖς ἐναντίοις μὲν τετάχθαι δοκοῦντα, μὴ κατατοξεύοντα

---

1. Ματθ. 12, 30.

ΙΣΙΔΩΡΟΥ ΤΟΥ ΠΗΛΟΥΣΙΩΤΗ

ΕΠΙΣΤΟΛΕΣ

ΒΙΒΛΙΟ ΤΡΙΤΟ
(PG 78, 727-1048)

1.– ΣΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟ ΖΩΣΙΜΟ
Παραινετική.

Ἐὰν οὔτε γιὰ τὴν κόλαση οὔτε γιὰ τὴ βασιλεία ἰσχύει γιὰ σένα κανένας λόγος, θὰ ἔπρεπε τουλάχιστο νὰ σταματήσεις τὶς τωρινὲς κωμωδίες.

2.– ΣΤΟΝ ΜΑΡΩΝΑ
Γιὰ τὴ μέλλουσα κρίση.

Ἐπειδὴ δὲν εἶσαι ἀμφισβητούμενη, ἀλλὰ περιλάλητη καὶ γνωστὴ καὶ ἀληθινὴ καὶ ἀναγνωρισμένη ἀπὸ ὅλους τοὺς σοφοὺς καὶ τὶς ἅγιες Γραφές, καὶ ὅτι ὁπωσδήποτε θὰ γίνει ἡ ἀπολογία κατὰ τὴν κρίση, θὰ ἔπρεπε νὰ τὴν ἔχεις μέσα σου, καὶ νὰ παύσεις νὰ κάνεις αὐτὰ ποὺ νομίζεις ὅτι δὲν θὰ κριθοῦν, ὥστε καὶ τὸν ἑαυτό σου νὰ ἀπαλλάξεις ἀπὸ τὴν κόλαση, καὶ αὐτοὺς ποὺ σὲ βλέπουν ἀπὸ τὸν σκανδαλισμό, καὶ τοὺς ράθυμους ἀπὸ τὴν ἀπόγνωση.

3.– ΣΤΟΝ ΑΜΜΩΝΙΟ
Στὸ χωρίο· «Αὐτὸς ποὺ δὲν εἶναι ἐναντίον μας, εἶναι μαζί μας»[1].

Στὸν καιρὸ τοῦ πολέμου ὄχι μόνο τὸν συμπολεμιστή σου, ἀλλὰ καὶ ἐκεῖνον ποὺ φαίνεται βέβαια πὼς εἶναι μὲ τὸ μέρος τῶν ἐχθρῶν, ἀλλὰ δὲν τοξεύει, πρέπει κατὰ κάποιο τρόπο νὰ τὸν θεωρεῖς φίλον. Γι᾽

δέ, φίλον τρόπον τινὰ ἡγητέον. Διὸ καὶ ὁ θεῖος χρησμὸς βοᾷ· «Ὃ μὴ ὢν καθ' ἡμῶν, ὑπὲρ ἡμῶν ἐστιν».

Δ'.- ΕΥΤΟΝΙΩ ΔΙΑΚΟΝΩ

«Καὶ ἔπεσε ἐπὶ τὴν γῆν ἀπὸ τῶν ἀστέρων
καὶ ἀπὸ τῆς δυνάμεως».

Ἐπειδὴ καὶ τοὺς κομιδῇ προσέχοντας τῇ ἀναγνώσει τὸν νοῦν τοῦτο διέλαθεν, οὐκ ἄν σε αἰτιασαίμην ὡς μὴ ἀναγινώσκοντα, ἀλλὰ συντόμως φράσαιμι. Ὥσπερ ὁ ἀπόστολος ἀστέρας καλεῖ τοὺς διὰ τῆς ἀρίστης πολιτείας τοὺς θεωμένους φωτίζοντας, γράφων, «Ἐν οἷς ἐστε ὡς φωστῆρες ἐν κόσμῳ», οὕτω καὶ ὁ Δανιὴλ ἀστέρας καλεῖ τοὺς λαμπροὺς μὲν δι' εὐσέβειαν, ἀρίστους δὲ διὰ πολιτείαν. Φησὶ γάρ· «Καὶ ἔπεσεν ἐπὶ τὴν γῆν ἀπὸ τῶν ἀστέρων καὶ ἀπὸ τῆς δυνάμεως»· οὐχ ὡς τῶν ἄστρων πεπτωκότων, ὡς ᾠήθησάν τινες (ἄπαγε), ἀλλὰ ὡς Ἀντιόχου τοῦ Ἐπιφανοῦς (περὶ γὰρ αὐτοῦ ἦν τῷ ἀγγέλῳ ὁ λόγος) ὑπὸ τῶν Μακκαβαίων λαμπρῶς ἡττηθέντος καὶ τῆς ἰουδαϊκῆς ἀρχῆς ἐκπεπτωκότος. Οὐ γὰρ εἶπεν, Οἱ ἀστέρες ἔπεσαν, ἀλλ' ἐκεῖνος ὑπὸ τῶν ἀστέρων λαμπρῶς ἀγωνισαμένων πέπτωκε, τουτέστιν ἡττήθη. Εἰ δέ τις τὸ «ἔπεσεν», «ἐπάταξεν» ἐκλάβοι (καὶ οὕτω γὰρ πολλάκις λέγεται), ὡς τὸ «ἔπαισεν» ἀντὶ τοῦ «ἐπάταξε» «καὶ αἱ χεῖρες αὐτοῦ ἰάσαντο», τῆς δευτέρας συλλαβῆς διὰ διφθόγγου γραφομένης, δύναται λέγειν, ὅτι ἐπάταξε τοὺς ἑπτὰ ἀδελφοὺς καὶ τὴν μητέρα, Ἐλεάζαρόν τε τὸν ἱερέα, λαμπρὰν καὶ ἀστράπτουσαν πολιτείαν ἐπιδειξαμένους, καὶ καθάπερ ἀστέρας ἐν γῇ φανέντας. Μακκαβαῖος γὰρ ἑρμηνεύεται, οἱονεὶ παρὰ Πέρσαις, «κοίρανος», τουτέστι «δεσπότης». Ἐν τοῖς καιροῖς τοιγαροῦν ἐκείνοις, ἐν οἷς ἡ κατὰ τῶν εὐδοκιμωτάτων ἐκείνων ἀνδρῶν ἐτολμήθη τῷ Ἀντιόχῳ τραγῳδία, οἱ Μακκαβαῖοι συστάντες ἐξήλασαν ἐκεῖνον τῆς χώρας. Διὸ καὶ τοῖς βασανισθεῖσι τοὔνομα ἐξεκίνησε. Μακκαβαῖοι γὰρ ἐκλήθησαν καὶ οἱ

2. Δαν. 8, 10. 3. Φιλιπ. 2, 10.

αὐτὸ καὶ ὁ θεῖος λόγος φωνάζει· «Αὐτὸς ποὺ δὲν εἶναι ἐναντίον μας, εἶναι μαζί μας».

4.– ΣΤΟΝ ΔΙΑΚΟΝΟ ΕΥΤΟΝΙΟ
«Καὶ ἔπεσε στὴ γῆ ἀπὸ τὰ ἄστρα καὶ ἀπὸ τὴ δύναμή του»[2].

Ἐπειδὴ καὶ αὐτοὺς ποὺ εἶναι πολὺ ἀφοσιωμένοι στὴν ἀνάγνωση, τοὺς ξέφυγε ἀπὸ τὸν νοῦ αὐτό, δὲν θὰ μποροῦσα νὰ σὲ κατηγορήσω ὅτι δὲν διαβάζεις, ἀλλὰ μὲ συντομία θὰ σοῦ ἔλεγα τὰ ἑξῆς· Ὅπως ὁ Ἀπόστολος ἄστρα ὀνομάζει αὐτοὺς ποὺ μὲ τὸν ἄριστο τρόπο ζωῆς τους φωτίζουν ἐκείνους ποὺ τοὺς βλέπουν, γράφοντας, «Μεταξὺ τῶν ὁποίων λάμπετε σὰν ἄστρα στὸν κόσμο»[3], ἔτσι καὶ ὁ Δανιὴλ ἄστρα ὀνομάζει αὐτοὺς ποὺ λάμπουν μὲ τὴν εὐσέβειά τους καὶ εἶναι ἄριστοι στὴ συμπεριφορά τους. Γιατὶ λέγει· «Καὶ ἔπεσε στὴ γῆ ἀπὸ τὰ ἄστρα καὶ ἀπὸ τὴ δύναμή του»[4]· ὄχι βέβαια ὅτι ἔπεσαν τὰ ἄστρα, ὅπως νόμισαν κάποιοι, (μακριὰ μιὰ τέτοια σκέψη), ἀλλὰ ὁ Ἀντίοχος ὁ Ἐπιφανὴς (γιατὶ γι' αὐτὸν γινόταν λόγος ἀπὸ τὸν ἄγγελο), ὅταν νικήθηκε ἀπὸ τοὺς Μακκαβαίους ἐντυπωσιακὰ καὶ ἐξέπεσε ἀπὸ τὴν ἐξουσία τῆς Ἰουδαίας. Γιατὶ δὲν εἶπε, Ἔπεσαν τὰ ἄστρα, ἀλλὰ ἐκεῖνος ἔπεσε ἀπὸ τὰ ἄστρα ποὺ ἀγωνίσθηκαν γενναῖα, δηλαδὴ νικήθηκε. Ἐὰν ὅμως κάποιος τὸ «ἔπεσε» τὸ ἐκλάβει ὡς «ἐπάταξε» (γιατὶ καὶ αὐτὸ λέγεται πολλὲς φορές), ὅπως τὸ «ἔπαισεν», ἀντὶ τοῦ "ἐπάταξε", «καὶ τὰ χέρια του τὸν θεράπευσαν», γραφόμενη ἡ δεύτερη συλλαβὴ μὲ δίφθογγο, μπορεῖ νὰ σημαίνει, ὅτι σκότωσε τοὺς ἑπτὰ ἀδελφοὺς καὶ τὴ μητέρα τους, καθὼς καὶ τὸν ἱερέα Ἐλεάζαρο, οἱ ὁποῖοι ἔδειξαν φωτεινὴ καὶ ἀστραφτερὴ συμπεριφορὰ καὶ ἐμφανίσθηκαν στὴ γῆ σὰν ἀστέρια. Γιατὶ Μακκαβαῖος μεταφράζεται ἀπὸ τοὺς Πέρσες «κοίρανος», δηλαδὴ «δεσπότης». Σ' ἐκείνους τοὺς καιροὺς δηλαδή, κατὰ τοὺς ὁποίους ἀποτολμήθηκε ἐναντίον ἐκείνων τῶν φημισμένων ἀνδρῶν ἡ τραγωδία τοῦ Ἀντιόχου, οἱ Μακκαβαῖοι ἀφοῦ ξεσηκώθηκαν ἑνωμένοι ἔδιωξαν ἐκεῖνον ἀπὸ τὴ χώρα τους. Γι' αὐτὸ καὶ προῆλθε καὶ τὸ ὄνομα αὐτὸ ἀπὸ ἐκείνους ποὺ βασανίσθηκαν. Γιατὶ Μακκαβαῖοι ὀνομάσθηκαν ἐκεῖνοι ποὺ κατὰ τοὺς Μακκαβαϊκοὺς

4. Δαν. 8, 10.

ἐν τοῖς Μακκαβαϊκοῖς χρόνοις τὰ ἀνήκεστα ὑπομεμενηκότες καὶ μὴ ἐξομοσάμενοι τοὺς πατρῴους νόμους.

Ε΄.– ΤΩ ΑΥΤΩ

Εἰς τὸ εἰρημένον παρὰ τοῦ Σωτῆρος περὶ τῆς Ἐκκλησίας, ὅτι «Πύλαι ᾅδου ...».

Οὐχ ὡς μηδενὸς πολεμήσοντος καὶ σβέσαι ἐπιχειρήσοντος, ἀλλ' ὡς ἀντιστησομένων μὲν πολλῶν, ἡττηθησομένων δὲ κατὰ κράτος, εἴρηται· «Καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς», τῆς Ἐκκλησίας δὲ δηλονότι. Οὕτω γοῦν καὶ γέγονεν. Ἐπολεμήθη μὲν γάρ, οὐχ ἡττήθη δέ, ἀλλ' αὐτῶν τῶν σβέσαι ἐπιχειρησάντων λαμπροτέρα ἀπεφάνθη. Τί τοίνυν θαυμάζεις, εἰ καὶ οἱ ἅγιοι ἐνταῦθα πολεμοῦνται; Ἐκ γὰρ τῶν πολέμων λαμπρότερα φαίνεται τὰ τρόπαια καὶ σεμνότερα τὰ σκύλα.

Ϛ΄.– ΗΡΩΝΙ ΣΧΟΛΑΣΤΙΚΩ

Περὶ τῆς ἰσχύος τῶν τοῦ Θεοῦ λόγων καὶ ἐπαγγελιῶν.

Ὅταν ὁ Θεὸς διαλέγηται ἢ ἐπαγγέληται, καὶ λογισμοὶ καὶ συλλογισμοὶ καὶ πιθανότητες ῥημάτων ἐκποδὼν οἰχέσθωσαν. Ταῦτα γὰρ πάντα οὐδὲν παραβαλλόμενα τῷ τοῦ λέγοντος ἀξιώματι.

Ζ΄.– ΑΝΤΙΟΧΩ ΣΧΟΛΑΣΤΙΚΩ

Περὶ μνησικακίας, καὶ ὅτι οἱ ἅγιοι οὐ τοὺς οἰκείους στεφάνους ἀπὸ τῶν ἀλλοτρίων πλέκεσθαι βούλονται συμφορῶν, ἀλλὰ τῶν καθ' ἑαυτοὺς πολλάκις ἀμελοῦντες, τὰ τῶν πλησίον ἐπανορθοῦνται.

Γενναίας μὲν οὐκ ἔστιν ἔργον ψυχῆς τὸ μνησικακεῖν, ἀλλὰ ταλαιπώρου καὶ φαύλης. Ἐπειδὴ δὲ οὐ πάντες περὶ τῶν αὐτῶν πραγμάτων τὴν αὐτὴν φέρουσι ψῆφον, ἀλλ' οἱ μὲν τῷ ταχέως θεραπευθῆναι τὸν παροινηθέντα τοῦ συνειδέναι, οἱ δὲ τοῦ μὴ συνειδέναι τοῖς εἰρημένοις τεκμήριον ποιοῦνται, χρὴ τὸν ἔμφρονα τοῖς σοφωτέροις μᾶλλον ἀκολουθεῖν καὶ τὴν ἐκείνων ψῆφον βεβαίαν ἡγεῖσθαι. Ἔστι δὲ αὕτη, τὸ ταχίστην δέχεσθαι

χρόνους ὑπέφεραν ἀφόρητα δεινά, καὶ δὲν ἀρνήθηκαν τοὺς πατρικούς τους νόμους.

5.- ΣΤΟΝ ΙΔΙΟ.

Σ' αὐτὸ ποὺ εἶπε ὁ Σωτήρας γιὰ τὴν Ἐκκλησία, ὅτι· «Πύλαι τοῦ ἅδη ...»[5].

Ὄχι ἐπειδὴ κανένας δὲν θὰ τὴν πολεμήσει καὶ δὲν θὰ ἐπιχειρήσει νὰ τὴ σβήσει, ἀλλ' ἐπειδὴ θὰ ἐξεγερθοῦν βέβαια ἐναντίον της πολλοί, ἀλλὰ θὰ νικηθοῦν κατὰ κράτος, γι' αὐτὸ λέχθηκε, «Ἀκόμα καὶ οἱ πύλες τοῦ ἅδη δὲν θὰ τὴν κυριεύσουν»[6], δηλαδὴ τὴν Ἐκκλησία. Ἔτσι φυσικὰ καὶ ἔγινε. Γιατὶ πολεμήθηκε βέβαια, ὅμως δὲν νικήθηκε, ἀλλ' ἀντίθετα, ἀποδείχθηκε πιὸ λαμπρὴ ἀπὸ ἐκείνους ποὺ ἐπιχείρησαν νὰ τὴ σβήσουν. Γιατί λοιπὸν ἀπορεῖς, ποὺ καὶ οἱ ἅγιοι πολεμοῦνται ἐδῶ; Γιατὶ ἀπὸ τοὺς πολέμους ἀποδεικνύονται τὰ τρόπαια λαμπρότερα, καὶ τὰ λάφυρα πιὸ σεβαστά.

6.- ΣΤΟΝ ΣΧΟΛΑΣΤΙΚΟ ΗΡΩΝΑ

Γιὰ τὴν ἰσχὺ τῶν λόγων καὶ τῶν ἐπαγγελιῶν τοῦ Θεοῦ.

Ὅταν μιλάει ἢ ὑπόσχεται ὁ Θεός, καὶ οἱ ὑπολογισμοὶ καὶ οἱ συλλογισμοὶ καὶ ἡ πειστικότητα τῶν λόγων νὰ ἐξαφανίζονται. Γιατὶ ὅλα αὐτὰ δὲν εἶναι τίποτα συγκρινόμενα μὲ τὸ ἀξίωμα αὐτοῦ ποὺ μιλάει.

7.- ΣΤΟΝ ΣΧΟΛΑΣΤΙΚΟ ΑΝΤΙΟΧΟ

Γιὰ τὴ μνησικακία, καὶ ὅτι οἱ ἅγιοι δὲν θέλουν νὰ πλέκουν τὰ στεφάνια τους ἀπὸ τὶς συμφορὲς τῶν ἄλλων, ἀλλὰ παραμελώντας πολλὲς φορὲς τὰ δικά τους, διορθώσουν ὅσα ἀφοροῦν τοὺς ἄλλους.

Ἡ μνησικακία δὲν εἶναι ἔργο γενναίας ψυχῆς, ἀλλὰ ταλαίπωρης καὶ διεστραμμένης. Ὅμως ἐπειδὴ γιὰ τὰ ἴδια πράγματα δὲν ἔχουν ὅλοι τὴν ἴδια γνώμη, ἀλλ' ἄλλοι ἀπόδειξη τῆς θεραπείας αὐτοῦ ποὺ ἀσχημόνησε θεωροῦν τὸ νὰ συναισθανθεῖ αὐτὰ ποὺ ἔχουν εἰπωθεῖ, καὶ ἄλλοι χωρὶς νὰ τὰ συναισθανθεῖ, πρέπει ὁ συνετὸς ν' ἀκολουθεῖ τοὺς σοφοὺς μᾶλλον, καὶ νὰ θεωρεῖ ἔγκυρη τὴ γνώμη ἐκείνων. Καὶ

5. Ματθ. 16, 18. 6. Ὅπ. π.

τὴν ἰατρείαν. Τὸ γὰρ ψευδὲς ὄνειδος οὐ περαιτέρω τῆς ἀκοῆς ἀφικνεῖται. Ἐπειδὴ δὲ γέγραφας, Τί οὖν εἰ μὴ λαμβάνει κόρον ὁ ὑβριστής, ἀλλ' ἐπιτρίβεται τῇ τοῦ παροινηθέντος φιλοσοφίᾳ; φαίην, ὅτι μάλιστα μὲν ἄπιστον τοῦτό ἐστιν. Πλὴν τὸν τοιοῦτον ὡς θηρίον ἀτίθασον φευκτέον. Τὸ γὰρ γραφὲν παρὰ σοῦ ὡς λεχθὲν παρά τινος, ὅτι Καὶ συντυγχάνω καὶ φιλοσοφῶ· μεῖζον γάρ μοι τὸν ἔπαινον παρασκευάζει, μεγάλου μέν ἐστι (χρὴ τἀληθῆ λέγειν) ἀνδρός, εἴ γε τοῖς ἔργοις φιλοσοφοίη, οὐ μὴν τὴν τῶν ἁγίων ἀνδρῶν ὑπερβεβηκότος ἀρετήν. Οἱ γὰρ ἅγιοι παρ' ἡμῖν οὐ τοὺς οἰκείους στεφάνους ἀπὸ τῶν ἀλλοτρίων πλέκεσθαι βούλονται συμφορῶν, ἀλλὰ τῶν καθ' ἑαυτοὺς πολλάκις ἀμελοῦσιν, ἵνα τὰ τῶν πλησίον ἐπανορθώσωνται. Οὐ γὰρ ἵνα ἑαυτοῖς μεῖζον κατασκευάσωσι τὸ κλέος, ἄλλους εἰς κρημνὸν τρέπουσιν, ἀλλ' εἰ μὲν ὠφελεῖν δυνηθεῖεν, συμβουλεύουσιν, εἰ δὲ μή, ἀποφεύγουσιν, ἵνα μὴ ἐκεῖνοι εἰς μεῖζον ὀλισθήσοιεν βάραθρον. Οὐ γὰρ φιλοτιμούμενοι, ἀλλὰ τῆς σωτηρίας τῶν ἀνθρώπων φροντίζοντες δρῶσιν ἃ δρῶσιν.

Η'.– ΑΦΡΟΔΙΣΙΩ ΠΡΕΣΒΥΤΕΡΩ

Περὶ τῆς παραμυθίας ἐκ τῆς τῶν συμφορῶν ἀφηγήσεως.

Ἐπειδὴ φέρει τινὰ παραμυθίαν τῷ ὑπὸ λύπης βεβαπτισμένῳ τῶν λυπηρῶν ἡ ἀφήγησις, καὶ μάλισθ' ὅταν πρὸς γνησίους γίνεται (ἡ γὰρ σιωπὴ αὐξητικὴ τῆς συμφορᾶς· πολλοὶ γοῦν καρτερήσαντες καὶ σιγῇ ταῦτα παραδεδωκότες, εἰς χαλεπὰ περιέπεσον πάθη), χρὴ τοὺς βουλομένους τὰς ἑαυτῶν διηγεῖσθαι συμφοράς, ἡμέρως προσίεσθαι, καὶ μετὰ τὸ κουφισθῆναι διὰ τῶν λόγων τὸ πάθος, τότε τὴν ἐνδεχομένην ἐπιφέρειν θεραπείαν. Εἰ μὲν γὰρ ἐξ ἀρχῆς αὐτοὺς ἐπιστομίσομεν, καὶ ἀσυμπαθῶν κτησόμεθα δόξαν, καὶ τὸ βοήθημα ἀσθενὲς ἀποφανοῦμεν, τῆς ἀκμῆς αὐτὸ παρωθουμένης. Εἰ δὲ μετὰ τὸ κουφισθῆναι τὸν πόνον ἐπιθείημεν τὸ φάρμακον, δύο κερδανοῦμεν, καὶ τὸ συμπαθεῖς εἶναι, καὶ τὸ μὴ διαμαρτεῖν τῆς θεραπείας.

αὐτὴ εἶναι, τὸ νὰ δέχεται ἀμέσως τὴ θεραπεία. Γιατὶ ἔτσι ἡ ψεύτικη ντροπὴ δὲν πηγαίνει πιὸ πέρα ἀπὸ τὴν ἀκοή. Ἐπειδὴ ὅμως ἔγραψες, Τί λοιπὸν ἐὰν ὁ ὕβριστὴς δὲν ἱκανοποιεῖται, ἀλλὰ ἐπιμένει νὰ καταγίνεται μὲ τὸν τρόπο τῆς ζωῆς αὐτοῦ ποὺ ἀσχημόνησε; θὰ ἔλεγα, ὅτι αὐτὸ εἶναι πάρα πολὺ ἀπίστευτο, ὡστόσο πρέπει αὐτὸν νὰ τὸν ἀποφεύγει κανεὶς σὰν θηρίο ἀτίθασο. Γιατὶ αὐτὸ ποὺ ἔγραψες ὅτι εἰπώθηκε ἀπὸ κάποιον, "Καὶ συναντιέμαι καὶ συνομιλῶ, ἐπειδὴ μοῦ κάνει μεγαλύτερο τὸν ἔπαινο", εἶναι βέβαια λόγια μεγάλου ἀνδρὸς (γιατὶ πρέπει νὰ ποῦμε τὴν ἀλήθεια), ἐὰν βέβαια διδάσκει μὲ τὰ ἔργα του, ἀλλὰ δὲν ἔχει ξεπεράσει τὴν ἀρετὴ τῶν ἁγίων ἀνδρῶν. Γιατὶ οἱ ἅγιοι σὲ μᾶς δὲν θέλουν νὰ πλέκονται τὰ στεφάνια τους ἀπὸ τὶς συμφορὲς τῶν ἄλλων, ἀλλὰ παραμελοῦν πολλὲς φορὲς τὰ δικά τους, γιὰ νὰ διορθώσουν τοὺς πλησίον τους. Δὲν σπρώχνουν δηλαδὴ ἄλλους στὸ γκρεμό, γιὰ νὰ προσδώσουν στὸν ἑαυτό τους μεγαλύτερη δόξα, ἀλλά, ἐὰν μποροῦν νὰ τοὺς ὠφελήσουν, τοὺς συμβουλεύουν, ἐὰν ὅμως ὄχι, τοὺς ἀποφεύγουν, γιὰ νὰ μὴ γλιστρήσουν ἐκεῖνοι σὲ μεγαλύτερο βάραθρο. Γιατὶ αὐτὰ ποὺ κάνουν δὲν τὰ κάνουν ἐπιζητώντας τιμές, ἀλλὰ γιὰ τὴ σωτηρία τῶν ἀνθρώπων.

8.- ΣΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟ ΑΦΡΟΔΙΣΙΟ

Γιὰ τὴν παρηγοριὰ ἀπὸ τὴ διήγηση τῶν συμφορῶν.

Ἐπειδὴ ἡ διήγηση τῶν λυπηρῶν γεγονότων φέρνει κάποια παρηγοριὰ σ' αὐτὸν ποὺ εἶναι βυθισμένος στὴ λύπη, καὶ μάλιστα ὅταν γίνεται σὲ πραγματικοὺς φίλους (γιατὶ ἡ σιωπὴ συντελεῖ στὴν αὔξηση τῆς συμφορᾶς· πολλοὶ ποὺ ἔδειξαν ὑπομονὴ καὶ παρέδωσαν αὐτὰ στὴ σιωπή, ἔπεσαν σὲ φοβερὰ πάθη), πρέπει αὐτοὺς ποὺ θέλουν νὰ διηγηθοῦν τὶς συμφορές τους, νὰ τοὺς δεχόμαστε ἤρεμα, καὶ ἀφοῦ ἀνακουφιστεῖ τὸ πάθος μὲ τὴ διήγηση, τότε νὰ προσφέρουμε τὴν ἐνδεχόμενη θεραπεία. Γιατί, ἐὰν ἀπὸ τὴν ἀρχὴ τοὺς ἀποστομώσουμε, καὶ τὴ φήμη ἀσυμπαθῶν θὰ ἀποκτήσουμε, καὶ θὰ κάνουμε τὴ βοήθειά μας ἀσθενῆ, ἐπειδὴ τὴν ἀπωθεῖ τὸ ἀποκορύφωμα τῆς λύπης. Ἐὰν ὅμως ἐπιθέσουμε τὸ φάρμακο μετὰ τὴν ἀνακούφιση τοῦ πόνου, θὰ κερδίσουμε δύο πράγματα· καὶ τὸ νὰ γίνουμε συμπαθεῖς, καὶ τὸ νὰ μὴ κάνουμε λάθος στὴ θεραπεία.

Θ'.– ΛΥΣΟΝΙΩ, ΔΙΟΝΥΣΙΩ ΚΟΡΡΗΚΤΟΡΙ

Περὶ τῶν κριτῶν.

Χρὴ τοὺς τῶν πραγμάτων κριτὰς ὀξυτάτους εἶναι περὶ τὸ νοεῖν, ἵνα, καὶ τὴν τῶν λεγόντων δεινότητα καὶ τὴν τῶν λεγομένων πιθανότητα παρέντες, εἰς αὐτὸ τὸ βάθος τῶν νοημάτων χωρῆσαι δυνηθεῖεν, κἀκεῖθεν θηρεύσαντες, ἀνιμήσασθαι τὴν ἀλήθειαν.

Ι'.– ΗΡΑΚΛΕΙΔΗ ΕΠΙΣΚΟΠΩ

Τί σημαίνει τὸν λόγιον τὸ ἐπὶ τοῦ στήθους τοῦ ἱερέως.

Τὸ λόγιον, ὦ ἐλλογιμώτατε, οὐ τὸ αὐτὸ μηνύει, ἀλλ' ὅταν ἡ μὲν πρώτη ὀξύνηται συλλαβή, χρησμόν δηλοῖ, ὅταν δ' ἡ δευτέρα, τὸ ἐπὶ τοῦ στήθους τοῦ ἀρχιερέως ἐπιτεθῆναι θεσπισθέν, οἷον λόγου ἱερόν, ἢ οἶκον ἢ τέμενος. Ἐπειδὴ δὲ φῄς, Καί τίνος ἕνεκεν τῷ στήθει τοῦ ἀρχιερέως ἐπετίθετο; φημί, ὅτι πρῶτον μὲν ἐχρῆν τῷ θυμικῷ καὶ ἐπιθυμητικῷ τὸν λογισμόν, ὥσπερ ἡνίοχον, ἐποχεῖσθαι, ἔπειτα, ὅτι τῷ ἱερωμένῳ χρὴ τὴν ἀλήθειαν καὶ τὴν σαφήνειαν ἐγκαλλώπισμα εἶναι. Τῷ γὰρ «λογίῳ» ἐπέκειτο «ἡ δήλωσις» καὶ «ἡ ἀλήθεια», ἡ μὲν τὴν σαφήνειαν, ἡ δὲ τἀληθὲς ἐμφαίνουσα. Εἰ δὲ καὶ ἄλλως βούλει νοῆσαι, ἐπειδὴ τῷ μὲν ἐνδιαθέτῳ λόγῳ πρέπει ἡ ἀλήθεια, τῷ δὲ προφορικῷ ἡ σαφήνεια. Τάχα δὲ ἐπειδὴ καὶ ἔκλαμψίς τις ἐγίνετο, ὥς φασιν, ἐν τοῖς λίθοις ἐκείνοις, ὅτε εἰς τὰ ἄδυτα ἐστέλλετο ἱερουργήσων, καὶ ἐδήλου ἀληθῶς τὰ ἐσόμενα, τούτοις κέκληνται τοῖς ὀνόμασι.

ΙΑ'.– ΘΕΟΚΤΙΣΤΩ

Εἰς τό, «Πᾶς ὁ βλέπων γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι, ἤδη ἐμοίχευσεν ἐν τῇ καρδίᾳ ἑαυτοῦ».

Βασάνισον ἀκριβῶς, ὦ βέλτιστε, καὶ εὑρήσεις αὐτὸν δικαιοσύνης γέμοντα. Οὐ γὰρ εἶπεν, Ἁπλῶς καὶ ἐκ παρόδου ἰδών τινος καὶ ἐπιθυμήσας, ὡς μοιχὸς τιμωρηθήσεται (ἦ γὰρ ἂν καὶ ἀνήνυτον ἦν τὸ πρᾶγμα καὶ ἄλογος ἡ ἀπειλή), ἀλλ' «Ὁ βλέπων

---

7. Πρβλ. Ἐξ. 28, 15-30, ὅπου γίνεται λεπτομερὴς περιγραφὴ τοῦ λογίου.

9.– ΣΤΟΝ ΛΥΣΟΝΙΟ ΚΑΙ ΤΟΝ ΣΩΦΡΟΝΙΣΤΗ ΔΙΟΝΥΣΙΟ

Γιὰ τοὺς κριτές.

Πρέπει αὐτοὶ ποὺ δικάζουν ὑποθέσεις νὰ ἔχουν ὀξύτατη ἀντίληψη, ὥστε, παρακάμπτοντας καὶ τὴ δεινότητα τῶν ὁμιλητῶν καὶ τὴν πειστικότητα τῶν λόγων τους, νὰ μπορέσουν νὰ διεισδύσουν στὸ βάθος τῶν νοημάτων, καὶ ἀπὸ ἐκεῖ, ἀφοῦ θηρεύσουν τὴν ἀλήθεια, νὰ τὴν ἀνασύρουν στὸ φῶς.

10.– ΣΤΟΝ ΕΠΙΣΚΟΠΟ ΗΡΑΚΛΕΙΔΗ

Τί συμβολίζει τὸ λόγιον ποὺ κρέμεται στὸ στῆθος τοῦ ἱερέα.

Τὸ λόγιο, ἐλλογιμώτατε, δὲν ἔχει μία σημασία, ἀλλ᾽ ὅταν τονίζεται ἡ πρώτη συλλαβή, δηλώνει χρησμό, ἐνῶ ὅταν τονίζεται ἡ δεύτερη, δηλώνει αὐτὸ ποὺ θεσπίσθηκε νὰ φέρεται στὸ στῆθος τοῦ ἀρχιερέα, ὅπως γιὰ παράδειγμα ἱερὸ τοῦ λόγου, ἢ σπίτι, ἢ ναός. Ἐπειδὴ ὅμως ρωτᾶς, Καὶ γιὰ ποιὸν λόγο κρεμόταν στὸ στῆθος τοῦ ἀρχιερέα; λέγω, ὅτι πρῶτον ἔπρεπε ὁ λογισμὸς νὰ φέρεται στὸ θυμικὸ καὶ ἐπιθυμητικὸ τῆς ψυχῆς κατὰ κάποιο τρόπον σὰν ἡνίοχος. Ἔπειτα, γιὰ νὰ ὑπενθυμίζει, ὅτι στὸν ἱερωμένο στολίδι του εἶναι ἡ ἀλήθεια καὶ ἡ σαφήνεια. Γιατὶ στὸ λόγιο ὑπῆρχαν γραμμένες οἱ λέξεις, «δήλωση» καὶ «ἀλήθεια», ἀπὸ τὶς ὁποῖες, ἡ πρώτη δήλωνε τὴ σαφήνεια, καὶ ἡ δεύτερη τὴν ἀλήθεια. Ἐὰν πάλι θέλεις νὰ τὶς ἐννοήσεις καὶ ἀλλιῶς, ἐπειδὴ στὸν ἐνδιάθετο (ἐνδόμυχο) λόγο ταιριάζει ἡ ἀλήθεια, ἐνῶ στὸν προφορικὸ ἡ σαφήνεια. Ἴσως ὅμως, ἐπειδὴ ἐκδηλωνόταν κάποια λάμψη, ὅπως λένε, στὰ πετράδια ἐκεῖνα, ὅταν ἑτοιμαζόταν στὰ ἄδυτα γιὰ νὰ ἱερουργήσει, ποὺ δήλωνε πραγματικὰ αὐτὰ ποὺ θὰ γινόταν, γι᾽ αὐτὸ ὀνομαζόταν μὲ αὐτὰ τὰ δύο ὀνόματα[7].

11.– ΣΤΟΝ ΘΕΟΚΤΙΣΤΟ

Στὴ ρήση· «Αὐτὸς ποὺ βλέπει γυναίκα καὶ τὴν ἐπιθυμεῖ»[8].

Ἐρεύνησε προσεκτικά, φίλε μου, καὶ θὰ τὸν βρεῖς γεμᾶτον δικαιοσύνη. Γιατὶ δὲν εἶπε, Αὐτὸς ποὺ εἶδε γυναίκα καὶ ἐπιθύμησε περνώντας ἁπλῶς ἀπὸ κάποια πάροδο, θὰ τιμωρηθεῖ ὡς μοιχὸς (γιατὶ αὐτὸ καὶ ἀκατόρθωτο θὰ ἦταν, καὶ ἡ ἀπειλὴ παράλογη), ἀλλὰ εἶπε· «Αὐτὸς

8. Ματθ. 5,28.

γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι», τουτέστιν, ὁ ἐκ προενθυμήσεως τὸ πάθος ἐπισπώμενος, ὁ τοῦτ' ἔργον τιθέμενος, ὁ συνεχῶς ἐφεδρεύων καὶ τῇ συνεχεῖ καὶ ἀκαταπαύστῳ θέᾳ θεραπεύων τὸ πάθος, «Ἤδη ἐμοίχευσεν ἐν τῇ καρδίᾳ αὐτοῦ». Τὸ γὰρ «ἤδη» τοῖς μὴ βραχύτατον ἔχουσι τὸν νοῦν, ἐμφαίνει περὶ τῶν ἀδυνάτοις ἐπιχειρούντων εἰρῆσθαι. Τί γὰρ εἰ καὶ ὕπανδρος εἴη ἐκείνη καὶ σώφρων καὶ ὑπὸ πολλῶν φυλάττοιτο; Πῶς τῷ ἐρῶντι εὐχείρωτος εἴη; Οὐκοῦν εἰκότως εἴρηται «Ἤδη ἐμοιχεύσεν», ὁ τῆς πράξεως οὐκ ἀποσχόμενος ἄν, εἴ γε οἵα τε ἦν, εἰ μὴ πᾶσα ἡ τῆς ψυχῆς ῥώμη τῷ ἔρωτι ἦν παραχωρήσασα, οὐκ ἂν καὶ τῷ σῶμα ἐπείσθη συνεχῶς φοιτᾶν καὶ ἀκράτοις ὀφθαλμοῖς ἑστιᾶν τὸ πάθος, ὅπου γε πολλοὶ καὶ ἐρῶντες, ἐρυθριῶσιν εἰς ἐκείνας βλέπειν. Εἰ δὲ δόξης ἔρως ὀφθαλμοὺς χαλινοῖ καὶ ἔρωτος κρατεῖ σωματικοῦ, πολλῷ μᾶλλον ὁ θεῖος φόβος τοῦτο ποιήσει.

Εἰ δὲ φαίη τις, Τί οὖν εἰ δυνατῆς οὔσης τῆς πράξεως ἀπόσχοιτο; φαίην, ὅτι Μέγα μὲν ὄντως καὶ θεῖον καὶ παρθενίας ὄντως ἀπόδειξις, καὶ ὁ τοιοῦτος, εἰ καὶ εἶδε καὶ ἐτρώθη ἐκ παρόδου, οὐκ ἂν συνεχῶς σπουδάσοι θεάσασθαι, ἀλλὰ καὶ πόρρω ἑαυτὸν ἀποικίσει, ἵνα μὴ ἡ συνεχὴς θέα ὕλην τῷ πυρὶ παράσχοι. Εἰ δὲ σπουδάζοι θεασᾶσθαι, ἐλέγχει ἑαυτὸν δι' ὧν θεᾶται τὸ πάθος. Εἰ δὲ καὶ θεώμενος διηνεκῶς λέγει μηδὲν πάσχειν δεινόν, ἐλεγχθήσεται παρὰ τοῦ παντὸς ἐπαίνου κρείττονος Ἰώβ, λέγοντος· «Διαθήκην διεθέμην τοῖς ὀφθαλμοῖς μου, καὶ οὐ μὴ συνήσω ἐπὶ παρθένον». Εἰ δὲ μικρὸν ἑαυτῷ πρὸς ἄμιλλαν ἡγεῖται τὸν τοῦ διαβόλου συγκόψαντα τὴν ἰσχύν, μάλιστα μὲν καὶ δι' αὐτὸ τοῦτο ἀπιστηθῆναι ἂν εἴη δίκαιος, λέγων, ὁρᾶν μὲν συνεχῶς, μὴ πάσχειν δέ. Εἰ δὲ καὶ δοίημεν αὐτὸν ἀληθεύειν, ἐλέγχεται τὸν θεῖον παρερμηνεύων χρησμόν. Οὐ γὰρ εἶπεν, Ὅρα μέν, μὴ ἐπιθύμει δέ, ἤ, ἐπιθύμει μέν, καρτέρει δέ. Εἰ δὲ καὶ

9. Ματθ. 5, 28.

ποὺ βλέπει μιὰ γυναίκα καὶ τὴν ἐπιθυμεῖ», δηλαδὴ αὐτὸς ποὺ ἀπὸ προηγούμενη ἀνάμνηση προκαλεῖ τὸ πάθος, αὐτὸς ποὺ τὸ θέτει σὲ ἐφαρμογή, αὐτὸς ποὺ συνεχῶς καιροφυλακτεῖ, καὶ μὲ τὴ συνεχῆ καὶ ἀκατάπαυστη θέα καλλιεργεῖ τὸ πάθος, «ἔχει ἤδη διαπράξει μοιχεία μέσα στὴν καρδιά του»[9]. Γιατὶ τὸ «ἤδη», γι᾽ αὐτοὺς ποὺ δὲν ἔχουν ἔστω καὶ ἐλάχιστο μυαλό, δείχνει ὅτι εἰπώθηκε γι᾽ αὐτοὺς ποὺ ἐπιχειροῦν πράγματα ἀδύνατα. Τί δηλαδὴ θὰ μποροῦσε νὰ γίνει, ἐὰν ἡ γυναίκα ἐκείνη ἦταν παντρεμένη καὶ ἐγκρατής, καὶ φυλαγόταν ἀπὸ πολλούς; Πῶς θὰ γινόταν ὑποχείρια σ᾽ αὐτὸν ποὺ τὴν ἐρωτεύθηκε; Ἑπομένως δικαιολογημένα εἰπώθηκε, «ὅτι ἔχει διαπράξει μοιχεία», αὐτὸς ποὺ δὲν θὰ ἀπεῖχε ἀπὸ τὴν πράξη, ἐὰν βέβαια ἦταν δυνατή, ἐὰν ὅλη ἡ δύναμη τῆς ψυχῆς του δὲν εἶχε ὑποχωρήσει στὸν ἔρωτα, σὔτε καὶ τὸ σῶμα θὰ ἐπείθετο νὰ πηγαίνει συνεχῶς ἐκεῖ καὶ νὰ ἀπολαμβάνει μὲ ἀσυγκράτητα μάτια τὸ πάθος, ὅταν πολλοὶ καὶ ἐρωτευμένοι ἀκόμα κοκκινίζουν ὅταν τὶς βλέπουν. Ἐὰν ὁ ἔρωτας τῆς δόξας χαλιναγωγεῖ τὰ μάτια καὶ συγκρατεῖ τὸν σωματικὸ ἔρωτα, αὐτὸ θὰ τὸ κάνει πολὺ περισσότερο ὁ φόβος τοῦ Θεοῦ.

Ἐὰν ὅμως κάποιος πεῖ, Τί λοιπόν, ἐάν, ἐνῶ εἶναι δυνατὴ ἡ πράξη, τὴν ἀποφύγει; θὰ μποροῦσα νὰ πῶ, ὅτι Πραγματικὰ αὐτὸ εἶναι μεγάλο καὶ θεῖο πρᾶγμα, καὶ ἀπόδειξη πραγματικὴ τῆς παρθενίας, καὶ αὐτός, καὶ ἂν ἀκόμα εἶδε καὶ πληγώθηκε μὲ τὸ πέρασμα, δὲν θὰ ἐπιδιώξει νὰ τὴ βλέπει συνεχῶς, ἀλλὰ καὶ θὰ μετακομίσει μακριά, ὥστε ἡ συνεχὴς θέα νὰ μὴ ρίξει ξύλα στὴ φωτιά. Ἐὰν ὅμως ἐπιδιώκει νὰ τὴν δεῖ, τὸ πάθος ἐλέγχει τὸν ἑαυτό του μὲ αὐτὰ ποὺ βλέπει. Ἐὰν πάλι, καὶ βλέποντάς την συνεχῶς, λέγει ὅτι δὲν παθαίνει τίποτε τὸ κακό, θὰ κατηγορηθεῖ ἀπὸ τὸν ἀνώτερο ἀπὸ κάθε ἔπαινο Ἰώβ, ὁ ὁποῖος λέγει· «Ἔκανα συμφωνία μὲ τὰ μάτια μου, καὶ δὲν θὰ κοιτάξω σὲ παρθένο»[10]. Ἐὰν ὅμως θεωρεῖ τὸν ἑαυτό μου μικρὸν νὰ ἀνταγωνιστεῖ αὐτὸν ποὺ κατέστρεψε τὴ δύναμη τοῦ διαβόλου, μάλιστα καὶ μόνο γι᾽ αὐτὸ δὲν θὰ γίνει πιστευτός, λέγοντας, ὅτι βλέπει βέβαια συνεχῶς, ἀλλὰ δὲν ὑποφέρει. Ἐὰν πάλι δεχθοῦμε ὅτι λέγει τὴν ἀλήθεια, ἐλέγχεται ὅτι παρερμηνεύει τὴ θεία ἐντολή. Γιατὶ δὲν εἶπε, Κοίταζε βέβαια, ἀλλὰ μὴ ἐπιθυμεῖς, ἤ, Νὰ ἐπιθυμεῖς βέβαια, ἀλλὰ νὰ δείχνεις ὑπομονή.

10. Ἰώβ 31, 1.

οὕτως ἀναισχυντοίη, ἐρυθριᾶσαι ὀφείλει τὸν εἰρηκότα· «Ζῶ δὲ οὐκέτι ἐγώ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός». Ὁ γὰρ ταῦτα τὰ πάσης φιλοσοφίας κρείττονα ῥήματα φράσας, ὁ τῶν χαρισμάτων πλοῦτον, ὥσπερ ἐν ὀστρακίνῳ θησαυρῷ παραφέρων, ἐναγώνιος ἦν πρὸς τὸν πόλεμον τοῦτον ἀφορῶν, καὶ ἔλεγεν· «Ὑπωπιάζω μου τὸ σῶμα καὶ δουλαγωγῶ, μή πως, ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος γένωμαι». Εἰ τοίνυν ὁ τηλικοῦτος ἀνὴρ τὴν τῆς σαρκὸς ἀνεσείραζε λύτταν, σπουδαζέτω ἕκαστος διὰ τοῦ μὴ ὁρᾶν τὴν ἀσφάλειαν ἑαυτῷ πορίζεσθαι, μήποτε, πλησιάζουσα ἡ ὕλη τῷ πυρί, ἀνάψει τὴν φλόγα.

ΙΒ΄.– ΤΩ ΑΥΤΩ

Εἰς τὸ αὐτό.

Λίαν ἄγαμαι τὴν σὴν ἁπλότητα, ἐκθειάσασαν μὲν τὴν ἑρμηνείαν τοῦ εὐαγγελικοῦ χρησμοῦ, ἀντεπιστείλασαν δέ. Τί οὖν πρὸς τὴν θεαθεῖσαν, εἰ ὁ θεασάμενος ἐτρώθη; Ἔχρῃν γὰρ ἐννοῆσαι, ὅτι ἡ μὲν σωφρόνως καὶ κοσμίως βαδίζουσα καὶ μὴ θηρῶσα τοὺς ἐντυγχάνοντας, οὐδέν, ἡ δὲ θρυπτομένη καὶ τὰ δίκτυα τῆς ἡδονῆς ἀναπετάσασα καὶ τὸ δηλητήριον κεράσασα, καὶ μάλιστα. Ταῦτα δέ φημι, ἐπειδὴ ἐνόμισας τοῖς ἄρρεσι μόνοις τοῦτον εἰρῆσθαι τὸν χρησμόν, ἀγνοῶν ὅτι καὶ γυναιξὶν ἐρρήθη. Κοινοὶ γὰρ ἑκατέρῳ γένει οἱ νόμοι, πλὴν ἐκείνων μόνων τῶν ἰδικῶς ἑκάστῳ τεθεσπισμένων. Εἰ μὲν οὖν μὴ ἐρῶσιν, οὐ πρὸς αὐτὰς ὁ χρησμός, ἐπειδὴ δὲ καὶ αὗται τούτῳ ἁλίσκονται τῷ πάθει, καὶ πρὸς αὐτὰς βλέπει. Ὡς γὰρ τό, «Μακάριος ἀνὴρ ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν», καί, «Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον», καὶ ὅσα τοιαῦτα, οὐ περὶ ἀνδρῶν μόνον εἴρηται, ἀλλὰ καὶ περὶ γυναικῶν, διὰ τοῦ ἡγεμονικωτέρου ζώου, καὶ τῷ ἀρχομένῳ εἰρημένον. Οὕτω καὶ τὸ μὴ ἐπι-

11. Γαλ. 2,20.
12. Β΄ Κορ. 4,7.
13. Α΄ Κορ. 9,27.

Ἐὰν καὶ μὲ τὸν τρόπο αὐτὸν φθάνει νὰ γίνεται ἀδιάντροπος, πρέπει νὰ κοκκινίζει ἀκούοντας ἐκεῖνον ποὺ εἶπε· «Δὲν ζῶ πιὰ ἐγώ, ἀλλὰ μέσα μου ζεῖ ὁ Χριστός»[11]. Γιατὶ αὐτὸς ποὺ εἶπε αὐτὰ τὰ ἀνώτερα ἀπὸ κάθε φιλοσοφία λόγια, αὐτὸς ποὺ ἔφερε τὸν πλοῦτο τῶν χαρισμάτων σὰν μέσα σὲ πήλινο σκεῦος[12], ἦταν γεμᾶτος ἀγωνία ἀποβλέποντας πρὸς τὸν πόλεμο αὐτόν, καὶ ἔλεγε· «Σκληραγωγῶ τὸ σῶμα μου καὶ τὸ μεταχειρίζομαι σὰν δοῦλο, ἀπὸ φόβο μήπως, ἐνῶ κήρυξα σὲ ἄλλους, ἐγὼ ὁ ἴδιος ἀποδειχθεῖ ὅτι ἀπέτυχα»[13]. Ἐὰν λοιπὸν ὁ τόσο μεγάλος ἄνδρας συγκρατοῦσε τὴ λύσσα τῆς σάρκας, ἂς προσπαθήσει ὁ καθένας νὰ ἐξασφαλίζει τὴν ἀσφάλεια στὸν ἑαυτό του μὲ τὸ νὰ ἀποφεύγει νὰ βλέπει, ἀπὸ φόβο μήπως, πλησιάζοντας τὰ ξύλα στὴ φωτιά, ἀνάψουν τὴ φλόγα.

12.- ΣΤΟΝ ΙΔΙΟ
Γιὰ τὸ ἴδιο θέμα.

Θαυμάζω πολὺ τὴν ἁπλότητά σου, ἡ ὁποία ἐξεθείασε βέβαια τὴν ἑρμηνεία τῆς εὐαγγελικῆς ἐντολῆς, μοῦ ἔγραψε ὅμως πάλι λέγοντας· Τί φταίει λοιπὸν αὐτὴ ποὺ θεάθηκε, ἐὰν πληγώθηκε αὐτὸς ποὺ τὴν εἶδε; Γιατὶ ἔπρεπε νὰ κατανοήσεις, ὅτι ἐκείνη ποὺ βαδίζει φρόνιμα καὶ κόσμια καὶ δὲν ἐπιδιώκει νὰ προσελκύσει αὐτοὺς ποὺ συναντᾶ, δὲν φταίει καθόλου, ἐκείνη ὅμως ποὺ προκαλεῖ καὶ ἁπλώνει τὰ δίχτυα τῆς ἡδονῆς καὶ προσφέρει τὸ δηλητήριο, φταίει, καὶ πολὺ μάλιστα. Καὶ αὐτὰ τὰ λέγω, ἐπειδὴ νόμισες, ὅτι μόνο γιὰ τοὺς ἄνδρες ἔχει λεχθεῖ ἡ ἐντολή, ἀγνοώντας ὅτι εἰπώθηκε καὶ γιὰ τὶς γυναῖκες. Γιατὶ οἱ νόμοι εἶναι κοινοὶ καὶ γιὰ τὰ δύο φῦλα, ἐκτὸς ἀπὸ ἐκείνους μόνο ποὺ ἔχουν θεσπισθεῖ χωριστὰ γιὰ κάθε φῦλο. Ἐὰν βέβαια δὲν κυριευθοῦν ἀπὸ ἔρωτα, δὲν τὶς ἀφορᾶ ἡ ἐντολή, ἐπειδὴ ὅμως καὶ αὐτὲς ὑποκύπτουν σ' αὐτὸ τὸ πάθος, ἡ ἐντολὴ ἀπευθύνεται καὶ σ' αὐτές. Ὅπως δηλαδὴ τό, «Εἶναι μακάριος ὁ ἄνδρας ποὺ δὲν πῆγε σὲ συνέδριο ἀσεβῶν»[14], καί, «Εἶναι μακάριος ὁ ἄνδρας ποὺ φοβᾶται τὸν Κύριο»[15], καὶ ἄλλα τέτοια, δὲν εἰπώθηκαν μόνο γιὰ τοὺς ἄνδρες, ἀλλὰ καὶ γιὰ τὶς γυναῖκες, ἀναφερόμενα καὶ στὸ ἀρχόμενο φῦλο μέσω τοῦ ἐπικρατέστερου, ἔτσι καὶ τὸ νὰ μὴ κυριεύονται ἀπὸ ἐπιθυμία μὲ τὴ συνεχῆ θέα

14. Ψαλμ. 1, 1. 15. Ψαλμ. 111, 1.

θυμεῖν διὰ τῆς συνεχοῦς θέας ἑκατέρῳ τῷ γένει νενομοθέτηται. Οὐ γὰρ ὅπερ ἐπιχειροῦσί τινες κατασκευάζειν εἰς τό, «Θάνατος ἀνδρὶ ἀνάπαυσις», πειρώμενοι δεικνύναι τοῖς ἀνδρείοις καὶ γενναίοις ἀνάπαυλαν εἶναι τὸν θάνατον, οὐ τοῖς ἄλλοις τοῖς λεγομένοις ἀνθρώποις, τοῦτο κἀνταῦθα νομιστέον. Μάλιστα μὲν γὰρ κἀκεῖνό μοι ἔωλον φαίνεται. Εἰ γὰρ ὄντως ἀνάπαυσίς ἐστι τοῖς ἀνδρείοις καὶ γενναίοις ὁ θάνατος, τέλος μὲν ὢν τῶν ἄθλων, ἀρχὴ δὲ τῶν ἐπάθλων. Διὸ καὶ περὶ γυναικὸς ἀνδρείας εἴρηται· «Γυναῖκα ἀνδρείαν τίς εὑρήσει;». Καὶ ἵνα μή τις ἐπὶ τοῦ ἀδυνάτου τοῦτ' εἰρῆσθαι νομίσειεν, ἐρρήθη ἑτέρωσε· «Γυνὴ ἀνδρεία, στέφανος τῷ ἀνδρὶ αὐτῆς». Τό τε τοῦ ἀνδρὸς ὄνομα τὸ ἀνδρεῖον πολλάκις μηνύει, ἀλλ' οὖν γε οὐ περὶ γενναίων ἦν τῷ ἀοιδίμῳ Ἰὼβ ἐνταῦθα ὁ λόγος, ἀλλὰ περὶ παντὸς ἁπλῶς ἀνθρώπου, συμφοραῖς ἀφύκτοις περιπαρέντος.

Εἰ δέ τις ἀπιστεῖ, ἐκ τῆς συμφράσεως ῥᾳδίως γνοίη. Περιέχει γάρ· «Ἵνα τί γὰρ δέδοται τοῖς ἐν πικρίᾳ φῶς, ζωὴ δὲ ταῖς ἐν ὀδύναις ψυχαῖς, οἳ ἱμείρονται τοῦ θανάτου καὶ οὐ τυγχάνουσι, περιχαρεῖς δὲ ἐγένοντο, ἐὰν κατισχύσωσι. Θάνατος γὰρ ἀνδρὶ ἀνάπαυσις. Συνέκλεισε γὰρ ὁ Θεὸς κατ' αὐτοῦ». Ὅταν, φησί, πάντοθεν οἱ πειρασμοὶ οὐρανομήκεις ὦσι καὶ ἀφύλακτοι, ὡς ἀλλαχοῦ ἔφη· «Ὀχύρωμα δὲ αὐτοῦ ἐπ' ἐμὲ ὕψωσε», τότε ὁ θάνατος ἀσπαστὸς καὶ εὐκταῖός ἐστιν. Εἰ δὲ διὰ τὸ εἰρῆσθαι ἀνδρί, μὴ καταδέξοιντο ταύτην τὴν ἑρμηνείαν, δυνατὸν μὲν αὐτοὺς ἐλέγξαι, ὅτι οὐ μόνον ἐπὶ ἄρρενος τὸ τοῦ «ἀνδρὸς» εἴρηται ὄνομα, ἀλλὰ καὶ ἐπὶ τῆς γυναικός. Ἀνδροφόνος γὰρ λέγεται οὐ μόνον ὁ ἄνδρα, ἀλλὰ καὶ ὁ γυναῖκα ἀποκτείνας. Ἀνδριὰς δ' οὐ μόνον ὁ τοῦ ἀνδρός, ἀλλὰ καὶ ὁ τῆς γυναικός. Πλήν, ταῦτα παρείς, ὡς οὐ λίαν δραστήρια, ἀπὸ τῶν θείων αὐτοὺς συλλογίσασθαι πειράσομαι λογίων. Τί τοίνυν φαῖεν, ἐὰν ἀκούσωσιν,

---

15α. Ἰὼβ 3, 23
16 Παροιμ. 31, 10.
17. Παροιμ. 12, 4.
18. Ἰὼβ 3, 20-23.

νομοθετήθηκε καὶ γιὰ τὰ δύο φῦλα. Γιατὶ δὲν πρέπει νὰ πιστεύουμε καὶ ἐδῶ αὐτὸ ποὺ ἐπιχειροῦν μερικοὶ νὰ ἐφαρμόσουν στὴ ρήση, «Ὁ θάνατος εἶναι γιὰ τὸν ἄνδρα ἀνάπαυση»[15α], προσπαθώντας νὰ ἀποδείξουν ὅτι ὁ θάνατος εἶναι ἀνάπαυση μόνο γιὰ τοὺς ἀνδρείους καὶ τοὺς γενναίους, καὶ ὄχι καὶ γιὰ τοὺς ἄλλους ποὺ ὀνομάζονται ἄνθρωποι. Ἰδιαίτερα μάλιστα καὶ ἐκεῖνο μοῦ φαίνεται ἄστοχο. Γιατί, ἂν πραγματικὰ εἶναι ἀνάπαυση ὁ θάνατος γιὰ τοὺς ἀνδρείους καὶ τοὺς γενναίους, ὄντας τέλος τῶν ἀγώνων, καὶ ἀρχὴ τῶν ἐπάθλων, γι᾽ αὐτὸ καὶ εἰπώθηκε καὶ γιὰ τὴν ἀνδρεία γυναίκα· «Γυναίκα ἀνδρεία ποιὸς θὰ βρεῖ;»[16]. Καὶ γιὰ νὰ μὴ νομίσει κανείς, ὅτι αὐτὸ λέχθηκε ἐξαιτίας τῆς ἀδυναμίας της, λέχθηκε σὲ ἄλλο σημεῖο· «Ἡ ἀνδρεία γυναίκα εἶναι στεφάνι γιὰ τὸν ἄνδρα της»[17]. Πολλὲς φορὲς τὸ ὄνομα τοῦ ἄνδρα φανερώνει τὸ ἀνδρεῖο, ἀλλ᾽ ὅμως ἐδῶ στὸν ἀείμνηστο Ἰὼβ ὁ λόγος δὲν ἦταν γιὰ τοὺς γενναίους, ἀλλὰ γιὰ κάθε ἄνθρωπο γενικά, ὁ ὁποῖος βασανίζεται ἀπὸ ἀναπόφευκτες συμφορές.

Ἐὰν ὅμως κάποιος δὲν τὸ πιστεύει, μπορεῖ νὰ τὸ καταλάβει εὔκολα ἀπὸ τὰ συμφραζόμενα, ποὺ λένε τὰ ἑξῆς· «Γιατί λοιπὸν δίνεται φῶς σὲ ἐκείνους ποὺ πρόκειται νὰ ζήσουν μὲ πικρία, καὶ ζωὴ στὶς ψυχὲς ποὺ πρόκειται νὰ ζήσουν μὲ πόνους, οἱ ὁποῖοι ποθοῦν διακαῶς τὸν θάνατο, καὶ δὲν τὸν βρίσκουν, καὶ σκιρτοῦν ἀπὸ χαρά, ὅταν τὸν βρίσκουν; Γιατὶ ὁ θάνατος εἶναι ἀνάπαυση γιὰ τὸν ἄνθρωπο, ἐπειδὴ μὲ αὐτὸν ὁ Θεὸς τερματίζει τὶς θλίψεις του»[18]. Ὅταν, λέγει, ἀπὸ παντοῦ οἱ πειρασμοὶ ὑψώνονται μέχρι τὸν οὐρανὸ καὶ δὲν μπορεῖ κανεὶς νὰ προφυλαχθεῖ ἀπὸ αὐτούς, ὅπως εἶπε καὶ ἀλλοῦ, «ὕψωσε ὀχυρὸ ἐπάνω μου»[18α], τότε ὁ θάνατος εἶναι εὐπρόσδεκτος καὶ ἐπιθυμητός. Ἐὰν ὅμως, ἐπειδὴ εἰπώθηκε «στὸν ἄνδρα», δὲν δέχονται τὴν ἑρμηνεία αὐτή, εἶναι δυνατὸν νὰ τοὺς ἐλέγξουμε, λέγοντάς τους, ὅτι τὸ ὄνομα τοῦ ἄνδρα δὲν εἰπώθηκε μόνο γιὰ τὸ ἀρσενικὸ φῦλο, ἀλλὰ καὶ γιὰ τὴ γυναίκα. Γιατὶ ἀνδροφόνος λέγεται ὄχι μόνο ἐκεῖνος ποὺ σκότωσε ἄνδρα, ἀλλὰ καὶ γυναίκα. Καὶ ἀνδριὰς λέγεται ὄχι μόνο τὸ ἄγαλμα τοῦ ἄνδρα, ἀλλὰ καὶ τῆς γυναίκας. Ὡστόσο, ἀφήνοντάς τα αὐτά, ἐπειδὴ δὲν εἶναι καὶ τόσο πολὺ ὀδυνηρά, θὰ προσπαθήσω νὰ τοὺς κάνω νὰ συλλογισθοῦν μὲ τὰ θεῖα λόγια. Τί λοιπὸν θὰ μποροῦσαν νὰ

18α. Ἰὼβ 19, 6.

«Ἀνὴρ παράνομος πορεύσεται ὁδοὺς οὐκ ἀγαθάς»; Τί δὲ ὅταν λέγηται, «Ἀνὴρ ἄφρων οὐ γνώσεται»; Τί δ' ὅταν, «Ὁμοιωθήσεται ἀνδρὶ μωρῷ»; Εἰ γὰρ ἐκεῖ ὁ ἀνὴρ οὐ τὸν ἄνθρωπον, ἀλλὰ τὸν ἀνδρεῖον καὶ γενναῖον μηνύει, πῶς ἐνταῦθα ὁ παράνομος καὶ ἄφρων καὶ μωρὸς ἀνὴρ εἴρηται;

Ἀλλὰ τούτων ἀφέμενος, ἐπὶ τὸ προκείμενον ἥξω. Ἐπεὶ τοίνυν καὶ αἱ νομικαὶ ἐντολαὶ καὶ οἱ εὐαγγελικοὶ χρησμοί, αἱ μὲν τὰ ἁμαρτήματα ἀπαγορεύουσαι, οἱ δὲ τοὺς μακαρισμοὺς ὑπογράφοντες, καὶ ἀνδράσιν εἴρηνται καὶ γυναιξί, φυλαττέσθωσαν καὶ αὗται καὶ χαλινούτωσαν τοὺς ὀφθαλμούς, ἵνα μὴ διὰ τῆς ἀκολάστου θέας, τὰς τῶν μοιχαλίδων τιμωρίας ὑπόσχοιεν. Εἰ γὰρ καὶ ἡ ἐπιθυμία τῆς συνουσίας ἴση εἶναι δοθείη (οἱ μὲν γὰρ τὴν τοῦ ἀνδρός, οἱ δὲ τὴν τῆς γυναικὸς τυραννικωτέραν εἶναί φασιν), ἀλλ' οὖν γε ὁ μὲν σπείρει, ἡ δὲ σπείρεται. Ὁ μὲν γεννᾷ, ἡ δὲ τίκτει. Ὁ μὲν γεωργοῦ χώραν ἐπέχει, ἡ δὲ γῆς. Ἐν αὐτοῖς δὴ οὖν τούτοις, ἐν οἷς μήθ' ὁ ἀνὴρ δύναται ποιεῖν τὰ τῆς γυναικός, μήθ' ἡ γυνὴ τὰ τοῦ ἀνδρός, ἰδικοὶ ἐτέθησαν νόμοι, οἱ δ' ἄλλοι πάντες κοινοὶ πᾶσίν εἰσι καὶ ἀδιαίρετοι. Ὥσπερ γὰρ νενομοθέτηται, «Οὐ μοιχεύσεις», καὶ οὐ μόνον ὁ ἀνήρ, εἰ ἁλοίη, ἐπὶ τούτῳ δίκας δίδωσιν, ἀλλὰ καὶ ἡ γυνή, οὕτω δὴ κἀνταῦθα, μάλιστ' ἐπειδὴ εἴρηται, «Πᾶς ὁ βλέπων γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι, ἤδη ἐμοίχευσεν ἐν τῇ καρδίᾳ ἑαυτοῦ», δῆλόν ἐστιν ἅπασιν, ὅτι πᾶσα ἡ βλέπουσα ἄνδρα πρὸς τὸ ἐπιθυμῆσαι, ἤδη ἐμοιχεύθη ὑπ' αὐτοῦ ἐν τῇ καρδίᾳ ἑαυτῆς.

ΙΓ'.– ΤΩ ΑΥΤΩ

Διὰ τί, τινὰ μὲν τοῦ νόμου κοινῇ καὶ ἀνδράσι καὶ γυναιξὶ νενομοθέτηται, τινὰ δὲ καὶ ἰδίως.

Ἀναγινώσκειν τὰς Γραφὰς ὀφείλεις καὶ μὴ περὶ πάντων ἐρωτᾶν. Εἰ γὰρ ἀνεγίνωσκες, ἐγίνωσκες ἄν, ὅτι τῷ μὲν ἀνδρὶ περὶ σπερματικῆς ἐκκρίσεώς τινα εἰδικῶς νενομοθέτηται, τῇ δὲ

19. Παροιμ. 16, 29.
20. Ψαλμ. 91, 7.

ποῦν, ἀκούοντας τό, «Ὁ παράνομος ἄνδρας βαδίζει σὲ δρόμους ποὺ δὲν εἶναι καλοί»[19], καὶ τί ὅταν λέγεται, «Ἄνδρας ἀνόητος δὲν θὰ τὰ γνωρίσει»[20]; Τί ἐπίσης ὅταν λέγει, «Θὰ γίνει ὅμοιος μὲ ἄνδρα ἀνόητον»[21]; Ἐὰν λοιπὸν ὁ ἄνδρας δὲν σημαίνει τὸν ἄνθρωπο, ἀλλὰ τὸν ἀνδρεῖο καὶ γενναῖο, τότε γιατί ἐδῶ ὀνομάζεται ἄνδρας ὁ παράνομος καὶ ἀνόητος καὶ μωρός;

Ἀλλ' ἀφήνοντας αὐτούς, θὰ ἔρθω στὸ θέμα μας. Ἐπειδὴ λοιπὸν καὶ οἱ ἐντολὲς τῆς Παλαιᾶς Διαθήκης, καὶ οἱ διδασκαλίες τοῦ Εὐαγγελίου, ἀπὸ τὶς ὁποῖες οἱ πρῶτες ἀπαγορεύουν τὶς ἁμαρτίες, καὶ οἱ ἄλλες βεβαιώνουν τοὺς μακαρισμούς, καὶ ἔχουν εἰπωθεῖ γιὰ ἄνδρες καὶ γυναῖκες, νὰ προφυλάσσονται καὶ αὐτὲς καὶ νὰ βάζουν χαλινάρι στὰ μάτια τους, ὥστε μὲ τὴν ἀκόλαστη θέα νὰ μὴ ὑποστοῦν τὶς τιμωρίες τῶν μοιχαλίδων. Γιατί, ἂν καὶ ἡ ἐπιθυμία τῆς συνουσίας θὰ ἐκληφθεῖ ὡς ἴση (γιατὶ ἄλλοι λένε ὅτι πιὸ τυραννικὴ εἶναι ἡ ἐπιθυμία τοῦ ἄνδρα, καὶ ἄλλοι τῆς γυναίκας), ἀλλὰ ὁπωσδήποτε ὁ ἄνδρας σπέρνει, καὶ ἡ γυναίκα σπέρνεται· ὁ ἕνας γεννᾶ, καὶ ἡ ἄλλη τίκτει· ὁ ἕνας ὑπέχει θέση γεωργοῦ, ἐνῶ ἡ ἄλλη γῆς. Σ' αὐτὰ ἀκριβῶς λοιπόν, στὰ ὁποῖα οὔτε ὁ ἄνδρας μπορεῖ νὰ κάνει τὰ τῆς γυναίκας, οὔτε ἡ γυναίκα αὐτὰ ποὺ κάνει ὁ ἄνδρας, ἔχουν θεσπιστεῖ ἰδιαίτεροι νόμοι, ἐνῶ ὅλοι οἱ ἄλλοι εἶναι γιὰ ὅλους κοινοὶ καὶ ἀδιαίρετοι. Γιατί, ὅπως ἔχει νομοθετηθεῖ, «Νὰ μὴ μοιχεύσεις», καὶ δὲν τιμωρεῖται μόνο ὁ ἄνδρας, ἐὰν συλληφθεῖ γι' αὐτό, ἀλλὰ καὶ ἡ γυναίκα, ἔτσι λοιπὸν καὶ ἐδῶ, μάλιστα ἐπειδὴ εἰπώθηκε, «Καθένας ποὺ βλέπει γυναίκα καὶ τὴν ἐπιθυμεῖ, ἤδη ἔχει διαπράξει μοιχεία μέσα στὴν καρδιά του», εἶναι φανερὸ σὲ ὅλους, ὅτι καὶ κάθε μιὰ γυναίκα ποὺ βλέπει ἄνδρα καὶ τὸν ἐπιθυμεῖ, ἔχει ἤδη μοιχευθεῖ ἀπὸ αὐτὸν μέσα στὴν καρδιά της.

13.- ΣΤΟΝ ΙΔΙΟ

Γιατί μερικὲς διατάξεις τοῦ νόμου εἶναι κοινὲς καὶ γιὰ τοὺς ἄνδρες καὶ γιὰ τὶς γυναῖκες, ἐνῶ μερικὲς εἶναι ἰδιαίτερες.

Πρέπει νὰ διαβάζεις τὶς Γραφές, καὶ νὰ μὴ ρωτᾶς γιὰ ὅλα. Γιατί, ἂν τὶς διάβαζες, θὰ ἤξερες, ὅτι γιὰ τὸν ἄνδρα ἔχουν νομοθετηθεῖ μερικὰ πράγματα ἰδιαίτερα γιὰ τὴ σπερματικὴ ἔκκριση, καὶ γιὰ τὴ

21. Ματθ. 7,26.

γυναικὶ περὶ καταμηνίων. Καὶ τῷ μὲν περὶ τοῦ μὴ τοὺς τῆς φύσεως ἀνατρέπειν θεσμοὺς καὶ ἄρρεσιν ἐπιμαίνεσθαι καὶ ἄκαρπα λυττᾶν, τῇ δὲ περὶ τοῦ ὕδατος τοῦ ἐλεγμοῦ, εἰ ὑποπτευθείη μεμοιχεύσθαι. Καὶ τὸν μὲν ὀνειρώξαντα, τὴν δὲ καθαιρομένην καὶ τεκοῦσαν, ἀκάθαρτον εἶναί φησι καὶ ἔξω τῶν ἱερῶν περιβόλων ἵστησιν, ἕως ἂν καθαρθῶσι. Καὶ ἄλλα τινὰ ἰδικῶς νενομοθέτηται, ἃ οὐκ ἀναγκαῖον ἐπὶ τοῦ παρόντος εἰπεῖν, δυναμένου σου ἐκ τοῦ ῥηθησομένου γνῶναι, ὅτι ἐν ἐκείνοις μόνοις, ἐν οἷς μήτε γυναικὶ οἷόν τε ποιεῖν τἀνδρός, μήτε ἀνδρὶ τὰ γυναικός, ἰδιάζοντες ἐτέθησαν νόμοι. Οἱ δ' ἄλλοι πάντες κοινοί εἰσιν ἑκατέρῳ γένει, οἷον τό, «Ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐξ ὅλης τῆς καρδίας σου, καὶ τὸν πλησίον σου ὡς σεαυτόν». Τὸ «Οὐ φονεύσεις, οὐ μοιχεύσεις, οὐ κλέψεις, οὐ ψευδομαρτυρήσεις, τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα, οὐκ ἐπιορκήσεις, οὐκ ἐπιθυμήσεις ὅσα τῶν πλησίον σού ἐστι», καὶ ὅσα τούτοις συγγενῆ. Εἰ δὲ καὶ ἐπὶ τοὺς εὐαγγελικοὺς ἔλθῃς χρησμούς, πάλιν τὸ ἴσον εὑρήσεις· «Μακάριοι γὰρ οἱ πτωχοὶ τῷ πνεύματι, οἱ πραεῖς, οἱ ἐλεήμονες, οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην, οἱ καθαροὶ τῇ καρδίᾳ, οἱ εἰρηνοποιοί», καὶ ὅσα τοιαῦτα. Καὶ τὸ περὶ ἀγαμίας δὲ καὶ ἁγνείας εἰρημένον, ἑκατέρῳ γένει εἴρηται, κἂν ἀρρενικῷ χαρακτῆρι ἐξενήνεκται, διὰ τὸ πρέπον τῇ χρησμῳδίᾳ καὶ τὸ ἡγεμονικώτερον εἶναι τὸ ζῶον. Ὁ δυνάμενος γὰρ χωρεῖν, χωρείτω. Καὶ δῆλον ἐντεῦθεν, τὸ πολλὰς καὶ κεχωρηκέναι καὶ κατωρθωκέναι.

ΙΔ'.– ΤΩ ΑΥΤΩ

Περὶ τῶν ἑκουσίων καὶ ἀκουσίων ἁμαρτημάτων.

Διὰ τοῦτο ὁ νόμος καὶ τὰς φυσικὰς καὶ ἀβουλήτους ἐκκρίσεις καθαρσίων ἠξίωσεν, ἵνα τὰς ἑκουσίους καὶ παρὰ φύσιν ἐκ πολλοῦ τοῦ περιόντος φύγωμεν. Ὁ γὰρ τοῖς τὰ δοκοῦντα μέν, οὐκ ὄντα δὲ ἁμαρτήματα ὑπομένουσιν ἀποκλείσας τὴν εἰς τὸ

22. Δευτ. 6, 4. Ματθ. 22, 37-39.
23. Ἐξ. 20, 12-17.

γυναίκα γιὰ τὰ ἔμμηνα. Καὶ γιὰ τὸν ἕνα βέβαια γιὰ νὰ μὴ ἀνατρέπει τοὺς νόμους τῆς φύσεως καὶ ἐρωτεύεται μὲ μανία ἀρσενικοὺς καὶ νὰ κυριεύεται ἀπὸ ἀνώφελη λύσσα, ἐνῶ γιὰ τὴ γυναίκα, γιὰ τὸ νερὸ τοῦ ἐλέγχου, ὅταν γίνει ὕποπτη μοιχείας. Καὶ ὁ ἄνδρας λοιπὸν ποὺ ὑπέστη ἀκούσια ἐκσπερμάτωση στὸν ὕπνο του, καὶ ἡ γυναίκα ὅταν καθαρίζεται καὶ γεννᾶ, λέγει ὅτι εἶναι ἀκάθαρτοι, καὶ τοὺς ἀφήνει ἔξω ἀπὸ τὶς ἱερὲς αὐλὲς μέχρι νὰ καθαρισθοῦν. Καὶ μερικὰ ἄλλα ἰδιαίτερα ἔχουν νομοθετηθεῖ, τὰ ὁποῖα τώρα δὲν εἶναι ἀπαραίτητο νὰ σοῦ πῶ, ἐπειδὴ μπορεῖς ἀπὸ αὐτὸ ποὺ θὰ σοῦ πῶ νὰ μάθεις, ὅτι μόνο γιὰ ἐκεῖνα, στὰ ὁποῖα οὔτε ἡ γυναίκα μπορεῖ νὰ κάνει αὐτὰ ποὺ κάνει ὁ ἄνδρας, οὔτε ὁ ἄνδρας αὐτὰ ποὺ κάνει ἡ γυναίκα, θεσπίσθηκαν ἰδιαίτεροι νόμοι. Ἐνῶ ὅλοι οἱ ἄλλοι εἶναι κοινοὶ καὶ στὰ δύο φῦλα, ὅπως τό· «Νὰ ἀγαπᾶς τὸν Κύριο καὶ Θεό σου μὲ ὅλη σου τὴν καρδιά, καὶ τὸν πλησίον σου σὰν τὸν ἑαυτό σου»[22], τό, «Νὰ μὴ φονεύσεις, νὰ μὴ μοιχεύσεις, νὰ μὴ κλέψεις, νὰ μὴ ψευδομαρτυρήσεις., τίμα τὸν πατέρα καὶ τὴ μητέρα σου, νὰ μὴ ἐπιθυμήσεις αὐτὰ ποὺ ἀνήκουν στὸν πλησίον σου»[23], καὶ ὅλα ὅσα εἶναι συναφῆ μὲ αὐτά. Ἐὰν ὅμως ἔρθεις καὶ στὶς ἐντολὲς τοῦ Εὐαγγελίου, θὰ βρεῖς πάλι τὰ ἴδια· «Μακάριοι οἱ ταπεινόφρονες, μακάριοι οἱ πρᾶοι, οἱ ἐλεήμονες, ἐκεῖνοι ποὺ πεινοῦν καὶ διψοῦν τὴ δικαιοσύνη, ἐκεῖνοι ποὺ ἔχουν καθαρὴ καρδιά, οἱ εἰρηνοποιοί»[24], καὶ ὅλα τὰ παρόμοια. Ἀλλὰ καὶ αὐτὸ ποὺ ἔχει εἰπωθεῖ γιὰ τὴν ἀγαμία καὶ τὴν ἐγνότητα, εἰπώθηκε καὶ γιὰ τὰ δύο φῦλα, ἔστω καὶ ἂν διατυπώθηκε σὲ ἀρσενικὸ χαρακτήρα, ἐπειδὴ ταιριάζει στὴ νομοθεσία καὶ ἐπειδὴ τὸ ἀρσενικὸ εἶναι ἀρχηγικώτερο. Ὅποιος λοιπὸν μπορεῖ νὰ τὰ δεχθεῖ αὐτά, ἂς τὰ δεχθεῖ[24α]. Καὶ αὐτὸ εἶναι φανερὸ ἀπὸ τὸ ὅτι πολλὲς ἐντολὲς καὶ ἔγιναν ἀποδεκτές, καὶ ἐφαρμόσθηκαν.

14.– ΣΤΟΝ ΙΔΙΟ

Γιὰ τὰ ἑκούσια καὶ ἀκούσια ἁμαρτήματα.

Γι' αὐτὸ ὁ νόμος ἀκόμα καὶ οἱ φυσικὲς καὶ ἀθέλητες ἐκσπερματώσεις ἀπαίτησε νὰ καθαρίζονται, γιὰ νὰ ἀποφύγουμε μὲ κάθε τρόπο καὶ τὶς ἑκούσιες καὶ τὶς παρὰ φύση. Γιατί, αὐτὸς ποὺ ἀπέκλεισε τὴν εἴσοδό τους στὸ ἱερὸ σ' αὐτοὺς ποὺ ὑφίστανται αὐτὰ ποὺ θεωροῦνται

24. Ματθ. 5, 3-10.

24α. Ματθ. 19, 12.

ἱερὸν εἴσοδον, ἕως ἂν καθαρθεῖεν, τοῖς ἑκοντὶ ἁμαρτάνουσι, μείζονα μὲν κατασκευάζει τὸν φόβον, χαλεπωτέραν δ' ἀπειλεῖ τὴν τιμωρίαν. Εἰ γὰρ τὸ ἀκούσιον οὐχ ἁπλῶς συνεγνώσθη, τὸ ἑκούσιον δηλονότι ἀσύγγνωστον εἴη, εἰ μὴ μετανοίᾳ εἰλικρινεῖ θεραπευθείη.

ΙΕ'.– ΕΛΙΣΣΑΙΩ ΜΟΝΑΧΩ

Ὅτι, ὅσῳ τις ταῖς τιμαῖς προέχει, τοσούτῳ δεινότερον καὶ τὸ ἁμάρτημα.

Τὸ μὲν πταίειν ἐν τοῖς ὑπηκόοις τελοῦντα, δεινόν, τὸ δὲ τὸν ἱερωμένον, δεινότερον, τὸ δὲ τὸν τὴν ἀρχιερωσύνην κεκληρωμένον δεινότατον. Ὅσῳ γὰρ ταῖς τιμαῖς προὔχουσι, τοσούτῳ καὶ τὸ ἁμάρτημα. Εἰ γὰρ καὶ τὸ αὐτὸ εἴη, ἀργαλεώτερον γίνεται, οὐ τῇ φύσει, ἀλλὰ τῇ ἀξίᾳ τοῦ δράσαντος μετρούμενον. Καὶ τί τῷ ὑπηκόῳ παραβάλλω τὸν ὑφηγητήν, ὁπότε ὅλου τοῦ λαοῦ ἀντίροπον ἔφη εἶναι τὸ τοῦ ἀρχιερέως πταῖσμα ὁ νομοθέτης, καὶ τοσαύτην αὐτὸν ἐθέσπισεν προσενεγκεῖν θυσίαν, ὅσην ἂν ὁ λαὸς ἅπας, εἰ πλημμελήσειε, προσενεγκεῖν προστέτακται; Εἰ δὲ μὴ ἴσον ἦν μηδ' ἀντίροπον τὸ τραῦμα, οὐκ ἂν ἀντίπαλον ὥρισε τὴν θεραπείαν.

ΙΣ'.– ΤΩ ΑΥΤΩ

Ὅτι, τὰ ὑπὸ τῆς θείας φύσεως ἐπιζητούμενα, ταῦτα ἡ ἀρετὴ μάλιστα πάντων προσαγαγεῖν δύναται.

Νόμος οὗτος καὶ θεσμὸς περὶ τῆς θείας φύσεως νενίκηκε, πρὸς μὲν τὴν ἀξίαν αὐτῇ τὰς τιμὰς παρὰ τοῦ γενητοῦ γένους μὴ νέμεσθαι (οὐδὲ γὰρ οἷόν τε), τῇ δὲ τῶν συντελούντων δυνάμει τὴν εὐσέβειαν μετρεῖσθαι. Μηδεὶς τοιγαροῦν τῶν πενίᾳ παλαιόντων ἀλυέτω, ἀλλὰ μᾶλλον εὐφραινέσθω. Ὃ γὰρ μόνον ἡ θεία φύσις ἐπιζητεῖ, τοῦτό ἐστιν ἀρετὴ μάλιστα πάντων προσαγαγεῖν δυνήσεται.

βέβαια, ἀλλὰ δὲν εἶναι ἁμαρτήματα, μέχρι νὰ καθαρθοῦν, κάνει μεγαλύτερο τὸν φόβο σ' ἐκείνους ποὺ μὲ τὴ θέλησή τους ἁμαρτάνουν καὶ τοὺς ἀπειλεῖ μὲ φοβερώτερη τιμωρία. Γιατί, ἂν τὸ ἀθέλητο δὲν συγχωρήθηκε ἔτσι ἁπλᾶ, εἶναι φανερὸ ὅτι τὸ ἑκούσιο θὰ εἶναι ἀσυγχώρητο, ἂν δὲν θεραπευθεῖ μὲ εἰλικρινῆ μετάνοια.

15.- ΣΤΟΝ ΜΟΝΑΧΟ ΕΛΙΣΣΑΙΟ

Ὅτι, ὅσο περισσότερο ὑπερέχει κανεὶς ὡς πρὸς τὶς τιμές, τόσο φοβερώτερο εἶναι καὶ τὸ ἁμάρτημά του.

Τὸ νὰ ὑποπέσει βέβαια κάποιος πιστὸς σὲ παράπτωμα εἶναι φοβερό, τὸ νὰ συμβεῖ ὅμως αὐτὸ σὲ ἱερωμένο εἶναι φοβερώτερο, καὶ τὸ νὰ τὸ διαπράξει αὐτὸ αὐτὸς ποὺ τοῦ ἔχει κληρωθεῖ ἡ ἀρχιερωσύνη, εἶναι φοβερώτατο. Γιατὶ ὅσο πιὸ πολὺ ὑπερέχουν στὶς τιμές, τόσο πιὸ μεγάλο εἶναι καὶ τὸ ἁμάρτημα. Ἂν καὶ εἶναι δηλαδὴ τὸ ἴδιο, γίνεται ὅμως πιὸ ἐνοχλητικό, ὑπολογιζόμενο ὄχι ἀπὸ τὴ φύση του, ἀλλὰ ἀπὸ τὸ ἀξίωμα ἐκείνου ποὺ τὸ ἔκανε. Καὶ γιατί συγκρίνω τὸν δάσκαλο μὲ τὸν ἀκροατή, τὴ στιγμὴ ποὺ ὁ νομοθέτης εἶπε, ὅτι τὸ πταῖσμα τοῦ ἀρχιερέα εἶναι ἰσοδύναμο μὲ τὰ πταίσματα ὅλου τοῦ λαοῦ, καὶ ὅρισε, ἂν αὐτὸς πέσει σὲ παράπτωμα, νὰ προσφέρει θυσία, ὅσην θὰ πρόσφερε ὅλος ὁ λαός[246]; Ἂν δὲν ἦταν ἴσο οὔτε ἰσοδύναμο τὸ ἁμάρτημα, δὲν θὰ ὅριζε ἰσάξια καὶ τὴ θεραπεία.

16.- ΣΤΟΝ ΙΔΙΟ

Ὅτι, αὐτὰ ποὺ ζητεῖ ἡ θεία φύση, αὐτὰ ἡ ἀρετὴ περισσότερο ἀπὸ ὅλα τὰ ἄλλα μπορεῖ νὰ τὰ προσφέρει.

Ὁ νόμος αὐτὸς καὶ θεσμὸς γιὰ τὴ φύση τοῦ Θεοῦ ὅρισε, ὥστε ἀπὸ τὸ γένος ποὺ δημιουργήθηκε νὰ μὴ τῆς ἀπονέμονται οἱ ἀνάλογες πρὸς τὴν ἀξία της τιμὲς (οὔτε ἄλλωστε ἦταν αὐτὸ δυνατόν), ἀλλὰ νὰ μετριέται ἡ εὐσέβεια ἀνάλογα μὲ τὴν δύναμη αὐτῶν ποὺ συντελοῦν σ' αὐτήν. Ἑπομένως κανένας ἀπὸ ἐκείνους ποὺ παλεύουν μὲ τὴν φτώχεια νὰ μὴ στενοχωριέται, ἀλλὰ μᾶλλον νὰ χαίρεται. Γιατὶ αὐτὸ ποὺ μόνο ζητᾶ ἡ θεία φύση, αὐτὸ μόνο ἡ ἀρετὴ μπορεῖ περισσότερο ἀπὸ ὅλα τὰ ἄλλα νὰ τοῦ τὸ προσφέρει.

---

246. Λευϊτ. 4, 3.

ΙΖ΄.– ΘΕΟΔΟΣΙΩ ΕΠΙΣΚΟΠΩ

Περὶ χρηματισμοῦ, καὶ ὅτι οὐ πάντες τοῖς πάθεσι ἐγκαλινδοῦνται.

Τὸ μὲν τοῖς γηίνοις πράγμασιν ἐγκαλινδούμενον χρηματίζεσθαι Εὐσέβιον, τὸν τῆς ἀκτημοσύνης ὑφηγητὴν καὶ τῶν οὐρανίων δογμάτων ἐξηγητήν, δεινόν, οὐ δεινὸν εἶναι δοκεῖ, οὐκ οἶδ' ὅπως, τὸ δὲ νῦν μηνυθὲν παρὰ σοῦ, παρὰ δὲ πολλῶν ἀξιοπίστων ἀνδρῶν μαρτυρούμενον, ἄπιστον δ' ἴσως τοῖς μεθ' ἡμᾶς ὀφθησόμενον, ὑπερβολὴν οὐκ ἔχει. Τίς γὰρ ἐθελήσει ῥᾳδίως πιστεῦσαι, ὅτι τοὺς μὲν ἀκτημοσύνην ἀσκοῦντας καὶ τῇ ἄλλῃ φιλοσοφίᾳ διαλάμποντας, ἅτε λυσιτελεῖν αὐτῷ πρὸς χρηματισμὸν μὴ δυναμένους, ἀχρήστους ὑπολαμβάνων, ἀτιμάζει, καὶ ἱερωσύνης οὐκ ἀξιοῖ, τοὺς δὲ πλουσίους, διὰ τὸ δρέπεσθαι αὐτῶν τὸν πλοῦτον, εἰς ἱερωσύνην προφέρει, κἂν ἁπάσης κακίας εἶεν ἀνάπλεοι, οὐ τῇ ἀρετῇ, τῷ δὲ πλούτῳ χρεωστεῖσθαι τὴν ἱερουργίαν οἰόμενος; Ἐχρῆν μὲν οὖν, ὡς ἔφης, τοὺς τούτοις μὴ ἁλόντας τοῖς πάθεσι, τὴν δέουσαν θεραπείαν ἐπινοῆσαι, ἐπειδὴ δ' ὀλίγοι ὄντες κομιδῇ τῷ πλήθει καλύπτονται, καὶ τὴν τῶν πολλῶν ἀπέχθειαν δεδιότες, δακρύουσι μέν, γενναῖον δ' οὐδέν, οὐδὲ νεανικὸν ἐπιδείκνυνται, διὰ τοῦτο τὰ αὐτὰ ἐκείνοις νοσεῖν ὑποπτεύονται. Μὴ γὰρ δὴ πάντας, ὦ μισοπονηρίας τέμενος, ἡγοῦ τοιούτους εἶναι, ἀλλ' εἶναί τινας τοὺς τὸν ἀποστολικὸν σώζοντας χαρακτῆρα, ὧν εἷς καὶ αὐτὸς τυγχάνεις, δι' οὓς οὐδέπω ἡ κατὰ τῶν ἁμαρτανόντων ἐξενήνεκται ψῆφος.

ΙΗ΄.– ΑΓΑΘΩ ΠΡΕΣΒΥΤΕΡΩ

Περὶ τῆς ἀϊδιότητος τῆς ἁγίας Τριάδος.

Ὁ θειότατος τοῦ Πατρός, ὦ σοφώτατε, ὅρος τε καὶ λόγος (ἄνευ γὰρ προοιμίου ἐπὶ τὴν ἑρμηνείαν χωρήσω· ὠδίνω γὰρ τὸ νενοημένον εἰπεῖν), εἰ μεταγενέστερος, ὡς φασιν, οὐκ ἀΐδιος, εἰ δ' ἀΐδιος, ὡς φαμεν, οὐ μεταγενέστερος. Οὐδὲν γὰρ οὕτως ἴδιον

17.- ΣΤΟΝ ΕΠΙΣΚΟΠΟ ΘΕΟΔΟΣΙΟ
Γιὰ τὸν χρηματισμό, καὶ ὅτι δὲν παραδίνονται ὅλοι στὰ πάθη.

Τὸ ὅτι βέβαια ὁ Εὐσέβιος, ὁ δάσκαλος τῆς ἀκτημοσύνης καὶ δεινὸς ἑρμηνευτὴς τῶν οὐράνιων δογμάτων, ἀσχολούμενος μὲ τὰ γήϊνα πράγματα, χρηματίζεται, καὶ ἐνῶ εἶναι φοβερό, δὲν θεωρεῖ ὅτι εἶναι φοβερό, δὲν τὸ γνωρίζω, αὐτὸ ὅμως ποὺ τώρα καταγγέλλεται ἀπὸ σένα, καὶ βεβαιώνεται ἀπὸ πολλοὺς ἀξιόπιστους ἄνδρες, θὰ φανεῖ ἴσως ἀπίστευτο σ' αὐτοὺς ποὺ εἶναι μαζί μας, δὲν εἶναι ὑπερβολικό. Γιατὶ ποιὸς θὰ θελήσει νὰ πιστέψει εὔκολα, ὅτι αὐτοὺς ποὺ ἀσκοῦν τὴν ἀκτημοσύνη καὶ διαπρέπουν στὸν ἄλλο τρόπο ἐγκράτειας, ἐπειδὴ δὲν μποροῦν νὰ τοῦ φανοῦν χρήσιμοι γιὰ χρηματισμό, θεωρώντας τους ἄχρηστους, τοὺς ἀτιμάζει, καὶ δὲν τοὺς κρίνει ἄξιους τῆς ἱερωσύνης, ἐνῶ τοὺς πλουσίους, ἐπειδὴ ἀπολαμβάνει τὸν πλοῦτο τους, τοὺς παρακινεῖ νὰ ἱερωθοῦν, ἀκόμα καὶ ἂν εἶναι γεμᾶτοι ἀπὸ κακία, πιστεύοντας ὅτι ἡ ἱερουργία δὲν πρέπει νὰ ἀνατίθεται στὴν ἀρετή, ἀλλὰ στὸν πλοῦτο; Ἔπρεπε λοιπόν, ὅπως εἶπες, ἐκεῖνοι ποὺ δὲν ἔχουν κυριευθεῖ ἀπὸ αὐτὰ τὰ πάθη, νὰ ἐπινοήσουν τὴ θεραπεία ποὺ πρέπει, ἐπειδὴ ὅμως, ὄντας πολὺ λίγοι, καλύπτονται ἀπὸ τοὺς πολλούς, καὶ φοβούμενοι τὴν ἀποστροφὴ τῶν πολλῶν, δακρύζουν βέβαια, ἀλλὰ δὲν δείχνουν τίποτε τὸ γενναῖο καὶ μεγαλόψυχο, γι' αὐτὸ γίνονται ὕποπτοι. ὅτι καὶ αὐτοὶ πάσχουν τὴν ἴδια ἀρρώστια μὲ ἐκείνους. Ὅμως, ναὲ τοῦ μίσους καὶ τῆς κακίας, νὰ μὴ νομίζεις ὅτι εἶναι τέτοιοι ὅλοι, ἀλλ' ὑπάρχουν μερικοὶ οἱ ὁποῖοι διατηροῦν τὸν χαρακτήρα τῶν ἀποστόλων, ἕνας ἀπὸ τοὺς ὁποίους εἶσαι καὶ σύ, γιὰ τοὺς ὁποίους δὲν ἔχει οὐδέποτε διατυπωθεῖ ἡ γνώμη ποὺ διατυπώνεται ἐναντίον ἐκείνων ποὺ ἁμαρτάνουν.

18.- ΣΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟ ΑΓΑΘΟ
Γιὰ τὴν ἀϊδιότητα τῆς ἁγίας Τριάδας.

Ὁ θεϊκώτατος, σοφώτατε, ὅρος καὶ Λόγος τοῦ Πατέρα (γιατὶ θὰ προχωρήσω στὴν ἑρμηνεία χωρὶς προοίμιο, ἐπειδὴ ἀγωνιῶ νὰ πῶ αὐτὸ ποὺ σκέφτομαι), ἐὰν εἶναι μεταγενέστερος, ὅπως λένε, δὲν εἶναι αἰώνιος, ἐὰν πάλι εἶναι αἰώνιος, ὅπως λέμε ἐμεῖς, δὲν εἶναι μεταγενέ-

καὶ χαρακτηριστικὸν τῆς θείας φύσεως, ὡς τὸ ἀΐδιον. Τὸ μὲν οὖν ἀπαύγασμα τὸ συναΐδιον ἐμφαίνει, ὁ δὲ χαρακτὴρ τῆς ὑποστάσεως τὸ ἐνυπόστατον, ὁ δὲ Λόγος τὸ ἀπαθές τε καὶ ἀσώματον, ὁ δὲ Υἱὸς τὴν ἰδιότητα καὶ τὴν ὁμοουσιότητα. Ἐξ ἑκάστου γὰρ τὸ χρήσιμον ἐρανιζόμενοι, τὸ λοιπὸν χαίρειν ἐῶμεν, ὅσον τῇ θείᾳ οὐ πρέπει φύσει. Ἐπὶ μὲν γὰρ τῶν γεννητῶν, τὸ «πρὸ» καὶ «μετὰ» χώραν ἐχέτω, ἐπὶ δὲ τῆς σεπτῆς καὶ βασιλικωτάτης Τριάδος τὸ «πρῶτον» καὶ τὸ «δεύτερον» οὐκ ἔχει χώραν. Καὶ ἀριθμοῦ γὰρ καὶ χρόνων τὸ Θεῖον ἀνώτερον.

ΙΘ΄.– ΑΘΑΝΑΣΙΩ ΠΡΕΣΒΥΤΕΡΩ

Περὶ τῶν τοῦ Φίλωνος καὶ Ἰωσήπου μαρτυριῶν.

Εἰ μηδὲν πλέον τοῦ γράμματος νομίζει τὸν νομοθέτην εἰρηκέναι ὁ πρός σέ, ὡς ἔφης, διενεχθεὶς Ἰουδαῖος, εἰπὲ πρὸς αὐτόν, ὅτι Ἐλέγχουσιν ὑμῶν τὴν ἀπαιδευσίαν οἱ δύο ἄνδρες, οἱ μετὰ τὴν τοῦ Χριστοῦ παρουσίαν συγγραφεῖς παρ᾽ ὑμῖν γεγονότες, Φίλων ὁ θεωρητικώτατος, καὶ Ἰώσηπος ὁ ἱστορικώτατος. Ὁ μὲν πᾶσαν σχεδὸν τὴν Παλαιὰν εἰς ἀλληγορίαν τρέπων, ὁ δὲ διαρρήδην γράφων, τὰ μὲν αἰνιττομένου τοῦ νομοθέτου δεξιῶς, τὰ δὲ ἀλληγοροῦντος μετὰ σεμνότητος. Ὅσα δὲ ἐξ εὐθείας λέγεσθαι συνέφερε, ταῦτα ῥητῶς ἐμφανίζοντος. Εἰ μὲν γὰρ προενέγκοιμεν προφητικὰς ῥήσεις τοῦτο ἐγγυωμένας παρερμηνεῦσαι καὶ παραποιῆσαι οὐκ ὀκνήσουσιν, εἰ δ᾽ ἀποστολικὰς ἀποφάσεις τε καὶ ἀποδείξεις καὶ ἑρμηνείας παραγράψασθαι τολμήσουσι δυσσεβῶς, τὰς δὲ τῶν παρ᾽ αὐτοῖς δοξάντων σοφῶν μαρτυρίας παραγράψασθαι οὐκ ἂν εἶεν δίκαιοι.

Κ΄.– ΕΡΜΟΓΕΝΕΙ ΕΠΙΣΚΟΠΩ

Περὶ τῆς ἱερωσύνης.

Τῆς θείας καὶ τῆς ἀνθρωπίνης φύσεως ἡ ἱερωσύνη ὥσπερ μέση καθέστηκεν, ἵνα τὴν μὲν θεραπεύῃ, τῇ δὲ μεταβολὴν ἐργά-

στερος. Γιατὶ τίποτε δὲν εἶναι τόσο ἰδιαίτερο καὶ χαρακτηριστικὸ γνώρισμα τῆς θείας φύσεως, ὅσο ἡ αἰωνιότητα. Ἡ ἀκτινοβολία λοιπὸν φανερώνει τὸ συναΐδιο, ὁ χαρακτήρας τῆς ὑπόστασης τὴ σφραγίδα τῆς οὐσίας τοῦ Θεοῦ[25], ὁ Λόγος τὴν ἀπάθεια καὶ τὸ ἀσώματο, καὶ ὁ Υἱὸς τὴν ἰδιότητα καὶ τὸ ὁμοούσιο. Δανειζόμενοι λοιπὸν ἀπὸ τὸ καθένα αὐτὸ ποὺ εἶναι χρήσιμο, τὸ ὑπόλοιπο, ποὺ δὲν ταιριάζει στὴ θεία φύσει, τὸ ἀφήνουμε. Σ' αὐτὰ λοιπὸν ποὺ εἶναι γεννητὰ τὸ «πρὶν» καὶ τὸ «μετὰ» νὰ ἔχει θέση, στὴν ἅγια ὅμως καὶ βασιλικώτατη Τριάδα τὸ πρῶτο καὶ τὸ δεύτερο δὲν ἔχει θέση. Γιατὶ ὁ Θεὸς εἶναι ἀνώτερος καὶ ἀπὸ τοὺς ἀριθμοὺς καὶ ἀπὸ τοὺς χρόνους.

19.– ΣΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟ ΑΘΑΝΑΣΙΟ
Γιὰ τὶς μαρτυρίες τοῦ Φίλωνα καὶ Ἰωσήπου.

Ἐὰν ὁ Ἰουδαῖος ποὺ εἶχε διένεξη μαζί σου, ὅπως εἶπες, εἶπε ὅτι ὁ νομοθέτης δὲν εἶπε τίποτε περισσότερο ἀπὸ αὐτὰ ποὺ εἶναι γραμμένα, πές του, ὅτι κατηγοροῦν τὴν ἀγραμματωσύνη σας οἱ δύο ἄνδρες, οἱ ὁποῖοι ὑπῆρξαν συγγραφεῖς δικοί σας μετὰ τὴν παρουσία τοῦ Χριστοῦ· ὁ θεωρητικώτατος Φίλων, καὶ ὁ ἱστορικώτατος Ἰώσηπος. Ὁ ἕνας ὁλόκληρη σχεδὸν τὴν Παλαιὰ Διαθήκη τὴν μετέτρεψε σὲ ἀλληγορία, ἐνῶ ὁ ἄλλος, γράφοντας μὲ σαφήνεια, ἄλλα τοῦ νομοθέτη τὰ ὑπαινίσσεται μὲ ἐπιδεξιότητα, ἄλλα πάλι τὰ ἑρμηνεύει ἀλληγορικὰ μὲ σοβαρότητα. Ὅσα ὅμως συμφωνοῦσε ὅτι λέγονται ἀπ' εὐθείας, αὐτὰ τὸ παρουσιάζει ρητά. Ἐὰν λοιπὸν παρουσιάζαμε προφητικὲς ρήσεις ποὺ τὸ ἐπιβεβαιώνουν αὐτό, δὲν θὰ διστάσουν νὰ τὶς παρερμηνεύσουν καὶ νὰ τὶς παραποιήσουν. Ἐὰν πάλι παρουσιάσουμε ἀποστολικὲς ἀποφάσεις καὶ ἀποδείξεις καὶ ἑρμηνεῖες, μὲ ἀσέβεια θὰ τολμήσουν νὰ τὶς διαγράψουν. Τὶς μαρτυρίες ὅμως ἐκείνων, ποὺ θεωροῦνται ἀπὸ αὐτοὺς σοφοί, δὲν ἔχουν δικαίωμα νὰ τὶς διαγράψουν.

20.– ΣΤΟΝ ΕΠΙΣΚΟΠΟ ΕΡΜΟΓΕΝΗ
Γιὰ τὴν ἱερωσύνη.

Ἡ ἱερωσύνη εἶναι κάτι σὰν ἐνδιάμεσο ἀνάμεσα στὴ θεία καὶ τὴν ἀνθρώπινη φύση, μὲ σκοπὸ τὴν μία νὰ τὴν λατρεύει, καὶ τὴν ἄλλη μὲ

25. Ἑβρ. 1, 3.

ζηται κρείττονα. Εἴ τις τοιγαροῦν ταύτης μεῖζον φρονεῖ, οὐδὲ φρόνησιν ἔχειν μοι δοκεῖ.

ΚΑ΄.– ΤΩ ΑΥΤΩ
Περὶ ἀρετῆς.

Οἱ ἅγιοι, ὦ σοφώτατε, τὰς ὑπὲρ τῆς ἀρετῆς τῶν κινδύνων ὑπερβολὰς ἐφόδιον μείζονος εὐδοκιμήσεως ἔχουσιν.

ΚΒ΄.– ΙΣΙΔΩΡΩ ΔΙΑΚΟΝΩ
Περὶ τῆς θείας τε συμμαχίας καὶ ῥοπῆς.

Ὥσπερ, ἵνα καὶ ἐναργεῖ παραδείγματι χρήσωμαι, Ἱερουσαλήμ, ὅτε μὲν τῇ θείᾳ συμμαχίᾳ ὥπλιστο, ὀρθὴ ἑστῶσα, ἀπονητὶ καὶ ἀναμαχητὶ τὰ τρόπαια ἵστη, ὅτε δὲ ταύτης, διὰ τὸ ἐπιλυττῆσαι κατ᾽ αὐτῆς, ἐστέρητο, πῦρ πολέμιον αὐτὴν ῥᾳδίως ἔκλινεν, οὕτω καὶ ψυχή, ὅταν μὲν τῇ ἄνωθεν ῥοπῇ δι᾽ εὐστάθειαν τρόπων περιφράττηται, ῥᾳδίως τοὺς πολεμίους καταγωνιεῖται, ὅταν δ᾽ ἁμάρτῃ, ἐνταῦθα μὲν τῷ πυρὶ τῶν παθῶν ἁλώσεται, ἐκεῖσε δὲ τῷ τῆς κρίσεως τιμωρηθήσεται.

ΚΓ΄.– ΑΣΚΛΗΠΙΩ ΣΟΦΙΣΤΗ
Ὅτι ἀμετακίνητον τὸ τῆς πίστεως φρόνημα.

Εἰ Ξέρξης, ὦ σοφιστά, (ἀπὸ γὰρ τῶν σῶν σοι διαλέξομαι), τὸν Ἑλλήσποντον ζεύξας, τὸ τῶν Ἀθηναίων φρόνημα οὐκ ἠδυνήθη ζεῦξαι τῷ τῆς δουλείας ζυγῷ, ἀλλὰ πάντα μὲν ἐκίνει, καὶ τὸν ταγέντα τοῖς στοιχείοις ἐκαινοτόμει θεσμόν, ἐκείνους μὲν τῶν δεδογμένων οὐ μετακίνει, σὺ ἀπὸ συμβουλῆς ψιλῆς ἐνόμισας ἡμῶν μετακινεῖν τὸ φρόνημα καὶ εἰς θωπείαν τρέπειν; καὶ πῶς οὐκ ἄτοπον; Πέπαυσο τοίνυν τοιαῦτά τινα ἡμῖν παραινῶν, εἰ δὲ μή, τοῦ χοροῦ τῶν φίλων σε ἀποκρινοῦμεν.

ΚΔ΄.– ΜΑΡΤΥΡΙΩ ΑΝΑΓΝΩΣΤΗ
Περὶ τοῦ τῆς φιλοχρηματίας ἔρωτος.

Ὁ δεινὸς καὶ πάντολμος τῆς φιλοχρηματίας ἔρως, κόρον

τὴν μεταβολὴ νὰ τὴν κάνει καλύτερη. Ἐὰν κάποιος λοιπὸν πιστεύει κάτι ἀνώτερο ἀπὸ αὐτήν, μοῦ φαίνεται πὼς δὲν ἔχει οὔτε φρόνηση.

21.- ΣΤΟΝ ΙΔΙΟ
Γιὰ τὴν ἀρετή.

Οἱ ἅγιοι, σοφώτατε, τὶς ὑπερβολὲς τῶν κινδύνων ὑπὲρ τῆς ἀρετῆς, τὶς θεωροῦν μέσον ἐπιτυχίας.

22.- ΣΤΟΝ ΔΙΑΚΟΝΟ ΙΣΙΔΩΡΟ
Γιὰ τὴ θεία συμμαχία καὶ βοήθεια.

Ὅπως, γιὰ νὰ χρησιμοποιήσω φανερὸ παράδειγμα, ἡ Ἰερουσαλήμ, ὅταν ἦταν ὁπλισμένη μὲ τὴ συμμαχία τοῦ Θεοῦ, μένοντας ἀκλόνητη, ἔστηνε τὰ τρόπαιά της χωρὶς κόπους καὶ αἱματοχυσίες, ὅταν ὅμως, ἐξαιτίας τῆς λύσσας της πρὸς αὐτήν, ἔχανε τὴ θεία συμμαχία, εὔκολα ἡ ἐχθρικὴ φωτιὰ τὴν ὁδηγοῦσε στὴν ὑποταγή, ἔτσι καὶ ἡ ψυχή, ὅταν εἶναι περιφραγμένη μὲ τὴ βοήθεια τοῦ Θεοῦ, λόγω τῆς σταθερότητας τῆς διαγωγῆς της, εὔκολα νικᾶ τοὺς ἐχθρούς, ὅταν ὅμως ἁμαρτήσει, ἐδῶ βέβαια θὰ καταστραφεῖ μὲ τὴ φωτιὰ τῶν παθῶν, ἐνῶ ἐκεῖ θὰ τιμωρηθεῖ μὲ τὴ φωτιὰ τῆς κρίσεως.

23.- ΣΤΟΝ ΣΟΦΙΣΤΗ ΑΣΚΛΗΠΙΟ
Ὅτι εἶναι ἀμετακίνητο τὸ φρόνημα τῆς πίστεως.

Ἐὰν ὁ Ξέρξης, σοφιστή μου (γιατὶ θὰ σοῦ μιλήσω μὲ τὰ δικά σου), ἐνῶ ὑπέταξε τὸν Ἑλλήσποντο, δὲν μπόρεσε νὰ ὑποτάξει τὸ φρόνημα τῶν Ἀθηναίων μὲ τὸν ζυγὸ τῆς δουλείας, καὶ ἐνῶ μεταχειριζόταν τὰ πάντα καὶ μετέβαλλε τὸν νόμο ποὺ εἶχε ταχθεῖ στὰ στοιχεῖα τῆς φύσεως, ἐκείνους ὅμως δὲν μπόρεσε νὰ τοὺς μετακινήσει ἀπὸ ἐκεῖνα ποὺ πίστευαν, ἐσὺ νόμισες ὅτι μὲ μιὰ ἁπλῆ συμβουλὴ θὰ μεταβάλεις τὸ φρόνημά μας καὶ θὰ τὸ μετατρέψεις σὲ κολακεία; καὶ πῶς αὐτὸ δὲν εἶναι παράλογο; Πᾶψε λοιπὸν νὰ μᾶς συμβουλεύεις κάτι τέτοια, γιατὶ ἀλλιῶς θὰ σὲ ἀπορρίψω ἀπὸ τὸν κύκλο τῶν φίλων.

24.- ΣΤΟΝ ΑΝΑΓΝΩΣΤΗ ΜΑΡΤΥΡΙΟ
Γιὰ τὸν ἔρωτα τῆς φιλοχρηματίας.

Ὁ φοβερὸς καὶ ἀδιάντροπος ἔρωτας τῆς φιλοχρηματίας, μὴ γνω-

οὐκ εἰδώς, ἐπὶ τὸ ἔσχατον τῶν κακῶν τὴν ἁλοῦσαν ψυχὴν ἐλαύνει. Οὐκοῦν μάλιστ' ἐν προοιμίοις αὐτὸν ἀπελάσωμεν. Κρατήσας γάρ, ἀχείρωτος ἔσται.

ΚΕ'.– ΣΥΡΙΩΝΙ

Ὅτι χρὴ πάντα πρὸς οἰκοδόμην τῆς Ἐκκλησίας γίνεσθαι.

Ὁ γενναῖος Παῦλος, ὁ ἄριστος στρατηγός, ὁ τοῦ βασιλέως τὴν χειροτονίαν μὴ ἀτιμάσας, ὁ τὰ καθ' ἑαυτὸν παριδών, ἵνα τὰ τῶν ἄλλων ἐπανορθώσηται, ἅτε μηδὲν πλέον ὁρῶν τοῦ τῆς Ἐκκλησίας συμφέροντος, ἐπεβόα χρῆναι πάντα πρὸς οἰκοδομὴν γίνεσθαι τῆς Ἐκκλησίας. Ἡμεῖς δὲ τὸ φαινόμενον ἡμῖν συμφέρον πρὸς δόξαν γὰρ ἑαυτῶν ὁρῶμεν, τοῦ τῆς Ἐκκλησίας προτιμῶμεν, καίτοι τὸ τῆς Ἐκκλησίας κλέος πάντως καὶ εἰς ἡμᾶς ἀνατρέχει, ἡ δὲ ἡμῶν δόξα οὐ πάντως εἰς τὸ κοινὸν διαβαίνει. Εἰ γάρ, ἵν' ἑαυτοὺς δόξωμεν συνιστᾶν, τῆς τῶν πέλας ὀλιγωροίημεν οἰκοδομῆς, πῶς οὐ μείζων ἔσται τοῦ κέρδους ἡ ζημία;

ΚΣ'.– ΚΑΣΙΩ ΠΡΕΣΒΥΤΕΡΩ

Κατὰ τῶν λεγόντων εἶναι γένεσιν, ἤτοι εἱμαρμένην, ἢ τὴν λεγομένην τύχην.

Οὐκ ἔστι, ὦ βέλτιστε, δεινὸν τὸ δεινὰ πράξαντας, δεινὰ καὶ παθεῖν, τὸ δὲ μηδὲν δεινὸν πράξαντας, δεινὰ παθεῖν, πάντῃ δεινότατον. Πῶς οὖν τοῖς ἐγκαλοῦσι περὶ τούτου ἀπολογησαίμεθα; Οἶμαι οὐδαμῶς ἄλλως, ἢ περὶ μὲν τῶν πρώτων λέγοντες, ὅτι δικαίως, περὶ δὲ τῶν δευτέρων, ὅτι δοκίμως. Ἡ γὰρ δίκη τοὺς μὲν ἠμύνατο, τοῖς δὲ στεφάνων ὑπόθεσιν προυξένησεν. Οἱ γὰρ γένεσιν ὁριζόμενοι, περὶ ἀμφοτέρων ἀπορήσουσι ἀποκρίνασθαι. Οὐ γὰρ δίκαιον, οὔτε τὸν ἀναγκασθέντα δρᾶσαί τινα, οὔτε τὸν μηδὲν δράσαντα δεινόν, δεινὰ παθεῖν. Οἱ δὲ Πρόνοιαν

ρίζοντας χορτασμό, ὁδηγεῖ τὴν ψυχὴ ποὺ κυριεύει ἀπὸ αὐτὴν στὸ ἔσχατο σημεῖο τῶν κακῶν. Πρέπει λοιπὸν νὰ τὸν διώξουμε ὁπωσδήποτε ἀπὸ τὴν ἀρχή, γιατὶ ἂν γίνει κυρίαρχός μας, θὰ γίνει ἀνίκητος.

25.- ΣΤΟΝ ΣΥΡΙΩΝΑ

Ὅτι πρέπει ὅλα νὰ γίνονται πρὸς οἰκοδομὴ τῆς Ἐκκλησίας.

Ὁ γενναῖος Παῦλος, ὁ ἄριστος στρατηγός, αὐτὸς ποὺ δὲν ἀτίμασε τὴ χειροτονία τοῦ βασιλέως, αὐτὸς ποὺ παρέβλεψε τὰ δικά του, γιὰ νὰ διορθώσει τὰ τῶν ἄλλων, ἀφοῦ δὲν ἀπέβλεπε σὲ τίποτε περισσότερο ἀπὸ τὸ συμφέρον τῆς Ἐκκλησίας, διακήρυττε ὅτι ὅλα πρέπει νὰ γίνονται γιὰ τὴν οἰκοδομὴ τῆς Ἐκκλησίας. Ἐμεῖς ὅμως βλέπουμε αὐτὸ ποὺ φαίνεται σὲ μᾶς συμφέρον, γιατὶ ἀποβλέπουμε στὴ δόξα τοῦ ἑαυτοῦ μας, καὶ τὸ προτιμᾶμε ἀπὸ τὸ συμφέρον τῆς Ἐκκλησίας, ἂν καὶ βέβαια ἡ δόξα τῆς Ἐκκλησίας ἀνταναklᾶ ὁπωσδήποτε καὶ σὲ μᾶς, ἐνῶ ἡ δική μας δόξα δὲν μεταβαίνει ὁπωσδήποτε στὸ κοινό. Γιατὶ ἄν, γιὰ νὰ φανοῦμε ὅτι φροντίζουμε τοὺς ἑαυτούς μας, ἀδιαφορήσουμε γιὰ τὴν οἰκοδομὴ τῶν πλησίον μας, πῶς ἡ ζημιὰ δὲν θὰ εἶναι μεγαλύτερη ἀπὸ τὸ κέρδος;

26.- ΣΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟ ΚΑΣΙΟ

Ἐναντίον ἐκείνων ποὺ λένε ὅτι ὑπάρχει γένεση, δηλαδὴ μοῖρα, ἤτοι ἡ λεγόμενη τύχη.

Δὲν εἶναι, φίλε μου, φοβερό, ὅταν κάνουμε πράγματα φοβερά, νὰ πάθουμε καὶ φοβερά, τὸ νὰ ὑποστοῦμε ὅμως πράγματα φοβερά, χωρὶς νὰ ἔχουμε κάνει κάτι φοβερό, εἶναι στὸ ἔπακρο φοβερώτατο. Πῶς λοιπὸν θὰ ἀπολογηθοῦμε γι᾽ αὐτὸ σ᾽ αὐτοὺς ποὺ μᾶς κατηγοροῦν; Νομίζω μὲ κανένα ἄλλον τρόπο, παρὰ λέγοντας, γιὰ τὴν πρώτη περίπτωση, ὅτι ὑποφέρουμε δίκαια, ἐνῶ γιὰ τὴ δεύτερη περίπτωση, ὅτι γίνεται πρὸς δοκιμασία μας. Γιατὶ ἡ δικαιοσύνη τοὺς πρώτους τοὺς τιμώρησε δίκαια, ἐνῶ στοὺς δεύτερους ἔδωσε εὐκαιρία νὰ στεφανωθοῦν. Ἀντίθετα ἐκεῖνοι ποὺ ἀποδέχονται τὴν τύχη, δὲν θὰ μποροῦσαν νὰ ἀπαντήσουν καὶ γιὰ τὰ δύο αὐτά. Γιατὶ δὲν εἶναι δίκαιο, οὔτε αὐτὸς ποὺ ἀναγκάσθηκε νὰ κάνει κάτι, οὔτε ἐκεῖνος ποὺ δὲν ἔκανε κανένα φοβερό, νὰ ὑποστοῦν δεινά. Ἐμεῖς ὅμως ποὺ ὑποστηρίζουμε

εἶναι διαβεβαιούμενοι, καὶ εὐστομοῦμεν, καὶ εὐσεβοῦμεν, καὶ αἰτίας εὐλόγους λέγομεν.

ΚΖ΄.– ΑΓΑΘΩ ΠΡΕΣΒΥΤΕΡΩ
Περὶ τῆς ἁγίας Τριάδος.

Τὰ μὲν τὸν ἑνικὸν ὑπερβαίνοντα ἀριθμὸν ἐν τῇ ἱερᾷ Γραφῇ τῆς τῶν ὑποστάσεων διαφορᾶς ἐστι παραστατικά, τὰ δ' ἑνικῶς ἐξενηνεγμένα, τῆς ταυτότητος τῆς φύσεως. Τὰ μὲν γὰρ εἴρηται, ἵνα Σαβέλλιος καὶ Ἰουδαῖοι ἐπιστομισθῶσι, τὰ δ' ἵνα Ἄρειος κα Εὐνόμιος καὶ Ἕλληνες στηλιτευθῶσιν. Οἱ γὰρ πλατύνοντες μὲν τὴν ἁγίαν Τριάδα τὸν τῶν ἰδιοτήτων ἀριθμόν, συστέλλοντες δὲ εἰς μίαν οὐσίαν, ὀρθότατα δογματίζουσι καὶ ταῖς τῶν οὐρανίων χρησμῶν ἕπονται διδασκαλίαις, μήτ' εἰς πολυθεΐαν διὰ τῆς φύσεως διαφορὰν ἐκπίπτοντες, μήτ' εἰς Ἰουδαϊσμὸν διὰ τὴν τοῦ ἑνὸς προσώπου σύστασιν ὀλισθαίνοντες.

ΚΗ΄.– ΑΦΘΟΝΙΩ ΕΠΙΣΚΟΠΩ
Ὅτι ἀπὸ τῶν ὁμολογουμένων τὰ ἀμφίβολα χρὴ κρίνεσθαι.

Ἀπὸ τῶν ὁμολογουμένων τὰ ἀμφίβολα χρὴ κρίνεσθαι, οὐκ ἀπὸ τῶν ἀμφιβόλων τὰ ὁμολογούμενα. Οἷόν τι λέγω· ὁπηνίκα ἀπὸ τοῦ Βαβυλωνίου τὸ ὄναρ τῆς εἰκόνος ἀπέπτη καὶ ἐζήτει μαθεῖν οὐ μόνον τὴν ἑρμηνείαν τοῦ δειχθέντος, ἀλλὰ καὶ αὐτὴν τὴν ὄψιν, καὶ πάντες ἠπόρησαν, τότε ὁ Δανιὴλ οὐ πρῶτον τὰ ζητούμενα ἔφη, πρὶν περὶ τῶν δήλων ποιήσασθαι τὴν ἐξήγησιν. Τὰ γὰρ κατὰ διάνοιαν αὐτῷ βουληθέντα ὑφηγησάμενος, ἀξιόπιστον ἑαυτὸν καὶ ἀνύποπτον περὶ τῶν ἀμφισβητουμένων καθίστη. Ἡ γὰρ περὶ τῶν ὁμολογουμένων διδασκαλία, τὴν τοῦ πλάττεσθαι τὰ λεγόμενα κατηγορίαν ἀνῄρει.

ὅτι ὑπάρχει Πρόνοια, καὶ σωστὰ μιλᾶμε, καὶ εἴμαστε εὐσεβεῖς, καὶ προβάλλουμε εὔλογες αἰτίες.

27.- ΣΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟ ΑΓΑΘΟ
Γιὰ τὴν ἁγία Τριάδα.

Αὐτὰ ποὺ στὴν ἁγία Γραφὴ ξεπερνοῦν τὸν ἑνικὸ ἀριθμὸ εἶναι ἀποδεικτικὰ τῆς διαφορᾶς τῶν ὑποστάσεων, ἐνῶ ἐκεῖνα ποὺ ἐκφέρονται σὲ ἑνικὸ ἀριθμό, εἶναι ἀποδεικτικὰ τῆς ταυτότητας τῆς φύσεως. Γιατὶ τὰ πρῶτα εἰπώθηκαν γιὰ νὰ ἀποστομωθοῦν ὁ Σαβέλλιος καὶ οἱ Ἰουδαῖοι, ἐνῶ τὰ ἄλλα γιὰ νὰ στηλιτευθοῦν ὁ Ἄρειος, ὁ Εὐνόμιος καὶ οἱ Εἰδωλολάτρες. Γιατὶ οἱ πρῶτοι, ἐπεκτείνοντας στὴν ἁγία Τριάδα τὸν ἀριθμὸ τῶν ἰδιοτήτων, καὶ συστέλλοντάς την σὲ μία οὐσία, διδάσκουν πάρα πολὺ σωστά, καὶ ἀκολουθοῦν τὶς διδασκαλίες τῶν οὐρανίων ἐντολῶν, χωρὶς νὰ πέφτουν οὔτε σὲ πολυθεΐα ἐξ αἰτίας τῆς διαφορᾶς τῆς φύσεως, οὔτε νὰ ὀλισθαίνουν σὲ Ἰουδαϊσμό, μὲ τὴ σύνθεσή της σὲ ἕνα πρόσωπο.

28.- ΣΤΟΝ ΕΠΙΣΚΟΠΟ ΑΦΘΟΝΙΟ
Ὅτι πρέπει τὰ ἀμφιβαλλόμενα νὰ κρίνονται ἀπὸ αὐτὰ ποὺ εἶναι ὁμολογούμενα.

Αὐτὰ ποὺ εἶναι ἀμφίβολα πρέπει νὰ κρίνονται ἀπὸ αὐτὰ ποὺ εἶναι ὁμολογούμενα, καὶ ὄχι τὰ ὁμολογούμενα ἀπὸ αὐτὰ ποὺ εἶναι ἀμφίβολα. Ἐννοῶ τὸ ἑξῆς μὲ αὐτό· Ὅταν χάθηκε ἀπὸ τὴ μνήμη τοῦ Βαβυλώνιου τὸ ὅραμα τῆς εἰκόνας, καὶ ζητοῦσε νὰ μάθει, ὄχι μόνο τὴν ἐξήγηση τῆς εἰκόνας, ἀλλὰ καὶ τὸ ἴδιο τὸ ὅραμα, καὶ ὅλοι βρέθηκαν σὲ ἀδυναμία, τότε ὁ Δανιὴλ δὲν εἶπε πρῶτα αὐτὰ ποὺ ζητοῦσε, πρὶν νὰ ἐξηγήσει αὐτὰ ποὺ ἦταν φανερά. Γιατί, ἀφοῦ διηγήθηκε ὅλα ὅσα σκέφθηκε στὸ μυαλό του, κατέστησε τὸν ἑαυτό του ἀξιόπιστον καὶ πάνω ἀπὸ κάθε ὑποψία γι' αὐτὰ ποὺ ἀμφισβητοῦνταν[26]. Γιατὶ ἡ διδασκαλία αὐτῶν ποὺ εἶναι ὁμολογούμενα, καταργοῦσε τὴν κατηγορία ὅτι αὐτὰ ποὺ λέγονταν ἦταν πλαστά.

---

26. Δαν. 2, 29 ἑ.

ΚΘ΄.– ΕΡΜΟΓΕΝΕΙ ΕΠΙΣΚΟΠΩ

Ὅτι δεῖγμα σαφὲς τῶν ἑκάστου τρόπων, ἡ τῶν συνόντων ἐστὶ πολιτεία

Εἰ δεῖγμα σαφὲς τῶν ἑκάστου τρόπων ἡ τῶν συνόντων ἐστὶ πολιτεία, μὴ θαύμαζε εἰ Εὐσέβιος τοὺς περὶ Μαρτινιανὸν καὶ Ζώσιμον καὶ Μάρωνα καὶ τοὺς ἄλλους τοὺς ὁμοτρόπους αὐτοῖς διὰ τιμῆς ἔχει. Ὥσπερ γὰρ εἰ ἀρετῆς ἦν ἐραστής, οὐκ ἂν τῶν φιλαρέτων ἑτέρους προετίμησεν, οὕτως ἐπειδὴ σύντροφον καὶ φίλην τὴν κακίαν ἔχει, τοῖς ὁμοτρόποις χρῆται.

Λ΄.– ΑΡΧΟΝΤΙΩ ΠΡΕΣΒΥΤΕΡΩ

Ὅτι ἀοίδιμος καὶ ἀναρρήσεως ἄξιος, ὁ τῶν ἄκρων εἰς ἀρετὴν περιγενόμενος.

Ὁ μὴ διὰ τὴν τῶν ἀντιπάλων ἀσθένειαν περιγινόμενος, ἀλλὰ διὰ τὸ μέγεθος τῆς οἰκείας ῥώμης τῶν ἰσχυρῶν κρατῶν, ἀοίδιμός ἐστι καὶ ἀναρρήσεως ἄξιος. Μὴ τοίνυν ἐναβρύνου, εἰ καὶ ἑνὸς καὶ δευτέρου κεκράτηκας. Εἰ γὰρ τῶν ἄκρων εἰς ἀρετὴν περιγένοιο, ὄντως τροπαιοῦχος ἀνακηρυχθήσῃ.

ΛΑ΄.– ΩΦΕΛΙΩ ΓΡΑΜΜΑΤΙΚΩ

Πῶς εἴρηται τό, «Πρωτότοκος πάσης φύσεως».

Τὰ κατημαξεύμενα παρείς, σαφῶς εἶποιμι τὸ νενοημένον, εἰ καὶ δόξαιμί τισι καινοτέραν ἑρμηνείας ἀνατέμνειν ὁδόν. Ὁ πρωτότοκος, εἰ μὲν ἡ δευτέρα ὀξύνοιτο συλλαβή, τὸν τεχθέντα πρῶτον, εἰ δ' ἡ παρεσχάτη, τὸν πρώτως τεκόντα μηνύει. Καὶ τοῦτ' ἀκριβῶς ἴστε μάλιστα ὑμεῖς οἱ ὁμηρίζοντες. Πρωτοτόκος γὰρ ἡ πρώτως τεκοῦσα ἐκείνῳ εἴρηται. Εἰκὸς οὖν, μᾶλλον δ' ἀναγκαῖον ἐννοεῖν, ὅτι κἀνταῦθα τοιαύτῃ τινὶ ἐννοίᾳ ὁ θεσπέσιος ἐχρήσατο Παῦλος, οὐ πρῶτον τῆς κτίσεως αὐτὸν ἐκτίσθαι

29.- ΣΤΟΝ ΕΠΙΣΚΟΠΟ ΕΡΜΟΓΕΝΗ

Ὅτι σαφὴς ἀπόδειξη τῆς συμπεριφορᾶς τοῦ καθενὸς εἶναι ὁ τρόπος ζωῆς ἐκείνων ποὺ τὸν συναναστρέφονται.

Ἐὰν σαφὴς ἀπόδειξη τῶν τρόπων τοῦ καθενὸς εἶναι ἡ συμπεριφορὰ αὐτῶν ποὺ εἶναι μαζί του, μὴν ἀπορεῖς ποὺ ὁ Εὐσέβιος ἔχει περὶ πολλοῦ τοὺς ὀπαδοὺς τοῦ Μαρτινιανοῦ, τοῦ Ζωσίμου, τοῦ Μάρωνα καὶ τῶν ἄλλων ὁμοίων μὲ αὐτοὺς στοὺς τρόπους. Γιατί, ὅπως, ἐὰν ἦταν ἐραστὴς τῆς ἀρετῆς, δὲν θὰ προτιμοῦσε ἄλλους ἀπὸ ἐκείνους ποὺ εἶναι φίλοι τῆς ἀρετῆς, ἔτσι, ἐπειδὴ σύντροφο καὶ φίλη ἔχει τὴν κακία, χρησιμοποιεῖ αὐτοὺς ποὺ ἔχουν ἴδιους τρόπους συμπεριφορᾶς.

30.- ΣΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟ ΑΡΧΟΝΤΙΟ

Ὅτι εἶναι ἀείμνηστος καὶ ἄξιος ἀνακηρύξεως αὐτὸς ποὺ φθάνει στὴν κορυφὴ τῆς ἀρετῆς.

Αὐτὸς ποὺ νικᾶ ὄχι ἐξαιτίας τῆς ἀδυναμίας τῶν ἀντιπάλων, ἀλλ' ἐξουσιάζει τοὺς ἰσχυροὺς ἐξαιτίας τῆς δικῆς του δύναμης, εἶναι ἀείμνηστος καὶ ἄξιος ἀνακήρυξης. Μὴ καμαρώνεις λοιπὸν ἐπειδὴ νίκησες ἕναν καὶ δύο. Γιατὶ ὅταν φτάσεις στὰ ἄκρα τῆς ἀρετῆς, τότε θὰ ἀνακηρυχθεῖς πραγματικὰ τροπαιοῦχος.

31.- ΣΤΟΝ ΓΡΑΜΜΑΤΙΚΟ ΩΦΕΛΙΟ

Μὲ ποιὰ ἔννοια λέχθηκε τό, «Πρωτότοκος ὅλης τῆς φύσεως»[27].

Ἀφήνοντας τὰ καθιερωμένα, θὰ πῶ καθαρὰ αὐτὸ ποὺ ἔχω σκεφθεῖ, ἂν καὶ σὲ μερικοὺς θὰ φανῶ ὅτι χαράσω καινούργιο δρόμο ἑρμηνείας. Ὁ πρωτότοκος, ἐὰν βέβαια τονισθεῖ ἡ δεύτερη συλλαβή, σημαίνει ἐκεῖνον ποὺ γεννήθηκε πρῶτος, ἐὰν ὅμως τονισθεῖ ἡ προτελευταία συλλαβή, σημαίνει αὐτὸν ποὺ γέννησε γιὰ πρώτη φορά. Καὶ αὐτὸ τὸ γνωρίζετε πολὺ καλὰ μάλιστα σεῖς οἱ μιμητὲς τοῦ Ὁμήρου. Γιατὶ πρωτότοκος χαρακτηρίσθηκε ἀπὸ ἐκεῖνον αὐτὴ ποὺ γέννησε πρώτη φορά. Εἶναι λοιπὸν σωστό, ἢ μᾶλλον ἀναγκαῖο, νὰ σκεφθοῦμε, ὅτι καὶ ἐδῶ μὲ κάποια τέτοια σημασία τὸ χρησιμοποίησε ὁ θεόπνευστος Παῦλος, χωρὶς νὰ δογματίζει ὅτι κτίσθηκε πρῶτος τῆς κτίσεως,

27. Κολ. 1, 15.

δογματίζων, ἄπαγε, ὅς γε ἀπαύγασμα τῆς δόξης καὶ χαρακτῆρα τῆς ὑποστάσεως τῆς πατρικῆς αὐτὸν καλεῖ, ἀλλὰ πρῶτον τετοκέναι, τουτέστι, πεποιηκέναι τὴν κτίσιν, ἵν' ᾖ, τῆς τρίτης συλλαβῆς ὀξυνομένης, πρωτογόνος, οὐ πρωτογενής· πρωτοκτίστης, οὐ πρωτόκτιστος. Εἰ δ' ὁ τόκος ἐνταῦθα ἀντὶ τῆς κτίσεως παρελήφθη, θαυμαζέτω μηδείς, ἐπεὶ καὶ ἑτέρωσε εἴρηται· «Θεὸν τὸν γεννήσαντά σε ἐγκατέλειπες», καὶ «Υἱοὺς ἐγέννησα καὶ ὕψωσα», καὶ «Ἐγὼ εἶπα· Θεοί ἐστε καὶ υἱοὶ Ὑψίστου πάντες». Ἐπειδὴ γὰρ καὶ γεννήσας ὁ Θεὸς ἀπαθῶς ἐγέννησε, καὶ κτίζων ἀπαθῶς καὶ θεοπρεπῶς καὶ ἀμογητὶ δημιουργεῖ, τούτοις τοῖς ὀνόμασι κέχρηται ἡ Γραφή, οὐχ ἵνα τὴν γέννησιν κτίσιν, καὶ τὴν κτίσιν γέννησιν ὑπολάβωμεν, ὡς κακουργοῦντες οἱ αἱρετικοὶ κατασκευάζειν δοκοῦσιν, ἀλλ' ἵνα τὴν εὐκολίαν καὶ τὴν ἀπάθειαν τοῦ Θεοῦ παραστήσῃ. Εἰ δέ τις, προλήψει μόνῃ δουλεύων καὶ μὴ τἀληθὲς σκοπῶν, ἀντείποι, οὔτ' ἐγὼ τὴν ψῆφον ἐμαυτῷ θήσομαι, οὔτ' ἐκεῖνος ἑαυτῷ ἂν εἴη δίκαιος.

Οὐκοῦν ἐπιτρέψωμεν τὸ πρᾶγμα ἀδεκάστοις κριταῖς, καὶ ἔστωσαν κριταὶ οἱ ἀκροαταί. Εἰ μὲν οὖν ἐκεῖνος ἔχει δεῖξαι, δειξάτω, εἰ δὲ ἐμὲ ἀπαιτεῖ τὴν ἀπόδειξιν, αὐτὸν τὸν τοῦτ' εἰρηκότα παρακομίσω μάρτυρα. Μετὰ γὰρ τὸ εἰπεῖν, «Πρωτότοκος πάσης κτίσεως», ἐπήγαγεν· «Ὅτι ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα τὰ ἐν τοῖς οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς». Εἰ μὲν οὖν εἶπε, Μετ' αὐτὸν ἐκτίσθη, ψηφίσασθε τῷ κατηγόρῳ, εἰ δ' «Ἐν αὐτῷ» (ἐν γὰρ τῷ κτίστῃ ἐστὶν ἡ πάντων δημιουργία καὶ διαμονή), ὅπερ καὶ σαφηνίζων ἀλλαχόσε ἔφη· «Ἐν αὐτῷ γὰρ ζῶμεν καὶ κινούμεθα καὶ ἐσμέν», ἀναντίρρητος, ὡς οἶμαι, ἡμῶν ἡ νίκη. Εἰ δὲ καὶ τὰ ἑξῆς φράσαιμι, ἐπιφανέστερόν ἐστι τὸ τρόπαιον. Φησὶ γάρ· «Καὶ αὐτός ἐστι πρὸ πάντων». Οὐκ εἶπεν, Αὐτὸς γέγονε πρὸ πάντων, ἀλλ', «Ἔστι πρὸ πάντων καὶ τὰ πάντα ἐν αὐτῷ συνέστηκεν». Οὐκ εἶπε, Μετ' αὐτοῦ, οὐδέ, Μετ' αὐτὸν ἐκτίσθη· διὰ τί δὲ παραγράφονται τοὺς λέγοντας, μονογενὴς μὲν κατὰ τὴν θεό-

28. Δευτ. 31, 18. 29. Ἡσ. 1. 2. 30. Ψαλμ. 81, 6.

μακριὰ μιὰ τέτοια σκέψη, αὐτὸς ποὺ τὸν ὀνομάζει ἀκτινοβολία τῆς δόξας καὶ χαρακτήρα τῆς ὑπόστασης τοῦ Πατέρα, ἀλλὰ ὅτι πρῶτος γέννησε, δηλαδὴ δημιούργησε τὴν κτίση, ὥστε νὰ εἶναι, τονιζόμενης τῆς τρίτης συλλαβῆς, πρωτογόνος, ὄχι πρωτογενής, πρωτοκτίστης, ὄχι πρωτόκτιστος. Ἐὰν ὅμως ἡ γέννηση ἐδῶ χρησιμοποιήθηκε ἀντὶ τῆς κτίσεως, ἂς μὴ ἀπορεῖ κανείς, γιατὶ καὶ ἀλλοῦ ἔχει λεχθεῖ· «Ἐγκατέλειψες τὸν Θεὸ ποὺ σὲ γέννησε»[28], καί, «Γέννησα υἱοὺς καὶ τοὺς ἀνύψωσα»[29], καί, «Ἐγὼ εἶπα· Εἴσαστε ὅλοι θεοὶ καὶ υἱοὶ τοῦ Ὑψίστου»[30]. Ἐπειδὴ ὅμως, ἂν καὶ ἐγέννησε ὁ Θεός, γέννησε χωρὶς νὰ πάθει, καὶ κτίζοντας δημιουργεῖ χωρὶς νὰ πάθει καὶ ὅπως ταιριάζει στὸν Θεὸ καὶ χωρὶς νὰ κοπιάσει, ἡ ἁγία Γραφὴ χρησιμοποιεῖ αὐτὰ τὰ ὀνόματα, ὄχι γιὰ νὰ ἐκλάβουμε τὴ γέννηση κτίση, καὶ τὴν κτίση γέννηση, ὅπως φαίνονται νὰ κάνουν οἱ αἱρετικοὶ διάσκοντας μὲ πανουργία, ἀλλὰ γιὰ νὰ παραστήσει τὴν εὐκολία καὶ τὴν ἀπάθεια τοῦ Θεοῦ. Ἐὰν ὅμως κάποιος, ὑπηρετώντας μόνο κάποια πρόληψη, καὶ μὴ ἀποβλέποντας στὴν ἀλήθεια, διαφωνήσει, οὔτε ἐγὼ θὰ δεχθῶ τὴν γνώμη του, οὔτε ἐκεῖνος θὰ εἶναι ἱκανοποιημένος μὲ τὸν ἑαυτό του.

Ἂς ἀναθέσουμε λοιπὸν τὸ ζήτημα σὲ ἀδέκαστους κριτές, καὶ ἂς γίνουν οἱ ἀκροατὲς κριτές. Ἐὰν λοιπὸν ἐκεῖνος μπορεῖ νὰ παρουσιάσει κάτι, ἂς τὸ παρουσιάσει, ἐὰν ὅμως ζητήσει ἀπὸ μένα τὴν ἀπόδειξη, θὰ παρουσιάσω μάρτυρα αὐτὸν τὸν ἴδιο ποὺ τὰ εἶπε. Γιατί, ἀφοῦ εἶπε, «Πρωτότοκος πάσης κτίσεως», πρόσθεσε· «Καθόσον ἀπὸ αὐτὸν κτίσθηκαν τὰ πάντα, τὰ ἐπουράνια καὶ τὰ ἐπίγεια»[31]. Ἐὰν λοιπὸν εἶπε, Κτίσθηκαν μετὰ ἀπὸ αὐτόν, δῶστε τὴν ψῆφο σας στὸν κατήγορο, ἐφόσον ὅμως εἶπε, «Ἀπὸ αὐτὸν» (γιατὶ μέσα στὸν κτίστη ὑπάρχει ἡ δημιουργία καὶ διαμονὴ ὅλων), τὸ ὁποῖο καὶ διευκρινίζοντάς το ἀλλοῦ εἶπε· «Γιατὶ μέσα σ' αὐτὸν ζοῦμε καὶ κινούμαστε καὶ ὑπάρχουμε»[32], ἡ νίκη μας, ὅπως νομίζω, εἶναι ἀναντίρρητη. Ἐὰν ὅμως πῶ καὶ τὰ παρακάτω, τὸ τρόπαιό μας θὰ γίνει πιὸ φανερό. Γιατὶ λέγει· «Καὶ αὐτὸς ὑπάρχει πρὶν ἀπὸ ὅλα»[33]. Δὲν εἶπε, Αὐτὸς ἔγινε πρὶν ἀπὸ ὅλα, ἀλλά, «ὑπάρχει πρὶν ἀπὸ ὅλα, καὶ ὅλα ἦρθαν στὴν ὕπαρξη ἀπὸ αὐτόν»[33]. Δὲν εἶπε, Κτίσθηκαν μαζὶ μὲ αὐτόν, οὔτε, Μετὰ ἀπὸ αὐτόν. Καὶ γιατί διαγράφουν αὐτοὺς ποὺ λένε, μονογενὴς βέβαια ὡς πρὸς τὴ

31. Κολ. 1, 16. 32. Πράξ. 17, 28. 33. Κολ. 1, 17.

τητα, πρωτότοκος δὲ τῆς νέας κτίσεως κατὰ τὴν ἀνθρωπότητα; Εἰ γὰρ μήτε οὕτω νοηθείη, μήτε μὴν "πρωτοκτίστης" κληθείη, τὸ «πρωτότοκον», εἰ μὲν τῷ μονογενεῖ συναφθείη, δύναται τὴν εὐγένειαν ἐμφῆναι· δύναται γὰρ εἶναί τις καὶ πρωτότοκος καὶ μονογενὴς υἱός. Εἰ δὲ τοῖς κτίσμασιν, οὐκ ἔχει χώραν. Ἢ γὰρ μονόκτιστος ἢ πρωτογενής (θάτερον γὰρ θατέρου ἀναιρετικόν ἐστι). Τί δ' ἄρα ἐκώλυε σαφῶς αὐτὸν εἰπεῖν, Πρωτόκτιστος πάσης κτίσεως; Πῶς δέ, εἰ πρωτόκτιστος νοεῖται, μονογενής ἐστι; Τὸ μὲν γὰρ μόνον ἄλλο οὐ προσίεται, τὸ δὲ πρῶτον τὸ μόνον παραγράφεται. Τί δὲ διαφέρει τῶν κτισμάτων κατ' αὐτό τοῦτο, εἴ γε καὶ αὐτὸς ἐκτίσθη; Πῶς δὲ οὐκ ἐρυθριῶσι κτίσμασι προσκυνοῦντες καὶ ταῖς ἑαυτῶν μαχόμενοι ψήφοις; Ἀπαγορεύοντες καὶ τὸ τῇ κτίσει προσκυνεῖν, ὡς ἑλληνικόν, αὐτοὶ τοῦτο δρῶντες ἑαυτοὺς λανθάνουσι.

Χρὴ δὲ καὶ τοῦτ' εἰδέναι, ὅτι οὐ τὰ αὐτὰ ὀνόματα πάντως καὶ τὰ αὐτὰ μηνύει πράγματα, οὔθ' ἡ ὁμωνυμία συνωνυμίαν ἐκ παντὸς τρόπου ἐμφαίνει. Ἐπὶ μὲν γὰρ τοῦ Υἱοῦ κυρίως λέγεται ἡ γέννησις, ἐπὶ δὲ τῶν κτισμάτων καταχρηστικῶς. Ἐπ' ἐκείνου τῆς ἀληθείας ἕνεκεν καὶ τῆς ὁμοουσιότητος, ἐπὶ δὲ τούτων τιμῆς ἕνεκεν καὶ υἱοθεσίας. Βουληθεὶς γὰρ ἀπεκύησεν ἡμᾶς Λόγῳ ἀληθείας. Μὴ τοίνυν ἡ ὁμωνυμία τὴν ὁμοτιμίαν ἐνταῦθα τικτέτω, μηδὲ τὰ καταχρηστικῶς εἰρημένα κυρίως λελέχθαι νομιζέσθω. Ἐπεὶ καὶ τὸν θυμὸν καὶ τὴν ὀργὴν καὶ τ' ἄλλα πάντα τὰ τῇ θείᾳ μὴ πρέποντα φύσει, καταχρηστικῶς λελεγμένα, οὐκ ἄν τις εὐφρονῶν κυρίως πεφρᾶσθαι φαίη. Δῆλον γάρ ἐστιν, ὅτι ἑκάστῳ χωρίῳ καὶ ἑκάστῃ λέξει ἡ πρέπουσα καὶ ἁρμόζουσα ἑρμηνεία προσαγομένη τὴν ἀλήθειαν ὠδίνει.

ΛΒ'.– ΗΣΑΪΑ ΣΤΡΑΤΙΩΤΗ

Ὅτι ἡ μὲν θεία δύναμις ἀεὶ ἡ αὐτή ἐστι,
τὰ δ' ἀνθρώπινα οὐδὲν βέβαιον ἔχουσιν.

Λίαν ἐκπλήττομαι, πῶς, μάλα ἀκριβῶς ἐπιστάμενος, τὴν μὲν θείαν δύναμιν ἄμαχον οὖσαν καὶ ἀεὶ κατὰ τὸ αὐτὸ καὶ ὡσαύτως

θεότητα, καὶ πρωτότοκος τῆς νέας κτίσεως ὡς πρὸς τὴν ἀνθρωπότητα; Γιατί, ἂν οὔτε ἔτσι νοηθεῖ, οὔτε καὶ «πρωτοκτίστης» ὀνομασθεῖ, τὸ «πρωτότοκος», ἂν συνδυαστεῖ μὲ τὸν μονογενῆ, μπορεῖ νὰ φανερώσει τὴν εὐγένεια, γιατὶ μπορεῖ κάποιος νὰ εἶναι καὶ πρωτότοκος καὶ μονογενὴς υἱός. Ἐνῶ ἐὰν συνδεθεῖ μὲ τὰ κτίσματα, δὲν ἔχει θέση. Γιατὶ ἢ μονόκτιστος εἶναι ἢ πρωτογενής. Γιατὶ τὸ ἕνα ἀναιρεῖ τὸ ἄλλο. Τί ἑπομένως τὸν ἐμπόδιζε νὰ πεῖ καθαρά, Πρωτόκτιστος ὅλης τῆς κτίσεως; Καὶ πῶς, ἐὰν νοεῖται πρωτόκτιστος, εἶναι μονογενής; Γιατὶ αὐτὸ ποὺ εἶναι μόνο, δὲν ἐπιδέχεται ἄλλο, ἐνῶ τὸ πρῶτο, ἀποκλείει τὸ μόνο. Κατὰ τί λοιπὸν διαφέρει ἀπὸ τὰ κτίσματα, ὡς πρὸς αὐτό, ἐὰν καὶ αὐτὸς κτίσθηκε; Καὶ πῶς δὲν κοκκινίζουν, προσκυνώντας κτίσμα καὶ πολεμώντας τὶς δικές τους ἀποφάσεις; Ἀπαγορεύοντας καὶ τὴν προσκύνηση τῆς κτίσης, ὡς εἰδωλολατρική, δὲν ἀντιλαμβάνονται ὅτι αὐτὸ τὸ κάνουν οἱ ἴδιοι.

Πρέπει ὅμως νὰ γνωρίζουμε καὶ αὐτό· ὅτι τὰ ἴδια ὀνόματα δὲν σημαίνουν ὁπωσδήποτε τὰ ἴδια πράγματα, οὔτε ἡ ὁμωνυμία σὲ κάθε περίπτωση φανερώνει συνωνυμία. Γιατὶ ἡ γέννηση κυρίως ἀναφέρεται στὸν Υἱό, ἐνῶ γιὰ τὰ κτίσματα χρησιμοποιεῖται καταχρηστικά. Σ' ἐκεῖνον βέβαια ἐξαιτίας τῆς πραγματικότητας καὶ τῆς ὁμοουσιότητας, ἐνῶ στὰ κτίσματα τιμῆς ἕνεκεν καὶ ἐξαιτίας τῆς υἱοθεσίας. Γιατὶ θέλοντας μᾶς γέννησε ἐμᾶς μὲ τὸν Λόγο τῆς ἀλήθειας. Ἂς μὴ γεννᾶ λοιπὸν ἐδῶ ἡ ὁμωνυμία τὴν ἰσοτιμία, οὔτε αὐτὰ ποὺ λέγονται καταχρηστικά, νὰ νομίζουμε ὅτι λέγονται κυριολεκτικά. Γιατὶ καὶ τὸν θυμὸ καὶ τὴν ὀργή, καὶ ὅλα τὰ ἄλλα ποὺ δὲν ταιριάζουν στὴ θεία φύση, ἔχοντας λεχθεῖ καταχρηστικά, δὲν θὰ μποροῦσε κανένας λογικὸς νὰ ἰσχυρισθεῖ ὅτι εἰπώθηκαν κυριολεκτικά. Γιατὶ εἶναι φανερὸ ὅτι, ὅταν σὲ κάθε χωρίο καὶ κάθε λέξη δίνεται ἡ πρέπουσα ἑρμηνεία, γεννᾶ τὴν ἀλήθεια.

32.- ΣΤΟΝ ΣΤΡΑΤΙΩΤΗ ΗΣΑΪΑ

Ὅτι ἡ θεία δύναμη εἶναι πάντοτε ἴδια,
ἐνῶ τὰ ἀνθρώπινα δὲν ἔχουν τίποτε τὸ σταθερό.

Ἐκπλήσσομαι πολύ, πῶς, ἐνῶ γνωρίζεις μὲ μεγάλη ἀκρίβεια, ὅτι ἡ θεία δύναμη εἶναι ἀκαταμάχητη, καὶ πάντοτε εἶναι ἴδια καὶ μὲ τὸν

ἔχουσαν, τῶν δ' ἀνθρωπίνων βέβαιον οὐδὲν οὐδ' ἀσφαλές, ἀλλὰ κἂν ἄγαν δυνατὸν εἶναι δοκοίη, ἀμφίβολόν ἐστιν (ὁμολογουμένην γὰρ κέκτηται τὴν εἰς τοὐναντίον μεταβολήν, ὅταν μὴ τὴν ἄνωθεν ἔχῃ ῥοπήν, καὶ πτῶσιν ἐξαίσιον ὠδίνει), οὐ μετρεῖς αὐτοῦ τὸ φρόνημα, ἀλλ' ὑπερφυῶς ἐξογκούμενος, τὴν ἐναντίαν προκαλῇ μεταβολήν.

ΛΓ'.– ΠΑΥΛΩ

Τί σημαίνει τὸ ἐπὶ μέτρου μολύβδου τὸν προφήτην Ζαχαρίαν καθιεμένην ἰδεῖν τὴν ἁμαρτίαν.

Ἐπειδὴ ἔφης, Δι' ἣν αἰτίαν ἐπὶ μέτρου μολύβδου καθεδουμένην τὴν ἁμαρτίαν ἑώρακεν ὁ Ζαχαρίας; φημί, ὅτι ὁ μὲν μόλυβδος δηλοῖ τὸ βάρος τῆς ἁμαρτίας (οὐδὲν γὰρ ἐπαχθέστερον οὐδὲ φορτικώτερον τῆς ἁμαρτίας, τῆς εἰς τὸν πυθμένα τοῦ ᾅδου κατακοντιζούσης τοὺς ἁλόντας), τὸ δὲ μέτρον τὸ τέλος μηνύει τῆς περὶ τοὺς ἁμαρτήσαντας μακροθυμίας καὶ τῆς τιμωρίας τὴν ἀρχήν. Οὐ γὰρ ἀμέτρως, οὐδ' ἀεὶ ἁμαρτάνειν συγχωρηθήσονται, ἀλλ' ὅσον οὐδέπω πικροτάτας εἰσπραχθήσονται δίκας.

ΛΔ'.– ΕΥΤΟΝΙΩ

Εἰς τό, «Προσέχετε τὴν δικαιοσύνην ὑμῶν, μὴ ποιεῖν ἔμπροσθεν τῶν ἀνθρώπων πρὸς τὸ θεαθῆναι αὐτοῖς. Εἰ δὲ μή γε, μισθὸν οὐκ ἔχετε παρὰ τῷ Πατρὶ ὑμῶν τῷ ἐν τοῖς οὐρανοῖς».

Δεινὸν ὄντα καὶ δραστήριον τὸν τῆς φιλοτιμίας ἔρωτα καὶ δεινῶς κρατοῦντα τοῦ ἀνθρωπίνου γένους, ὁ σωτήριος Λόγος σοφῶς τε καὶ ἐπιστημόνως καταστέλλων καὶ πρὸς τὸ κρεῖττον μετοχετεύων, φησί· «Προσέχετε τὴν δικαιοσύνην ὑμῶν, μὴ ποιεῖν ἔμπροσθεν τῶν ἀνθρώπων πρὸς τὸ θεαθῆναι αὐτοῖς. Εἰ δὲ μή γε, μισθὸν οὐκ ἔχετε παρὰ τῷ Πατρὶ ὑμῶν τῷ ἐν τοῖς οὐρανοῖς». Ἐπειδὴ γὰρ ᾔδει, ἅτε ποιητὴς ὢν καὶ δημιουργός, καλῶς ἐξ ἀρχῆς ἐμπεφυτεύμενα τοῖς ἀνθρώποις τὰ τῆς φιλοτιμίας σπέρματα, οὐχ ἁπλῶς οὐδ' εἰκῇ, ἀλλ' ἵνα, διάπυροι τῆς

35. Ματθ. 6, 1.

ἴδιο τρόπο, ἐνῶ ἀπὸ τὰ ἀνθρώπινα τίποτε δὲν εἶναι σταθερό, οὔτε ἀσφαλές, ἀλλὰ κι' ἂν ἀκόμα φαίνεται ὅτι εἶναι πολὺ δυνατόν, εἶναι ἀμφίβολο (γιατὶ ἔχει ὁμολογημένη τὴ μεταβολή του στὸ ἀντίθετο, ὅταν δὲν ἔχει τὴν οὐράνια βοήθεια, καὶ προξενεῖ ὀλέθρια πτώση), δὲν δείχνεις μετριοφροσύνη, ἀλλὰ φουσκώνοντας ἀπὸ ἔπαρση ὑπερφυσικά, προκαλεῖς τὴν ἀντίθετη μεταβολή.

33.– ΣΤΟΝ ΠΑΥΛΟ

Τί σημαίνει τὸ ὅραμα τοῦ Ζαχαρία, κατὰ τὸ ὁποῖο εἶδε τὴν ἁμαρτία νὰ κάθεται μέσα σὲ δοχεῖο μολύβδινο[34].

Ἐπειδὴ ρώτησες, Γιὰ ποιὸν λόγο ὁ Ζαχαρίας εἶδε τὴν ἁμαρτία νὰ κάθεται μέσα σὲ δοχεῖο μολύβδινο, σοῦ ἀπαντῶ, ὅτι ὁ μόλυβδος σημαίνει τὸ βάρος τῆς ἁμαρτίας (γιατὶ τίποτε δὲν εἶναι βαρύτερο καὶ φορτικώτερο ἀπὸ τὴν ἁμαρτία, ἡ ὁποία ὅσους αἰχμαλωτίσει τοὺς καταβυθίζει στὸν πυθμένα τοῦ ἅδη), ἐνῶ τὸ δοχεῖο σημαίνει τὴ μακροθυμία τοῦ Θεοῦ γι' αὐτοὺς ποὺ ἁμάρτησαν, καὶ τὴν ἀρχὴ τῆς τιμωρίας. Γιατὶ δὲν θὰ τοὺς ἐπιτραπεῖ νὰ ἁμαρτάνουν ἀπεριόριστα οὔτε καὶ πάντοτε, ἀλλὰ τόσο, ὥστε νὰ μὴ ὑποστοῦν πολὺ βαρειὲς τιμωρίες.

34.– ΣΤΟΝ ΕΥΤΟΝΙΟ

Στὴ ρήση· «Προσέχετε νὰ μὴ κάνετε τὴν ἐλεημοσύνη σας μπροστὰ στοὺς ἀνθρώπους, γιὰ νὰ σᾶς δοῦν, γιατὶ ἀλλιῶς δὲν θὰ ἔχετε ἀνταμοιβὴ ἀπὸ τὸν Πατέρα σας, ποὺ βρίσκεται στοὺς οὐρανούς»[35].

Ἐπειδὴ ὁ ἔρωτας τῆς φιλοδοξίας εἶναι φοβερὸς καὶ δραστήριος, καὶ ἐξουσιάζει φοβερὰ τὸ ἀνθρώπινο γένος, περιορίζοντάς τον ὁ σωτήριος Λόγος μὲ σοφία καὶ ἐπιστημοσύνη καὶ μεταβάλλοντάς τον πρὸς τὸ καλύτερο, λέγει· «Προσέχετε νὰ μὴ κάνετε τὴν ἐλεημοσύνη σας μπροστὰ στοὺς ἀνθρώπους, γιὰ νὰ σᾶς δοῦν, γιατὶ ἀλλιῶς δὲν θὰ ἔχετε ἀνταμοιβὴ ἀπὸ τὸν Πατέρα σας, ποὺ βρίσκεται στοὺς οὐρανούς»[35]. Ἐπειδὴ δηλαδή, ὄντας ποιητὴς καὶ δημιουργός, γνώριζε ὅτι τὰ φυτεμένα ἀπὸ τὴν ἀρχὴ στοὺς ἀνθρώπους σπέρματα τῆς φιλοδοξίας, ὄχι ἔτσι ἁπλᾶ καὶ στὴν τύχη, ἀλλὰ μὲ σκοπό, ὄντας θερμοὶ ἐρα-

τιμῆς τυγχάνοντες ἐρασταί, ἐπὶ τὸ βέλτιον ἐπιδοῖεν, κάλλιστον κεκτημένοι φυλακτήριον πρὸς τὸ μὴ δουλεύειν τοῖς ἀνελεύθεροις πάθεσι τὸν τῆς δόξης πόθον, μετοχετεύσαντας δὲ πρὸς τοὐναντίον τὸ ἔμφυτον δῶρον καὶ πρὸς τὴν γηΐνην τιμὴν τρα-
5 πέντας, λήθῃ τῆς οὐρανίου, πάλιν, ὥσπερ ἄριστος γεωργὸς ἐπιμελόμενος τῆς ψυχῆς, τὰς μὲν πρὸς τὸ χεῖρον βλάστας ἐκκόπτει, καὶ τῶν κακίστων πρὸς τὴν ἀνθρωπίνην δοξομανίαν δεινῶς ὑλομανοῦσαν ἐπέχει τὴν φοράν. Ὅσον δὲ αὐτῆς ἥμερόν τε καὶ γόνιμον πρὸς τὴν τῶν ὑπερκοσμίων τιμῶν καρποφο-
10 ρίαν, οὐ μόνον ὑπολείπεται, ἀλλὰ καὶ ζωοπυρεῖ καὶ γονιμώτερον κατασκευάζει, τὴν μὲν ἐπίδειξιν, ἣν οἱ τῆς ἀνθρωπίνης ὀρεγόμενοι δόξης ποιοῦνται, αὐτόπρεμνον ἀνασπάσας, τὴν δὲ πρὸς Θεὸν μόνον ὁρῶσαν εἰκότως κατὰ κράτος φιλοτιμεῖσθαι ἐπιτρέψας.

15 ## ΛΕ΄.– ΙΕΡΑΚΙ ΠΡΕΣΒΥΤΕΡΩ
Περὶ τῆς τῶν Χαιρήμονός τε καὶ Ζωσίμου καὶ Μάρωνος μεταγνώσεως.

Ἢ μᾶλλον ἢ οὐχ ἧττον τῆς σῆς μεγαλονοίας ἐφροντίσαμεν, ὅπως τό γε ἡμέτερον μέρος Χαιρήμων τε καὶ Ζώσιμος καὶ Μά-
20 ρων μεταγνοῖεν, καί, ἀμείνονα γνώμην ἀναλαβόντες, ἀπαλλαγεῖεν τῆς αἰσχύνης. Ἐπειδὴ δέ, ὡς ἔοικεν, εἰς ἀνανταγώνιστον ἐκπεπτωκότες κακίαν, οὐδέπω ἀνενεγκεῖν ἠβουλήθησαν, διὸ καὶ παρά τινων μέν, ὡς ταύτῃ ἀνανήψαντες, καταθρηνοῦνται, παρά τινων δὲ ἀπηγορεύθησαν, ὡς εἰς ἀναλγησίαν ἐξοκείλαν-
25 τες, ἀλλ᾽ οὖν γε πάλιν οὐδὲν ἐλλείψει τῶν εἰς ἡμᾶς ἡκόντων, τάχα πως κἂν ὀψέ ποτε γνωσιμαχήσαντες, σπείσονται πρὸς τὴν ἀρετήν, ἣν ἀκηρύκτως πολεμεῖν οὐκ αἰσχύνονται. Τοῦτο μὲν ἔργον, τὰ δ᾽ ἄλλα νομίζοντες εἶναι πάρεργα.

ΛϚ΄.– ΧΑΙΡΗΜΟΝΙ, ΖΩΣΙΜΩ,
30 ## ΜΑΡΩΝΙ, ΕΥΣΤΑΘΙΩ
Περὶ τῆς μελλούσης κρίσεως.

Εἰ κρίσιν μὴ προσδοκῶντες δρᾶτε ἃ δρᾶτε, ἀλλὰ τοῦτ᾽ εἰδέ-

στὲς τῆς τιμῆς, νὰ ἐπιδίδονται πρὸς τὸ καλύτερο, ἔχοντας κάλλιστο προφυλακτικὸ μέσο, γιὰ νὰ μὴ γίνονται δοῦλοι στὰ ἀνελεύθερα πάθη, τὸν πόθο τῆς δόξας, ἐπειδὴ ὅμως μετάβαλαν τὸ ἔμφυτο δῶρο πρὸς τὸ ἀντίθετο καὶ στράφηκαν πρὸς τὴ γήϊνη δόξα, ξεχνώντας τὴν οὐράνια, πάλι σὰν ἄριστος γεωργός, φροντίζοντας τὴν ψυχή, κόβει τὰ βλαστάρια πρὸς τὸ χειρότερο, καὶ συγκρατεῖ τὴ λυσσώδη ροπὴ τῶν ὑπερβολικὰ κακῶν πρὸς τὴν ἀνθρώπινη δοξομανία. Ὅ,τι ἀπὸ αὐτὴν εἶναι ἥμερο καὶ γόνιμο γιὰ τὴν καρποφορία τῶν ὑπερκόσμιων τιμῶν, ὄχι μόνο δὲν τὸ ἐγκαταλείπει, ἀλλὰ καὶ τὸ ἐμψυχώνει καὶ τὸ κάνει πιὸ γόνιμο, ἀνακόπτοντας σύρριζα τὴν ἐπίδειξη ποὺ ἐπιδιώκουν αὐτοὶ ποὺ ἐπιθυμοῦν τὴν ἀνθρώπινη δόξα, καὶ ἐπιτρέποντάς τους νὰ ἐπιζητοῦν μόνο τὴ δόξα ποὺ ἀποβλέπει πρὸς τὸν Θεό.

35.– ΣΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟ ΙΕΡΑΚΑ
Γιὰ τὴ μεταμέλεια τοῦ Χαιρήμονα, τοῦ Ζωσίμου καὶ τοῦ Μάρωνα.

Ἢ περισσότερο, ἢ ὄχι λιγώτερο ἀπὸ τὴ δική σου μεγαλοφροσύνη, φροντίσαμε, ὥστε, ὅσον ἀφορᾶ τὸ δικό μας μερίδιο, καὶ ὁ Χαιρήμων καὶ ὁ Ζώσιμος καὶ ὁ Μάρωνας νὰ μετανοήσουν, καὶ ἀφοῦ ἐκδηλώσουν καλύτερη γνώμη, νὰ ἀπαλλαγοῦν ἀπὸ τὴν ντροπή. Ἐπειδὴ ὅμως, ὅπως φαίνεται, ἔχουν περιπέσει σὲ ἀκαταγώνιστη κακία καὶ δὲν θέλησαν ποτὲ νὰ συνέλθουν, γι' αὐτὸ καὶ ἀπὸ μερικοὺς βέβαια, ποὺ συνῆλθαν καὶ ἀπομακρύνθηκαν ἀπὸ αὐτήν, θρηνοῦνται, ἀπὸ ἄλλους πάλι ἀποκλείσθηκαν, ἐπειδὴ παρασύρθηκαν σὲ ὀλέθριο πάθος. Ἀλλ' ὅμως πάλι δὲν θὰ παραλείψουμε τίποτε ἀπὸ αὐτὰ ποὺ ἐξαρτῶνται ἀπὸ μᾶς, μήπως, ἔστω καὶ ἀργά, ἀναγνωρίζοντας τὴν πλάνη τους, συμμαχήσουν μὲ τὴν ἀρετή, μὲ τὴν ὁποία δὲν ντρέπονται νὰ ἔχουν ἀκήρυκτο πόλεμο. Αὐτὸ εἶναι τὸ καθῆκον μας, ἐνῶ τὰ ἄλλα εἶναι, νομίζουμε, πάρεργα.

36.– ΣΤΟΝ ΧΑΙΡΗΜΟΝΑ, ΤΟΝ ΖΩΣΙΜΟ, ΤΟΝ ΜΑΡΩΝΑ ΚΑΙ ΤΟΝ ΕΥΣΤΑΘΙΟ
Γιὰ τὴ μέλλουσα κρίση.

Ἐὰν κάνετε αὐτὰ ποὺ κάνετε, ἐπειδὴ δὲν περιμένετε κρίση, ὅμως

ναι ὀφείλετε, ὅτι ἡ μὲν κακία καὶ χωρὶς ἑτέρας κολάσεως κόλασίς ἐστιν, ἡ δ' ἀρετὴ καὶ δίχα στεφάνων στέφανος. Μάλιστα μὲν γὰρ κἂν τῶν κἀνταῦθα κολασθέντων ὁ περὶ τῆς μελλούσης κρίσεως λόγος ἀξιόπιστός ἐστι καὶ ἀληθὴς καὶ παρὰ πάντων ὁμολογούμενος. Εἰ δὲ εἰς τοσαύτην ὑμᾶς ἡ κακία φρενοβλάβειαν ἐξεβάκχευσεν, ὡς τοῦτον ἐκ τῆς ὑμετέρας γνώμης ἀνελεῖν, ἀλλ' οὖν γε, ἵνα παρῶ τὸ πολλοὺς κἀνταῦθα δεδωκέναι δίκην, μὴ μικρὰν εἶναι νομίσητε κόλασιν τὸ ἐνταῦθα παρὰ πάντων κωμῳδεῖσθαι καὶ μισεῖσθαι, μηδὲ μικρὸν στέφανον τὸ εὐσχημόνως καὶ σεμνῶς καὶ μετ' ἐγκωμίων τὸν ἐνταῦθα διανῦσαι βίον.

ΛΖ'.– ΑΡΠΟΚΡΑ ΣΟΦΙΣΤΗ

Περὶ κρίσεως.

Ἀτοπώτατον εἶναί μοι φαίνεται, τὸ ἐκείνων μὲν ἐν οἷς διενέχθησαν οἵ τ' ἔξωθεν σοφοὶ καὶ αἱ ἱεραὶ Γραφαί, πολὺν ποιεῖσθαι λόγον, ἐν οἷς δὲ συνήχθησαν ὀλίγον. Ὁ μὲν γὰρ τῆς κρίσεως λόγος καὶ εὔλογος ὢν καὶ δίκαιος καὶ λογικοῖς πρέπων, καὶ παρ' ἡμῶν καὶ παρ' ἐκείνων ὁμολογούμενος, ὀλίγους δή τινας ἐπισπᾶται εἰς τὸ τὰ δέοντα πράττειν. Οἱ γὰρ πολλοὶ (καὶ μή τις θυμοῦ τὸ λεγόμενον εἶναι νομιζέτω), ὡς μήτε κρίσεως οὔσης μήτε προνοίας ἐφεστώσης καὶ καθορώσης τὰ δρώμενα, καθάπερ ἐν ἀσελήνῳ νυκτὶ δρῶσιν ἃ δρῶσιν, ὁ δ' ἀμφισβητήσιμος, καίτοι ἀπίθανος ὤν, τοὺς πολλοὺς χειροῦται. Πολιτείας μὲν γὰρ ἀκριβοῦς ὀλιγωροῦσι, τὴν δὲ γλῶτταν ὑπὲρ τὸ δέον θήγουσι, καὶ σωφροσύνης μὲν αὐτοῖς λόγος οὐδείς, περὶ ὕλης δὲ ἀγεννήτου καὶ ἄλλων τινῶν φλυαροῦσιν, ἃ μήτε γινωσκόμενα μέγα τι εἰς σωτηρίαν συντελεῖ, μήτ' ἀγνοούμενα καταβλάπτει τοὺς μὴ πεπαιδεύμενους. Μανθανέτωσαν οὖν πρῶτον τὸν παρά τε ἡμῶν καὶ αὐτῶν ὁμολογούμενον τῆς κρίσεως λόγον ἀνακινεῖν καὶ βίου ὀρθοῦ ἔχεσθαι· ἀτοπώτατον γὰρ τὸ μὲν ἐν οἷς συνέβησαν σιωπᾷν, τὰ δ' ἐν οἷς διενέχθησαν ἄνω καὶ κάτω θρυλλεῖν.

πρέπει νὰ γνωρίζετε τοῦτο· ὅτι ἡ κακία, καὶ χωρὶς ἄλλη τιμωρία, εἶναι τιμωρία, ἐνῶ ἡ ἀρετή, καὶ χωρὶς στεφάνια, εἶναι στεφάνι. Καὶ βέβαια ὁ λόγος γιὰ τὴ μέλλουσα κρίση εἶναι ἀξιόπιστος καὶ ἀληθινὸς καὶ ἀπὸ αὐτοὺς ποὺ τιμωρήθηκαν ἐδῶ, καὶ ὁμολογεῖται ἀπὸ ὅλους. Ἐὰν ὅμως ἡ κακία σᾶς ὁδήγησε σὲ τόσο μεγάλη βακχικὴ φρενοβλάβεια, ὥστε νὰ ἀφανίσει αὐτὸν ἀπὸ τὴ δική σας γνώμη, ἀλλ᾽ ὅμως, γιὰ νὰ παραλείψω τὸ ὅτι πολλοὶ καὶ ἐδῶ τιμωρήθηκαν, νὰ μὴ νομίσετε ὅτι εἶναι μικρὴ τιμωρία τὸ νὰ διακωμωδεῖστε ἐδῶ καὶ νὰ μισεῖσθε ἀπὸ ὅλους, οὔτε ὅτι εἶναι μικρὴ δόξα τὸ νὰ διανύσετε τὴν ἐδῶ ζωὴ μὲ εὐπρέπεια καὶ σεμνότητα καὶ ἐγκώμια.

37.- ΣΤΟΝ ΣΟΦΙΣΤΗ ΑΡΠΟΚΡΑ
Γιὰ τὴν κρίση.

Νομίζω πὼς εἶναι παράλογο, τὸ ὅτι, γιὰ ἐκεῖνα στὰ ὁποῖα διαφώνησαν καὶ οἱ μὴ χριστιανοὶ σοφοὶ καὶ οἱ ἅγιες Γραφές, γίνεται πολὺς λόγος, ἐνῶ γι᾽ αὐτὰ ποὺ συμφώνησαν, λίγος. Γιατὶ ὁ λόγος τῆς κρίσεως, ποὺ εἶναι καὶ εὔλογος καὶ δίκαιος, καὶ ταιριάζει στοὺς λογικούς, καὶ ὁμολογεῖται καὶ ἀπὸ μᾶς καὶ ἀπὸ ἐκείνους, μόνο λίγους ἑλκύει στὸ νὰ κάνουν αὐτὰ ποὺ πρέπει. Καθόσον οἱ περισσότεροι (καὶ νὰ μὴ νομίσει κανεὶς ὅτι αὐτὸ τὸ λέγω ἀπὸ θυμό), σὰν νὰ μὴ ὑπάρχει οὔτε κρίση, οὔτε πρόνοια, ἡ ὁποία εἶναι παροῦσα καὶ ἐπιβλέπει αὐτὰ ποὺ γίνονται, κάνουν αὐτὰ ποὺ κάνουν σὰν νὰ τὰ κάνουν σὲ νύχτα χωρὶς φεγγάρι, ἐνῶ αὐτὸς ποὺ εἶναι ἀμφισβητήσιμος, ἂν καὶ δὲν πείθει, αἰχμαλωτίζει τοὺς πολλούς. Γιατὶ ἀδιαφοροῦν γιὰ τὴ σωστὴ συμπεριφορά τους, ἐνθαρρύνουν τὴν γλώσσα περισσότερο ἀπὸ ὅσο πρέπει, καὶ γιὰ τὴ σωφροσύνη βέβαια σ᾽ αὐτοὺς δὲν γίνεται καθόλου λόγος, ὅμως φλυαροῦν γιὰ ἀγέννητη ὕλη καὶ μερικὰ ἄλλα, τὰ ὁποῖα, οὔτε ὅταν γίνονται γνωστά, συντελοῦν τόσο πολὺ στὴ σωτηρία, οὔτε ὅταν ἀγνοοῦνται βλάπτουν αὐτοὺς ποὺ δὲν τὰ ἔμαθαν. Ἂς μάθουν λοιπὸν πρῶτα νὰ ἀσχολοῦνται μὲ τὸν λόγο τῆς κρίσεως, ποὺ ὁμολογεῖται καὶ ἀπὸ μᾶς καὶ ἀπὸ αὐτούς, καὶ νὰ φροντίζουν γιὰ τὴ σωστὴ ζωή. Γιατὶ εἶναι τελείως παράλογο, ἀπὸ τὴ μιὰ νὰ σιωποῦν γι᾽ αὐτὰ ποὺ συνέβησαν, ἐνῶ ἐκεῖνα γιὰ τὰ ὁποῖα διαφώνησαν νὰ τὰ διαδίδουν παντοῦ καὶ μὲ κάθε τρόπο.

ΛΗ΄.– ΣΕΡΗΝΩ
Περὶ τὸ τοὺς πάσχοντας πέλας ἐλεεῖν.

Ἐν τοῖς κοινοῖς καὶ ἀνηκέστοις κακοῖς κλῆρον οὐκ ἔχει ὁ οἶκτος. Πάντες γὰρ τὰ οἰκεῖα στένοντες πάθη, σχολὴν οὐκ ἄγουσι τοὺς πέλας ἐλεεῖν.

ΛΘ΄.– ΧΑΙΡΗΜΟΝΙ ΔΙΑΚΟΝΩ
Ὅτι οὐ χρή τινα τῷ βίῳ μὲν ἡττᾶσθαι, περὶ δὲ δογμάτων ἁμιλλᾶσθαι.

Τὸν ἐναγῆ, οὗ φημι περὶ δογμάτων, ἀλλ᾽ οὐδὲ περὶ ἄλλου τινός, χρῆναι ἀνοίγειν στόμα, ἕως ἂν δι᾽ εἰλικρινοῦς μετανοίας καθαρθείη. Εἰ γὰρ τῷ ἁμαρτωλῷ εἶπεν ὁ Θεός, «Ἵνα τί σὺ διηγῇ τὰ δικαιώματά μου;», πολλῷ μᾶλλον τὸν οὕτω διακείμενον καὶ τὰ δόγματα ἐρευνᾶν τολμῶντα ἐπεστόμισε. Τοσοῦτον γὰρ τὰ δόγματα τῶν δικαιωμάτων ἐστὶ ἀνώτερα, ὅσον οὐρανὸς γῆς καὶ ψυχὴ σώματος. Πέπαυσο τοίνυν τῷ βίῳ μὲν ἡττώμενος, περὶ δὲ δογμάτων ἁμιλλώμενος, ἵνα μὴ καὶ τῷ δόγματι ἧττον προξενήσῃς. Εἰώθασι γὰρ πολλοὶ ἀπὸ τῆς τῶν λεγόντων δόξης τοῖς λεγομένοις ψηφίζεσθαι.

Μ΄.– ΘΕΟΔΩΡΩ ΣΧΟΛΑΣΤΙΚΩ
Συμβουλευτικὴ πρὸς ὀρθὸν τρόπον ζωῆς.

Ὁ μὲν ἀδελφός, ᾧ θαυμάσιε, ὁ σὸς διὰ τρόπων θαυμάζεται, σὺ δὲ διὰ λόγον· ἐκεῖνος δι᾽ ὀρθότητα, σὺ δὲ διὰ δεινότητα γλώττης· ἐκεῖνος διὰ μετριότητα ἤθους, σὺ δὲ διὰ φράσεως ὄγκον· ἐκεῖνος ὡς καρπῷ βρύων, σὺ δ᾽ ὡς φύλλοις κομῶν. Εἰ τοίνυν τοῦτ᾽ οὕτως ἔχει, ζηλοῦ τὸν σαυτοῦ ἀδελφόν, ἵνα κατ᾽ ἄμφω εὐδόκιμος εἴῃς. Οὐ γὰρ τοσοῦτον ἐκεῖνος τῶν σῶν, ὅσον σὺ τῶν ἐκείνου χρήζεις πλεονεκτημάτων.

38.- ΣΤΟΝ ΣΕΡΗΝΟ

Γιὰ τὴ συμπάθεια πρὸς τοὺς πάσχοντες συνανθρώπους μας.

Στὰ κοινὰ καὶ ἀθεράπευτα κακὰ δὲν ἔχει θέση ἡ συμπάθεια. Γιατὶ ὅλοι, θρηνώντας τὰ δικά τους πάθη, δὲν ἔχουν χρόνο νὰ δείξουν τὴ συμπάθειά τους πρὸς τὸν πλησίον τους.

39.- ΣΤΟΝ ΔΙΑΚΟΝΟ ΧΑΙΡΗΜΟΝΑ

Ὅτι δὲν πρέπει αὐτὸς ποὺ ἡττᾶται στὸν ἀγώνα τῆς ζωῆς, νὰ ἀγωνίζεται γιὰ τὰ δόγματα τῆς πίστεως.

Ὁ ἀδελυρός, ὄχι μόνο, λέγω, δὲν πρέπει νὰ ἀνοίγει τὸ στόμα του γιὰ τὰ δόγματα, ἀλλὰ οὔτε γιὰ κάποιο ἄλλο θέμα, μέχρι ποὺ νὰ καθαριστεῖ μὲ εἰλικρινῆ μετάνοια. Γιατί, ἐὰν στὸν ἁμαρτωλὸ ὁ Θεὸς εἶπε, «Γιατί σὺ διδάσκεις τὶς ἐντολές μου;»[36], πολὺ περισσότερο ἀπαγόρευσε σ' ἐκεῖνον ποὺ βρίσκεται σ' αὐτὴν τὴν κατάσταση καὶ τολμᾶ νὰ διδάσκει τὰ δόγματα. Γιατὶ τὰ δόγματα τῶν ἐντολῶν εἶναι τόσο ἀνώτερα, ὅσο ὁ οὐρανὸς ἀπὸ τὴ γῆ, καὶ ἡ ψυχὴ ἀπὸ τὸ σῶμα. Παῦσε λοιπὸν ἀπὸ τὴ μιὰ νὰ ἡττᾶσαι στὴ ζωή σου, καὶ ἀπὸ τὴν ἄλλη νὰ ἀγωνίζεσαι γιὰ τὰ δόγματα, γιὰ νὰ μὴ ὑποστεῖς ἧττα καὶ στὸ δόγμα. Γιατὶ συνηθίζουν πολλοί, ἀπὸ τὴ γνώμη ποὺ ἔχουν γι' αὐτοὺς ποὺ μιλοῦν, νὰ κρίνουν καὶ αὐτὰ ποὺ λέγονται ἀπὸ αὐτούς.

40.- ΣΤΟΝ ΣΧΟΛΑΣΤΙΚΟ ΘΕΟΔΩΡΟ

Συμβουλευτικὴ γιὰ ὀρθὸ τρόπο ζωῆς.

Ὁ ἀδελφός σου, θαυμάσιε, θαυμάζεται γιὰ τὴ συμπεριφορά του, ἐνῶ ἐσὺ γιὰ τὸν λόγο. Ἐκεῖνος γιὰ τὴν ὀρθότητα τῆς σκέψης του, ἐνῶ ἐσὺ γιὰ τὴ δεινότητα τῆς γλώσσας. Ἐκεῖνος γιὰ τὸ γεμᾶτο ἀπὸ μετριοφροσύνη ἦθος του, ἐνῶ σὺ γιὰ τὴ βαρύτητα τῆς ἔκφρασης. Ἐκεῖνος φέρεται νὰ εἶναι γεμᾶτος καρπό, ἐνῶ σὺ σὰν νὰ εἶσαι γεμᾶτος ἀπὸ φύλλα. Ἐὰν λοιπὸν αὐτὸ ἔτσι εἶναι, μιμήσου τὸν ἀδελφό σου, γιὰ νὰ διακριθεῖς καὶ στὰ δύο. Γιατὶ δὲν ἔχει ἐκεῖνος τόσο μεγάλη ἀνάγκη ἀπὸ τὰ δικά σου πλεονεκτήματα, ὅσο βέβαια ἐσὺ ἀπὸ τὰ δικά του.

---

36. Ψαλμ. 49, 16.

ΜΑ΄.– ΤΩ ΑΥΤΩ

Ὅτι χρὴ κιρνᾶν τινα τῇ εὐφυΐᾳ τὴν εὐμένειαν, καὶ τῇ τῶν λόγων δεινότητι τὴν τῶν τρόπων ἡμερότητα.

Θαυμάζοντές σέ τινες διὰ ὀξύτητα νοῦ καὶ γλώττης δεινότητα, γράφονται ὡς δύσεριν καὶ δυσπρόσιτον καὶ δύσκολον. Δέον γὰρ τοῖς ὑποδεεστέροις συγκατιέναι, οὐδὲ τοῖς κρείττοσι παραχωρεῖς. Οὐκοῦν, εἰ ταῦθ' οὕτως ἔχει, μὴ καθύβριζε τὴν ἀρίστην παίδευσιν τῇ τῆς γνώμης σκαιότητι, ἀλλὰ κίρνα τῇ εὐφυΐᾳ τὴν εὐμένειαν, καὶ τῇ τῶν λόγων δεινότητι τὴν τῶν τρόπων ἡμερότητα, ἵνα ἑκατέρωθεν ἀοίδιμος γένοιο.

ΜΒ΄.– ΤΩ ΑΥΤΩ

Περὶ τὸ ποῖον δεῖ εἶναι τὸν σοφὸν τῷ λόγῳ.

Σοφὸν τῷ λόγῳ ἔγωγε ὁρισαίμην, τὸν σαφῶς παραστῆσαι δυνάμενον τὸ νοηθέν, οὐ τὸν ὑπερσόφοις καὶ ὑψηλαῖς λέξεσι καὶ τὰ σαφῆ ἐπισκιάζοντα. Ὁ μὲν γὰρ τὸ λεληθὸς εἰς φῶς ἄγει, ὁ δὲ καὶ τὸ πᾶσι δῆλον ἐν σκότῳ κατακρύπτει. Διὸ ἐκεῖνος μέν, ἅτε τῆς τῶν ἀκροατῶν ὠφελείας ἐφιέμενος, πολυύμνητος, οὗτος δέ, ἅτε τῆς ἰδίας δόξης ὀρεγόμενος, ἀγέραστος.

ΜΓ΄.– ΠΑΥΛΩ

Περὶ φθόνου.

Θαυμαστὸν οὐδέν, εἰ οἱ φθόνῳ πυρσευόμενοι, οὐδὲ ταῖς εὐεργεσίαις γίνονται βελτίους. Πρὸς γὰρ τὰς χάριτας μᾶλλον παροξύνονται, ἐπειδήπερ συνίσασιν ἑαυτοὺς δεηθέντας χρηστότητος.

ΜΔ΄.– ΣΕΡΑΠΙΩΝΙ ΕΠΙΣΚΟΠΩ

Περὶ μακροθυμίας καὶ συγγνώμης πρὸς τοὺς ἀγνώμονας.

Ἐπειδὴ τῶν ἀποδείξεων τῶν ἀφανῶν πραγμάτων ἀρχαὶ

41.– ΣΤΟΝ ΙΔΙΟ

Ὅτι πρέπει νὰ ἀναμειγνύει κανεὶς στὴν εὐφυΐα τὴν εὐσέβεια, καὶ στὴ δεινότητα τῶν λόγων τὴν ἥπια συμπεριφορά.

Κάποιοι ποὺ σὲ θαυμάζουν γιὰ τὴν ὀξύτητα τοῦ νοῦ σου καὶ τὴν εὐφράδειά σου, σὲ κατηγοροῦν ὡς φιλόνεικον καὶ δυσκολοπλησίατον καὶ δύσκολον. Γιατὶ πρέπει στοὺς κατώτερους νὰ δείχνεις συγκατάβαση, χωρὶς νὰ ἐνδίδεις στοὺς ἀνώτερους. Ἐὰν λοιπὸν αὐτὸ ἔτσι εἶναι, μὴν ἀτιμάζεις τὴν ἄριστη παιδεία σου μὲ τὴν τραχύτητα τοῦ τρόπου σου, ἀλλὰ νὰ ἀναμιγνύεις στὴν εὐφυΐα τὴν εὐσέβεια, καὶ στὴ δεινότητα τῶν λόγων σου τὴν ἥπια συμπεριφορά, γιὰ νὰ εἶσαι καὶ ἀπὸ τὶς δύο πλευρὲς ὑπέροχος.

42.– ΣΤΟΝ ΙΔΙΟ

Γιὰ τὸ ποιὸς πρέπει νὰ εἶναι ὁ σοφὸς στὸ λόγο.

Σοφὸ στὸν λόγο ἐγὼ τοὐλάχιστον θὰ θεωροῦσα ἐκεῖνον ποὺ μπορεῖ νὰ παρουσιάσει μὲ σαφήνεια αὐτὸ ποὺ ἔχει στὴ σκέψη του, καὶ ὄχι αὐτὸν ποὺ καὶ τὰ σαφῆ τὰ συσκοτίζει μὲ πάνσοφες καὶ ψηλὲς λέξεις. Γιατὶ ὁ πρῶτος τὸ κρυφὸ τὸ φέρνει στὸ φῶς, ἐνῶ ὁ ἄλλος καὶ αὐτὸ ποὺ εἶναι σὲ ὅλους φανερό, τὸ κρύβει στὸ σκοτάδι. Γι᾽ αὐτὸ καὶ ἐκεῖνος βέβαια, ἐπειδὴ ἐπιθυμεῖ τὴν ὠφέλεια τῶν ἀκροατῶν του, εἶναι ὀνομαστός, ἐνῶ αὐτός, ἐπειδὴ ἀποβλέπει στὴ δική του δόξα, μένει χωρὶς βραβεῖο.

43.– ΣΤΟΝ ΠΑΥΛΟ

Γιὰ τὸν φθόνο.

Δὲν εἶναι καθόλου παράξενο ἄν, αὐτοὶ ποὺ ὑποδαυλίζονται ἀπὸ τὸν φθόνο, οὔτε μὲ τὶς εὐεργεσίες βελτιώνονται. Γιατὶ μὲ τὶς εὐεργεσίες ἐξοργίζονται περισσότερο, ἐπειδὴ συνειδητοποιοῦν, ὅτι ἔχουν ἀνάγκη ἀπὸ καλωσύνη.

44.– ΣΤΟΝ ΕΠΙΣΚΟΠΟ ΣΕΡΑΠΙΩΝΑ

Γιὰ τὴ μακροθυμία καὶ τὴ συγγνώμη πρὸς τοὺς ἀγνώμονες.

Ἐπειδὴ οἱ ἀρχὲς τῶν ἀποδείξεων τῶν ἀφανῶν πραγμάτων εἶναι

διτταὶ τυγχάνουσιν (ἢ γὰρ ἐξ αἰσθήσεως ἢ ἐκ νοήσεως ἐναργοῦς πᾶσα ἀπόδειξις καὶ πίστις ἄρχεται), κἀμὲ ἀναγκαῖόν ἐστιν, ἢ θατέρῳ τούτων ἢ ἀμφοτέροις κεχρῆσθαι πρὸς τὸ κομίσαι σου τὸν θυμόν, ἐκ μέσης καρδίας, ὡς γέγραφας, ζέοντα, οὐσῶν δὲ τῶν διὰ τοῦ λόγου κρίσεων οὐχ ἅπασιν ὁμοίως εὐπετῶν οὐδὲ ῥᾳδίων, ἐπειδὴ καὶ συνετὸν εἶναι χρὴ τὸν θηρᾶσαί τι τῶν ἀδήλων βουλόμενον, καὶ γεγυμνᾶσθαι κατὰ τὴν πρώτην ἡλικίαν ἐν τοῖς ἀκονῶσι τὸν λογισμὸν παιδεύμασιν, ἄμεινον ἀπὸ τῆς πείρας καὶ τῶν συμβεβηκότων εἰς τὸν Δεσπότην Χριστὸν ἄρξασθαι. Τούτοις γὰρ καὶ οἱ ἀμαθεῖς καὶ οἱ λίαν συνετοὶ παρακολουθῆσαι δύνανται.

Τί τοίνυν ἀγανακτεῖς, ὅτι Εὐσέβιος, ὁ δοκῶν ἐπίσκοπος, ὡς γέγραφας, μεθύει κατὰ πάσης τῆς Ἐκκλησίας, καὶ τὴν παροινίαν οὐ μόνον κατὰ πάντων, ἀλλὰ κατὰ σοῦ, τοῦ πολλάκις αὐτὸν εὐεργετήσαντος, προφέρει; Ἀλλὰ μακροθύμει, ὦ φιλότης. Ἀφεὶς γὰρ ἀπὸ λογισμῶν καὶ συλλογισμῶν τοῦτ' ἀποδεῖξαι, ἀπὸ τῶν δεσποτικῶν παθῶν τὴν ἀπόδειξιν ποιησαίμην. Μάλιστα μὲν γὰρ καὶ τὰ παρὰ τῶν ἀλιτηρίων Ἰουδαίων εἰς αὐτὸν γενόμενα ἀφόρητα ἦν καὶ πάσης συγγνώμης μείζονα. Πλὴν δεδόσθω φορητὰ εἶναι. Τί ἂν φαίης καὶ περὶ τοῦ ἀλάστορος Ἰούδα, τοῦ εἰς τὸν θεῖον ἐκεῖνον καταριθμηθέντος χορὸν καὶ εἰς τὸν περὶ τὸν βασιλέα σύλλογον, καὶ κατὰ δαιμόνων καὶ νοσημάτων καὶ θανάτου ἐξουσίαν εἰληφότος, καὶ λαμπροῦ οὕτω καὶ περιφανοῦς ἐξ ἀδόξου καὶ ἀφανοῦς γεγενημένου; Οὐχὶ προὔδωκε τὸν τοσούτων αὐτῷ αἴτιον γεγενημένον ἀγαθῶν; Τὸ γὰρ ἀτίθασον ἐκεῖνο θηρίον (οὕτω γὰρ καλεῖν θέμις τοὺς μηδὲ εὐεργεσίαις ἀμείνους γινομένους) τῆς τοῦ Σωτῆρος ὑπερεμπλησθὲν ἀνεξικακίας, κατ' αὐτοῦ τὸν κόρον ἤνεγκε. Ταύταις τοιγαροῦν ταῖς ἐπῳδαῖς πραΰνειν πειρῶ καὶ τιθασεύειν τὸ πῦρ τῆς ὀργῆς· εἴκει γὰρ τοῖς ταῦτα κατεπᾴδουσιν.

ΜΕ'.– ΩΡΙΩΝΙ ΜΟΝΑΖΟΝΤΙ

Περὶ ἁπλότητος.

Κανόνα σε φιλίας εὐθύτατον λέγων τίς, οὐκ ἂν διαμάρτοι

δύο εἰδῶν (γιατὶ κάθε ἀπόδειξη καὶ πίστη ἀρχίζει ἢ ἀπὸ τὴν ἄμεση ἀντίληψη, ἢ ἀπὸ τὴ σαφῆ κατανόηση), καὶ σὲ μένα εἶναι ἀναγκαῖο, ἢ τὸ ἕνα ἀπὸ αὐτὰ τὰ δύο, ἢ καὶ τὰ δύο νὰ χρησιμοποιήσω, γιὰ νὰ σοῦ καταπραΰνω τὸν θυμὸ ποὺ καίει μέσα ἀπὸ τὴν καρδιά σου, ὅπως μοῦ ἔγραψες. Ἐπειδὴ ὅμως οἱ κρίσεις ποὺ γίνονται μὲ τὸν λόγο, δὲν εἶναι σὲ ὅλους ἐξίσου εὔκολες, οὔτε καὶ κατάλληλες, καὶ ἐπειδὴ αὐτὸς ποὺ θέλει νὰ συλλάβει κάτι ἀπὸ τὰ ἀφανῆ, πρέπει καὶ συνετὸς νὰ εἶναι, καὶ θὰ γυμναστεῖ κατὰ τὴν πρώτη ἡλικία στὰ γράμματα ποὺ ἀκονίζουν τὸν λογισμό, εἶναι προτιμώτερο νὰ ἀρχίσω ἀπὸ τὴν πεῖρα καὶ ἀπὸ αὐτὰ ποὺ συνέβησαν στὸν Δεσπότη Χριστό. Γιατὶ αὐτὰ μποροῦν καὶ οἱ ἀμαθεῖς καὶ οἱ πολὺ συνετοὶ νὰ τὰ παρακολουθήσουν.

Γιατί λοιπὸν ἀγανακτεῖς, ἐπειδὴ ὁ Εὐσέβιος, ποὺ νομίζει ὅτι εἶναι ἐπίσκοπος, ὅπως μοῦ ἔχεις γράψει, καταφέρεται ἐναντίον ὅλης τῆς Ἐκκλησίας, καὶ ἐκτοξεύει τὴ μεθυσμένη συμπεριφορά του, ὄχι μόνο ἐναντίον ὅλων, ἀλλὰ καὶ ἐναντίον σου, ὁ ὁποῖος τὸν εὐεργέτησες πολλὲς φορές; Ἀποφεύγοντας λοιπὸν νὰ τὸ ἀποδείξω αὐτὸ μὲ λογισμοὺς καὶ συλλογισμούς, θὰ παρουσιάσω τὴν ἀπόδειξη ἀπὸ τὰ δεσποτικὰ πάθη. Γιατὶ ὁπωσδήποτε αὐτὰ ποὺ ἔγιναν σ᾽ αὐτὸν ἀπὸ τοὺς ἀλιτήριους Ἰουδαίους ἦταν ἀνυπόφορα καὶ μεγαλύτερα ἀπὸ κάθε συγγνώμη, ἀλλὰ ἂς δεχθοῦμε ὅτι ἦταν ὑποφερτά. Τί θὰ ἔλεγες καὶ γιὰ τὸν ἄθλιο Ἰούδα, ὁ ὁποῖος εἶχε συμπεριληφθεῖ σ᾽ ἐκεῖνον τὸν θεϊκὸ ὅμιλο καὶ στὴν γύρω ἀπὸ τὸν βασιλιὰ ὁμάδα, καὶ εἶχε δεχθεῖ τὴν ἐξουσία ἐναντίον τῶν δαιμόνων καὶ τῶν ἀσθενειῶν καὶ τοῦ θανάτου, καὶ ἀπὸ ἄδοξος καὶ ἀφανὴς ἔγινε ἔνδοξος; Δὲν πρόδωσε ἐκεῖνον ποὺ ἔγινε αἴτιος τόσο μεγάλων ἀγαθῶν σ᾽ αὐτόν; Γιατὶ ἐκεῖνο τὸ ἀτίθασο θηρίο (γιατὶ ἔτσι εἶναι σωστὸ νὰ ὀνομάζονται αὐτοὶ ποὺ οὔτε μὲ τὶς εὐεργεσίες γίνονται καλύτεροι), ἀφοῦ γέμισε μὲ τὸ παραπάνω ἀπὸ τὴν ἀνεξικακία τοῦ Σωτήρα, ἔστρεψε ἐνατίον του τὸ κορεσμό του. Μὲ αὐτὰ λοιπὸν τὰ μελωδήματα προσπάθησε νὰ τιθασεύσεις τὴ φωτιὰ τῆς ὀργῆς, γιατὶ ὑποχωρεῖ σ᾽ αὐτοὺς ποὺ χρησιμοποιοῦν τέτοια μελωδήματα.

45.- ΣΤΟΝ ΜΟΝΑΧΟ ΩΡΙΩΝΑ

Γιὰ τὴν ἁπλότητα.

Ὀνομάζοντάς σε κάποιος εὐθύτατο κανόνα τῆς φιλίας, δὲν θὰ

τῆς ἀληθείας. Ἁπλοῦς γὰρ εἶ τὴν γλῶτταν, ἁπλούστερος δὲ τὴν γνώμην, ἁπλούστατος δὲ τὸν βίον.

ΜΣ΄.– ΛΑΜΠΕΤΙΩ ΕΠΙΣΚΟΠΩ

Διὰ τί ὁ νόμος τοὺς λεπρῶντας, ἢ ἑτέρους νοσήματα ἀκούσια νοσοῦντας, ἔξω εἶναι τῶν ἱερῶν περιβόλων προσέταξεν.

Τὴν ἀκρασίαν τῶν γονέων κολάζων ὁ νομοθέτης, ὦ σοφώτατε (πολλοὶ γὰρ οὐκέτι καθαιρομέναις ταῖς γυναιξὶν ὁμιλοῦσιν, ἡδονῆς μόνης, ἀλλ᾽ οὐ παιδοποιίας ἕνεκεν νομίζοντες πεπλάσθαι τὴν γυναῖκα), (τῶν) ἱερῶν περιβόλων ἀπεῖρξε τοὺς ἐκ συνουσιῶν οὐ καθαρῶν τικτομένους, ἵν᾽, εἰ μὴ ἑκόντες, ἄκοντες γοῦν σωφρονεῖεν καὶ σεμνῶς βιοῦν ἑαυτοὺς ἀναγκάσειαν, ὡς τῆς τιμωρίας εἰς τοὺς ἐξ αὐτῶν τεχθησομένους βαδιουμένης. Τί γὰρ ἂν γένοιτο τοῖς τοκεῦσιν ἀλγεινότερον τοῦ τοὺς παῖδας, οὓς εὔχονται εὐδοκιμωτέρους καὶ λαμπροτέρους ἑαυτῶν ἰδεῖν, θεάσασθαι μήτε κοινῶν μήτε ἱερῶν συνόδων μετέχοντας; Ταύτην μὲν οὖν ἀναγκαίαν αὐτοῖς καὶ παρὰ πόδας ἐπῆγαγε τὴν δίκην, ἵνα φόβῳ τῆς τιμωρίας τὴν ἀκολασίαν κολάζωσι. Τὰ γὰρ ἐξ ἀκαθάρτου αἵματος πλαττόμενα σώματα, ταῖς τοιαύταις νόσοις εὐάλωτα. Πολλοὶ δὲ καὶ ἄλλην κἀνταῦθα δεδώκασι δίκην, οἱ μὲν σαφῶς, οἱ δὲ λεληθότως, κἀκεῖ δὲ πάντως δώσουσιν. Οὐ γὰρ ἄν, τοὺς ἐξ αὐτῶν φύντας ἀτιμάσας διὰ τὴν τῶν γονέων ἀκρασίαν, αὐτοὺς τοὺς πλημμελήσαντας ἀτιμωρήτους ἀφήσει.

ΜΖ΄.– ΤΩ ΑΥΤΩ

Περὶ τοῦ φεύγειν τὴν μετὰ τῶν ἀσχημονούντων διατριβήν.

Εἰ ἀνάγκη τοῖς συνοῦσιν Εὐσεβίῳ, δυοῖν θάτερον συμπεσεῖν, ἢ μεμισῆσθαι, ἢ μετέχειν τῆς ἀκρασίας, ἐπειδὴ τοὺς μὲν σώφρονας ἀπελαύνει, τοὺς δ᾽ εἰδότας ἀσχημονεῖν ἀγαπᾷ,

πέσει ἔξω ἀπὸ τὴν ἀλήθεια. Γιατὶ εἶσαι ἁπλὸς στὴ γλώσσα, ἁπλούστερος στὴ κρίση, καὶ τελείως ἁπλὸς στὴ ζωή.

46.- ΣΤΟΝ ΕΠΙΣΚΟΠΟ ΛΑΜΠΕΤΙΟ

Γιατί ὁ νόμος τοὺς λεπρούς, ἢ ἄλλους ποὺ ἔπασχαν ἀπὸ ἀκούσια νοσήματα, διέταξε νὰ μένουν ἔξω ἀπὸ τὶς ἱερὲς αὐλές.

Ὁ νομοθέτης, σοφώτατε, τιμωρώντας τὴν ἀκρασία τῶν γονέων (ἐπειδὴ πολλοὶ ἔρχονται σὲ ἐπαφὴ μὲ τὶς γυναῖκες τους πρὶν αὐτὲς καθαρισθοῦν, γιατὶ πιστεύουν πὼς ἡ γυναίκα ἔχει πλαστεῖ μόνο γιὰ τὴν ἡδονὴ καὶ ὄχι γιὰ τὴν τεκνογονία), ἀπαγορεύει τὴν εἴσοδο στὶς ἱερὲς αὐλὲς σ' ἐκείνους ποὺ γεννιοῦνται ἀπὸ συνουσίες ὄχι καθαρές, ὥστε, ἂν ὄχι μὲ τὴ θέλησή τους, νὰ σωφρονισθοῦν ἔστω χωρὶς τὴ θέλησή τους, καὶ νὰ τοὺς ἀναγκάσει νὰ ζοῦν σεμνά, ἐπειδὴ ἡ τιμωρία θὰ μεταφερθεῖ σ' ἐκείνους ποὺ θὰ γεννηθοῦν ἀπὸ αὐτούς. Τί δηλαδὴ θὰ μποροῦσε νὰ ὑπάρξει πιὸ ὀδυνηρὸ στοὺς γονεῖς, ἀπὸ τοῦ νὰ βλέπουν τὰ παιδιά τους, ποὺ εὔχονται νὰ τὰ δοῦν πιὸ προκομμένα καὶ ἔνδοξα ἀπὸ τὸν ἑαυτό τους, νὰ μὴ μετέχουν οὔτε στὶς ἱερὲς συνελεύσεις; Αὐτὴν λοιπὸν τὴν τιμωρία τὴν ἐπέβαλε κατ' ἀνάγκη σ' αὐτοὺς ἀμέσως, ὥστε μὲ τὸν φόβο τῆς τιμωρίας νὰ ἀποφεύγουν τὴν ἀκολασία. Γιατὶ τὰ σώματα ποὺ πλάθονται ἀπὸ ἀκάθαρτο αἷμα, εἶναι εὐαίσθητα σ' αὐτὲς τὶς ἀρρώστιες. Πολλοὶ ὅμως στὸ θέμα αὐτὸ ἔχουν ὑποστεῖ καὶ ἄλλη τιμωρία, ἄλλοι βέβαια καθαρά, καὶ ἄλλοτε σιωπηρά, ἀλλὰ καὶ ἐκεῖ θὰ τιμωρηθοῦν ὁπωσδήποτε. Γιατὶ δὲν θὰ ἦταν δυνατόν, ἀφοῦ τιμώρησε ἐκείνους ποὺ γεννήθηκαν ἀπὸ αὐτούς, ἐξαιτίας τῆς ἀκράτειας τῶν γονέων τους, νὰ ἀφήσει ἀτιμώρητους αὐτοὺς ποὺ παρανόμησαν,.

47.- ΣΤΟΝ ΙΔΙΟ

Γιὰ τὸ ὅτι πρέπει νὰ ἀποφεύγει κανεὶς τὴ συναναστροφὴ ἐκείνων ποὺ ἀσχημονοῦν.

Ἐπειδὴ εἶναι ἀνάγκη οἱ ὀπαδοὶ τοῦ Εὐσεβίου νὰ προτιμήσουν ἕνα ἀπὸ τὰ δύο, ἢ νὰ μισηθοῦν ἢ νὰ συμμετέχουν στὴν ἀκρασία του, ἀφοῦ ὅσους ζοῦν μὲ σωφροσύνη τοὺς διώχνει, ἐνῶ ἐκείνους ποὺ ξέρουν ν'

παραινέσαιμί σοι φεύγειν τὴν τῶν αὐτῶν διατριβήν, μὴ λοιμικοῦ νοσήματος παραπολαύσῃς.

ΜΗ΄.– ΤΩ ΑΥΤΩ
Περὶ ταπεινότητος καὶ ὑπεροψίας.

Οὐκ ἀποδέχομαι, ὦ μετριοφροσύνης αὐτόξεστον ἄγαλμα, τὸν ἐν μὲν τῷ ἰδιωτεύειν ταπεινὸν ἄγαν φαινόμενον, ἐν δὲ τῷ ἄρχειν μείζονα τῆς ἀνθρωπίνης φύσεως φανταζόμενον (ἀγεννοῦς γὰρ καὶ ἀνάνδρου καὶ ἰδιωτικῆς τῷ ὄντι τοῦθ' ἡγοῦμαι ψυχῆς εἶναι τεκμήριον), ἀλλ' ἰδιώτης μὲν ὢν, ὑψηλὸς τυγχάνοι, ἄρχων δ' ἀποφανθείς, ἐπιεικὴς καὶ μέτριος, καὶ τὰ ἐφεδρεύοντα ἑκατέρῳ πράγματι νοσήματα διαφύγοι, οὗ μὲν τὴν ταπεινότητα, οὗ δὲ τὴν ὑπεροψίαν.

ΜΘ΄.– ΠΑΛΛΑΔΙΩ
Συμβουλευτικὴ πρὸς ἀποφυγὴν τῆς κακίας καὶ ἀσκήσεως τῆς ἀρετῆς.

Ὅταν τῆς κακίας ἀπόσχοιο, τότε καὶ περὶ ἀρετῆς σκοπεῖν ἂν εἴης δίκαιος. Ἐὰν γὰρ ἐκείνην ἀποτρίψαιο, τότε καὶ περὶ τοῦ τίνα τρόπον ἀρετῆς ἀντιλάβοιο ἐξέσται σκοπεῖν. Πρὶν δὲ τὴν ἀρχὴν καὶ τὴν κρηπίδα ὀρθῶς ὑποθέσθαι, περιττὸν ἡγοῦμαι περὶ τῆς τελευτῆς καὶ τῆς κορωνίδος διεξελθεῖν.

Ν΄.– ΘΕΟΔΩΡΩ ΑΥΓΟΥΣΤΑΛΙΩ
Περὶ ὑπεροψίας.

Εἰ καὶ βασιλεύς τις εἴη καὶ περιρρέοντα ἔχοι τὸν πλοῦτον καὶ εὐφροσύνης ἔμπλεως ᾖ, ἄμαχόν τε κεκτημένος τὴν δύναμιν, παρὰ πάντων ἐπαινοῖτο καὶ μακαρίζοιτο, ἅτε πᾶσι τοῖς δοκοῦσιν ἀγαθοῖς κομῶν, τὸ πρὸ βραχέος καὶ μετὰ τὸ βραχὺ ἐννοῆσαι ἂν εἴη δίκαιος, καὶ μὴ πρὸς ὕβριν ἐπαίρεσθαι. Εἰ δ' οὐ δυνατὸν ταῦτα πάντα συνελθεῖν (οὐ γὰρ τῷ πλούτῳ πάντως καὶ εὐφροσύνη πρόσεστι, πολέμων ἔσθ' ὅτε λυμαινομένων τῇ ἀνέσει, οὐδ' εἰ θυμηδία καὶ πλοῦτος συνδράμοιεν, ἀσφάλεια προσέ-

ἀσχημονοῦν τοὺς ἀγαπᾶ, θὰ σὲ συμβούλευα ν' ἀποφύγεις τὴ συναναστροφὴ μ' αὐτούς, μήπως κολλήσεις καμμιὰ λοιμώδη ἀρρώστια.

48.– ΣΤΟΝ ΙΔΙΟ
Γιὰ τὴν ταπεινότητα καὶ τὴν ὑπεροψία.

Δὲν δέχομαι, αὐτολαξευμένο ἄγαλμα τῆς μετριοφροσύνης, ἐκεῖνος ποὺ ζεῖ ὡς ἰδιώτης νὰ φαίνεται πολὺ ταπεινός, ἐνῶ ὅταν ἀσκεῖ ἐξουσία νὰ παριστάνει ὅτι εἶναι ἀνώτερος ἀπὸ τὴν ἀνθρώπινη φύση (γιατὶ αὐτὸ νομίζω πὼς εἶναι ἀπόδειξη ἄτολμης καὶ ἄξεστης πραγματικὰ ψυχῆς), ἀλλ' ἀντίθετα, ζώντας ὡς ἰδιώτης νὰ εἶναι μεγαλόφρονων, ἐνῶ ὅταν καταστεῖ ἄρχοντας, νὰ εἶναι πρᾶος καὶ μετριοπαθής, καὶ νὰ ἀποφεύγει τὶς ἀσθένειες ποὺ ἐνεδρεύουν στὴν κάθε περίπτωση, τὴν ταπεινότητα τοῦ ἑνός, καὶ τὴν ὑπεροψία τοῦ ἄλλου.

49.– ΣΤΟΝ ΠΑΛΛΑΔΙΟ
Συμβουλευτικὴ πρὸς ἀποφυγὴ τῆς κακίας καὶ ἄσκηση τῆς ἀρετῆς.

Ὅταν ἀποκοπεῖς ἀπὸ τὴν κακία, τότε μπορεῖς νὰ ἀποβλέπεις καὶ στὴν ἀρετή. Γιατί, ἐὰν ἐξαλείψεις ἐκείνην, τότε θὰ σοῦ δοθεῖ ἡ δυνατότηται νὰ ἐξετάσεις μὲ ποιὸν τρόπο θὰ ἀποκτήσεις τὴν ἀρετή. Πρὶν ὅμως βάλεις τὴν ἀρχὴ καὶ τὸ θεμέλιο σωστά, νομίζω πὼς εἶναι περιττὸ νὰ ξεκινᾶς γιὰ τὸ τέρμα καὶ τὴν κορυφή.

50.– ΣΤΟΝ ΑΥΓΟΥΣΤΑΛΙΟ[37] ΘΕΟΔΩΡΟ
Γιὰ τὴν ὑπεροψία.

Ὅταν κάποιος εἶναι βασιλιὰς καὶ ἔχει ἄφθονο πλοῦτο, εἶναι γεμᾶτος εὐφροσύνη καὶ ἔχει ἀκαταμάχητη δύναμη, καὶ ἐπαινεῖται ἀπὸ ὅλους καὶ μακαρίζεται, ἐπειδὴ εἶναι γεμᾶτος ἀπὸ ὅλα ὅσα θεωροῦνται ἀγαθά, πρέπει νὰ σκέφτεται τὸ πρὶν ἀπὸ λίγο, καὶ τὸ μετὰ ἀπὸ λίγο, καὶ νὰ μὴ φουσκώνει ἀπὸ ἀλαζονεία. Ἐὰν ὅμως δὲν εἶναι δυνατὸν ὅλα αὐτὰ νὰ συνυπάρξουν (γιατὶ μὲ τὸν πλοῦτο δὲν συνυπάρχει ὁπωσδήποτε καὶ ἡ εὐφροσύνη, ἐπειδὴ κάποτε πόλεμοι καταστρέφουν τὴν ἄνεση, οὔτε ὅταν συντρέξουν ἡ χαρὰ καὶ ὁ πλοῦτος, θὰ

37. Ἕνας ἀπὸ τοὺς εἰκοσιπέντε ἱερεῖς πρὸς τιμὴν τοῦ Αὐγούστου.

σται, τῶν ἐν τέλει τινὸς τυραννίδα μελετῶντος. Ὡς τὰ πολλὰ γὰρ ἢ ἔνδοθεν φύονται ἐπιβουλαί, ἢ ἔξωθεν ἀναρριπίζονται πόλεμοι), δι' ἣν αἰτίαν ἀφ' ἑνὸς τῶν δοκούντων ἀγαθῶν εἰς ὑπεροψίαν χωροῦμεν καὶ κατὰ πάντων φρονοῦμεν;

ΝΑ΄.– ΠΑΥΛΩ ΠΡΕΣΒΥΤΕΡΩ
Εἰς τό· «Πῶς ᾄσομεν τὴν ᾠδὴν Κυρίου ἐπὶ γῆς ἀλλοτρίας;».

Τό, «Πῶς ᾄσομεν τὴν ᾠδὴν Κυρίου ἐπὶ γῆς ἀλλοτρίας;», διττήν μοι δοκεῖ ἔχειν τὴν ἑρμηνείαν. Μάλιστα μὲν ἐπειδὴ μὴ ἐξῆν ἔξω τῆς Ἱερουσαλὴμ μήτε Πάσχα ποιεῖν, μήτε τὰς ἄλλας ἑορτάς, διὸ καὶ ἐνεκαλοῦντό τινες, ὡς ἀναγνόντες ἔξω νόμου. Ἔπειτα, ἐπειδὴ καὶ ἔσβεστο αὐτῶν ἡ παρρησία ἀπὸ τῆς αἰχμαλωσίας, ἔφασκον· Πῶς δυνάμεθα τὰ ἐπὶ τῆς Αἰγύπτου καὶ τῆς ἐρήμου καὶ τῆς Παλαιστίνης γεγενημένα θαυμάσια, τά τε κατ' Αἰθιόπων καὶ κατὰ τοῦ Ἀσσυρίου, ὅτε καὶ ἑκατὸν ὀγδοήκοντα πέντε χιλιάδες ἄνευ πολέμου καὶ μάχης ἀνῃρέθησαν, διηγήσασθαι, ἀπιστούμενοι δι' ὧν νῦν ἁλόντες ἐν αἰχμαλωσίᾳ διατρίβομεν; Ἐπειδὴ γὰρ τὰ πράγματα ἀφῄρητο τῶν λόγων τὴν παρρησίαν (ὠνειδίζοντο γὰρ ὡς μάτην αὐχοῦντες τὰς εὐεργεσίας), ἔργοις δ' ἐλεγχόμενοι, μονονουχὶ ἔλεγον, ὅπερ καὶ οἱ παῖδες οἱ τρεῖς ἐν τῇ καμίνῳ· «Οὐκ ἔστιν ἡμῖν ἀνοῖξαι στόμα». Τουτέστιν, Οὐ δυνάμεθα παρρησιάσασθαι ἐπὶ τοῖς ἀρχαίοις σεμνολογήμασιν, αἰσχύνη καὶ ὄνειδος ἐγενήθη τοῖς δούλοις σου. Ἡ γὰρ συμφορὰ ἔσβεσε τὴν παρρησίαν. Διὸ καὶ ὀνειδιζόμενοι, ἄφωνοι διαμένομεν. Οὐ γὰρ πιστευθησόμεθα ᾄδοντες μὲν τὰ τρόπαια, τεταπεινωμένοι δὲ καὶ δουλεύοντες.

ΝΒ΄.– ΗΣΑΪᾼ ΣΤΡΑΤΙΩΤΗ
Περὶ μετριοφροσύνης.

Μή, ἐπειδὴ κατὰ ῥοῦν σοι φέρεται τὰ πράγματα, εἰς ὑπερη-

38. Ψαλμ. 136, 4.

ὑπάρχει ἀσφάλεια, ἀφοῦ κάποιος ἀπὸ τοὺς ἄρχοντες σχεδιάζει τυραννικὴ ἐξουσία, καθόσον τὶς περισσότερες φορὲς ἢ ἀπὸ μέσα φυτρώνουν σκευωρίες, ἢ ἀπ' ἔξω ἀνάβουν οἱ φλόγες τοῦ πολέμου), γιὰ ποιὸν λόγο λοιπόν, ἀπὸ ἕνα ἀπὸ αὐτὰ ποὺ θεωροῦνται ἀγαθά, γινόμαστε ὑπερόπτες καὶ σκεπτόμαστε ἐναντίον ὅλων;

51.- ΣΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟ ΠΑΥΛΟ

Στὴ ρήση· «Πῶς νὰ ψάλουμε τὴν ὠδὴ τοῦ Κυρίου σὲ ξένη χώρα;»[38].

Τό, «Πῶς νὰ ψάλουμε τὴν ὠδὴ τοῦ Κυρίου σὲ ξένη χώρα;», νομίζω ὅτι ἔχει διπλῆ ἑρμηνεία. Κυρίως βέβαια ἐπειδὴ δὲν ἐπιτρεπόταν ἔξω ἀπὸ τὴν Ἰερουσαλὴμ οὔτε τὸ Πάσχα νὰ γιορτάζουν, οὔτε ἄλλες γιορτές, γι' αὐτὸ καὶ κατηγοροῦνταν μερικοί, ὅτι εἶχαν ἀναγνώσει τὸν νόμο ἔξω ἀπὸ αὐτήν. Ἔπειτα ὅμως, ἐπειδὴ εἶχε σβήσει καὶ ἡ παρρησία τους λόγω τῆς αἰχμαλωσίας τους, ἔλεγαν· Πῶς μποροῦμε αὐτὰ τὰ θαύματα ποὺ εἶχαν γίνει στὴν Αἴγυπτο καὶ στὴν ἔρημο καὶ στὴν Παλαιστίνη, καὶ ἐναντίον τῶν Αἰθιόπων καὶ τοῦ Ἀσσυρίου, ὅταν σκοτώθηκαν ἑκατὸν ὀγδόντα πέντε χιλιάδες χωρὶς πόλεμο καὶ μάχη, νὰ τὰ διηγηθοῦμε, μὴ γενόμενοι πιστευτοὶ ἐξαιτίας αὐτῶν γιὰ τὰ ὁποῖα τώρα ἡττημένοι ζοῦμε σὲ αἰχμαλωσία; Ἐπειδὴ δηλαδὴ ἡ πραγματικότητα τοὺς εἶχε ἀφαιρέσει τὴν ἐλεύθερη ἔκφραση (γιατὶ χλευάζονταν ὅτι ἄδικα καυχῶνταν γιὰ τὶς εὐεργεσίες), ἐνῶ μὲ τὰ ἔργα τους ἐλέγχονταν ὅτι ἄδικα καυχῶνταν, ἔλεγαν κατὰ κάποιο τρόπο ἐκεῖνο ποὺ ἔλεγαν καὶ οἱ τρεῖς παῖδες στὴν κάμινο· «Δὲν μποροῦμε νὰ ἀνοίξουμε τὸ στόμα». Δηλαδή, Δὲν μποροῦμε νὰ μιλᾶμε ἐλεύθερα γιὰ τὰ ἀρχαῖα σεβάσματα. Αἰσχύνη καὶ ντροπὴ κυρίεψε τοὺς δούλους σου, ἐπειδὴ ἡ συμφορὰ ἔσβησε τὴν ἐλεύθερη ἔκφραση. Γι' αὐτὸ καὶ χλευαζόμενοι, μένουμε ἄφωνοι. Γιατὶ δὲν θὰ γίνουμε πιστευτοί, ψάλλοντας ἀπὸ τὴ μιὰ τὰ τρόπαιά μας, καὶ ὄντας ἀπὸ τὴν ἄλλη ταπεινωμένοι καὶ σκλαβωμένοι.

52.- ΣΤΟΝ ΣΤΡΑΤΙΩΤΗ ΗΣΑΪΑ.

Γιὰ τὴ μετριοφροσύνη.

Ἐπειδὴ τὰ πράγματα σοῦ πηγαίνουν καλά, νὰ μὴ κυριευθεῖς ἀπὸ

φανίαν χωρήσῃς, ὡς οὐδὲν πεισόμενος δεινόν, ἀλλ' ἐννοῶν ὅτι φιλεῖ εἰς τοὐναντίον τὰ πράγματα μεταχωρεῖν, μέτριον ἔχε τὸ φρόνημα, καὶ μὴ ἔξω τῶν τῆς ἀνθρωπότητος ὅρων χώρει. Δίκη γὰρ ἐφορᾷ τὰ δρώμενα, ἥτις τοὺς κρείττονας κολάσεως ἔσεσθαι ἡγησαμένους, δι' ὧν ἐνόμισαν διαφεύγειν, διὰ τούτων εἰς τιμωρίαν ὑπηγάγετο.

ΝΓ'.– ΛΑΜΠΕΤΙῼ ΕΠΙΣΚΟΠῼ

Πρὸς Ἐφεσίους· Τί ἐστι τὸ εἰρημένον, «Τὸν νόμον τῶν ἐντολῶν ἐν δόγμασι καταργήσας».

Πολλὴ τοῦ Εὐαγγελίου πρὸς τὸν νόμον ἡ ὑπεροχή. Ὁ μὲν γὰρ νόμος εἰς τοὺς ὁμοφύλους μόνους συγκλείει τὴν φιλανθρωπίαν, τὸ δ' Εὐαγγέλιον καὶ εἰς τοὺς ἀλλοφύλους ἐπεκτείνει. Καὶ ὁ μὲν τοὺς φίλους ἀγαπᾶν παρακελεύεται, τὸ δὲ καὶ τοὺς ἐχθροὺς ἀγαπᾶν προτρέπει. Ἐκεῖνος μὲν γὰρ ὡς παιδίοις νομοθετεῖ, τοῦτο δὲ ὡς φιλοσόφοις δόγματα ὑπερφυῆ ὑποτίθεται. Καὶ τοῦτ' ἐστὶν ὃ ἠθέλησας μαθεῖν· «Τὸν νόμον τῶν ἐντολῶν ἐν δόγμασι καταργήσας». Κατήργησεν, οὐκ ἀνατρέψας, ἀλλὰ τῇ μείζονι φιλοσοφίᾳ ἐμπεριειληφώς. Τῷ γὰρ μὴ ἰδεῖν ἀκολάστως καὶ τὸ μὴ μοιχεύειν μάλιστα ἐμπεριέχεται, καὶ τῷ μὴ ὀργισθῆναι καὶ τὸ μὴ φονεύειν ἐμπεριλαμβάνεται.

ΝΔ'.– ΖΩΣΙΜῼ ΠΡΕΣΒΥΤΕΡῼ

Περὶ μετανοίας, κἂν εἰς γῆρας βαθύ.

Εἰ δὲ εἰς γῆρας βαθὺ ἐληλακὼς, παλινῳδίαν ᾄδεις, πότε μετανοήσεις; Αἰδέσθητι κἂν τοὔνομα τοῦ γήρως, ὅπερ εἴρηται, παρὰ τὸ γῆς ἐρᾶν. Ὡς τοίνυν τοῦ σώματος μὲν εἰς γῆν λοιπὸν ἀναλυθησομένου, τῆς δὲ ψυχῆς ἐν τῇ ἀναστάσει μετὰ αὐτοῦ πικροτάτας ὑποστησομένης τιμωρίας (διψᾷ γὰρ ἡ δίκη τὰς κατὰ τῶν καταφρονησάντων αὐτῆς κολάσεις), γνωσιμάχησον. Εἰ γὰρ καὶ καιρὸν οὐκ ἔχεις αὐτάρκη τὰ τοσαῦτα θεραπεῦσαι

ἀλαζονεία, ὅτι δὲν θὰ πάθεις κανένα κακό, ἀλλὰ σκεπτόμενος ὅτι συνήθως τὰ πράγματα ἀλλάζουν στὸ ἀντίθετο, νὰ ἔχεις μετριοφροσύνη, καὶ νὰ μὴ προχωρεῖς ἔξω ἀπὸ τὰ ἀνθρώπινα ὅρια. Γιατὶ δικαιοσύνη ἐποπτεύει αὐτὰ ποὺ γίνονται, ἡ ὁποία, ἐκείνους ποὺ νόμισαν ὅτι θὰ βρεθοῦν ἐκτὸς τιμωρίας, θὰ τοὺς ἐπιφέρει τὴν τιμωρία μὲ αὐτὰ ποὺ νόμισαν ὅτι θὰ τὴ διαφύγουν.

53.- ΣΤΟΝ ΕΠΙΣΚΟΠΟ ΛΑΜΠΕΤΙΟ

Πρὸς Ἐφεσίους· Τί σημαίνει αὐτὸ ποὺ λέγεται· «Καταργώντας τὸν νόμο τῶν ἐντολῶν ποὺ συνίστατο σὲ διαταγές»[39].

Εἶναι μεγάλη ἡ ὑπεροχὴ τοῦ Εὐαγγελίου ἀπὸ τὸν νόμο. Γιατὶ ὁ νόμος περιορίζει τὴ φιλανθρωπία μόνο στοὺς ὁμοφύλους, ἐνῶ τὸ Εὐαγγέλιο τὴν ἐπεκτείνει καὶ στοὺς ἀλλοφύλους. Καὶ ὁ νόμος βέβαια διατάσσει νὰ ἀγαποῦν τοὺς φίλους, ἐνῶ τὸ Εὐαγγέλιο προτρέπει νὰ ἀγαπᾶμε καὶ τοὺς ἐχθρούς. Γιατὶ ἐκεῖνος νομοθετεῖ σὰν σὲ παιδιά, ἐνῶ αὐτὸ ὑποδεικνύει ὑπερφυσικὴ διδασκαλία σὰν σὲ φιλοσόφους. Καὶ αὐτὸ εἶναι ἐκεῖνο ποὺ θέλησες νὰ μάθεις· «Καταργώντας τὸν νόμο τῶν ἐντολῶν ποὺ συνίστατο σὲ διαταγές». Τὸν κατάργησε, χωρὶς νὰ τὸν ἀνατρέψει, ἀλλὰ περιλαμβάνοντάς τον μέσα στὴ μεγαλύτερη φιλοσοφία. Γιατὶ στὴν ἐντολὴ νὰ μὴ βλέπουν ἀκόλαστα, συμπεριλαμβάνεται ὁπωσδήποτε καὶ τὸ νὰ μὴ μοιχεύουν, καὶ στὴν ἐντολὴ νὰ μὴ ὀργίζονται, περιέχεται καὶ τὸ νὰ μὴ φονεύουν.

54.- ΣΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟ ΖΩΣΙΜΟ

Γιὰ τὴ μετάνοια, ἔστω καὶ σὲ βαθειὰ γηρατειά.

Ἐάν, χωρὶς νὰ ἔχεις φτάσει σὲ βαθειὰ γηρατειά, ἀναιρεῖς ὅσα εἶχες πεῖ προηγουμένως, πότε θὰ μετανοήσεις; Σεβάσου τουλάχιστον τὸ ὄνομα τῶν γερατειῶν, τὸ ὁποῖο, ὅπως ἔχει λεχθεῖ, τοὺς ἔχει δοθεῖ ἐπειδὴ λαχταροῦν τὴ γῆ. Ἐπειδὴ λοιπὸν τὸ σῶμα βέβαια θὰ διαλυθεῖ στὴ γῆ, ἐνῶ ἡ ψυχὴ κατὰ τὴν ἀνάσταση μαζὶ μὲ αὐτὸ θὰ ὑποστεῖ φοβερώτατες τιμωρίες (γιατὶ ἡ δικαιοσύνη διψᾶ τὶς τιμωρίες ἐναντίον ἐκείνων ποὺ τὴν περιφρόνησαν), γι᾽ αὐτὸ δεῖξε μετάνοια. Γιατί, ἂν καὶ δὲν ἔχεις ἀρκετὸν καιρὸ νὰ θεραπεύσεις τὰ τόσο πολλὰ τραύματά

39. Ἐφ. 2, 15.

τραύματα, ἀλλ' οὖν γε οὐ μικράν σοι τοῦτο προξενήσει ἐν τοῖς δεινοῖς ἐκείνοις παραμυθίαν.

ΝΕ'.– ΠΑΥΛΩ
Περὶ μεταγνώσεως.

Οἶμαι μέν σε μὴ ἠπατῆσθαι, ἀλλ' οἴκοθεν σοφίσασθαι τὴν ἀλήθειαν βεβουλῆσθαι. Εἰ δ' ὄντως ἀπατηθεὶς διήμαρτες τῆς ἀληθείας, μαθὼν παλινῳδίαν ᾄσον. Ὁ γὰρ ἀδελφὸς ὁ σός, αἰτίαν εὔλογον εἰπών, ἀλλ' οὐ πρόφασιν σκηψάμενος, ἐγνωσιμάχησε.

ΝΣ'.– ΤΟΙΣ ΤΟΥ ΔΩΡΟΘΕΟΥ ΠΑΙΣΙΝ.
Συμβουλευτικὴ πρὸς ἀποφυγὴν ἀντεκδικήσεως.

Εἰ καὶ ὥρμησεν ἐφ' ὑμᾶς ὁ διάδικος, ὡς αἱρήσων ἐξ ἐπιδρομῆς καὶ παραστησόμενος, ἁλοὺς δέ, τῆς μὲν νίκης διήμαρτεν, ἱκέτου δὲ σχῆμα ἀνείληφεν. Ἀλλ' ὑμεῖς αἰδέσθητε τὸν ἐπὶ τῶν ἱκετῶν νόμον, ἵνα καὶ βεβαιοτέρα ὑμῖν ἡ νίκη, καὶ τὸ κλέος ἀοίδιμον γένηται.

ΝΖ'.– ΙΣΙΔΩΡΩ ΣΧΟΛΑΣΤΙΚΩ
Περὶ μέτρου εἰς τὸν λόγον.

Συντομία ἀληθὴς μετὰ σαφηνείας, οὐχ ἡ τῶν ἀποδείξεων παράλειψις, ἀλλ' ἡ τῶν μηδὲν τῷ προκειμένῳ συμβαλλομένων παραίτησις. Ὥσπερ γὰρ τὰ ἔξωθεν ὑποθέσεως παρέλκον τιθέναι, οὕτως ἀναγκαῖον μηδὲ τῶν πρὸς σύστασιν παραλιμπάνειν. Μὴ τοίνυν μηδ' αὐτός, εἰ ἀγωνιστικὸς καὶ ἀποδεικτικὸς ἐμπέσοι λόγος, αἰτιῶ τὸ μῆκος, ἀλλ' ἐκεῖνο σκόπει, ὅτι σαφηνίσαι ἄλλως οὐχ οἷόν τε ἦν τὸ ζητούμενον, εἰ μὴ πολλῇ περιδρομῇ ἐχρήσατο. Εἰ μὲν γὰρ ἀποφήνασθαι προκέοιτο, σύντομος ἔστω ὁ λόγος, εἰ δὲ ἀποδεῖξαι, ἀνάγκη καὶ εἰς μῆκος μὲν ἐκταθῆναι, πᾶσαν δὲ περιττότητα καὶ ταυτολογίαν διαφυγεῖν.

σου, ἀλλ' ὅμως αὐτὸ δὲν θὰ σοῦ προξενήσει μικρὴ παρηγοριὰ μέσα σ' ἐκεῖνα τὰ δεινά.

55.- ΣΤΟΝ ΠΑΥΛΟ
Γιὰ τὴ μετάνοια.

Νομίζω βέβαια ὅτι σὺ δὲν ἐξαπατήθηκες, ἀλλὰ ἀπὸ μόνος σου θέλησες νὰ γνωρίσεις μὲ πανουργία τὴν ἀλήθεια. Ἐὰν ὅμως πραγματικὰ ἐπειδὴ ἐξαπατήθηκες παραστράτησες ἀπὸ τὴν ἀλήθεια, μαθαίνοντάς το ὁμολόγησε τὴν πλάνη. Γιατὶ ὁ ἀδελφός σου, ἀφοῦ πρόβαλε μιὰ εὔλογη αἰτία, χωρὶς νὰ προβάλει καμμιὰ πρόφαση, μετανόησε.

56.- ΣΤΑ ΠΑΙΔΙΑ ΤΟΥ ΔΩΡΟΘΕΟΥ
Συμβουλευτικὴ πρὸς ἀποφυγὴ ἀντεκδίκησης.

Ἂν καὶ ἐπιτέθηκε ἐναντίον σας ὁ διάδικος, γιὰ νὰ σᾶς συλλάβει ξαφνικὰ καὶ νὰ σᾶς ἀναγκάσει σὲ συμβιβασμό, ὅταν ὅμως συνελήφθη, ἐπειδὴ βέβαια ἔχασε τὴ νίκη, πῆρε θέση ἱκέτη. Σεῖς ὅμως σεβασθεῖτε τὸν νόμο γιὰ τοὺς ἱκέτες, ὥστε καὶ ἡ νίκη σας νὰ εἶναι πιὸ ἀσφαλής, καὶ ἡ δόξα σας νὰ γίνει αἰώνια.

57.- ΣΤΟΝ ΣΧΟΛΑΣΤΙΚΟ ΙΣΙΔΩΡΟ
Γιὰ τὸ μέτρο στὸ λόγο.

Πραγματικὴ συντομία μὲ σαφήνεια δὲν εἶναι ἡ παράλειψη τῶν ἀποδείξεων, ἀλλὰ ἡ ἀπόρριψη ἐκείνων ποὺ δὲν συμβάλλουν καθόλου στὸ ὑπὸ συζήτηση ζήτημα. Γιατί, ὅπως αὐτὸ ποὺ βρίσκεται ἔξω ἀπὸ τὴν ὑπόθεση τὸ θεωροῦμε πλεονάζον, ἔτσι εἶναι ἀπαραίτητο νὰ μὴ παραλείπουμε τίποτε ἀπὸ αὐτὰ ποὺ συντελοῦν στὴ σύνθεση αὐτῆς. Οὔτε σὺ λοιπόν, ὅταν συμβεῖ νὰ γίνεται λόγος ἀγωνιστικὸς καὶ ἀποδεικτικός, νὰ κατηγορεῖς τὸ μῆκος, ἀλλὰ νὰ προσέχεις ἐκεῖνο, ὅτι δηλαδὴ δὲν εἶναι δυνατὸν νὰ ἀποσαφηνίσεις μὲ ἄλλον τρόπο αὐτὸ ποὺ συζητεῖται, παρὰ μόνο ἂν γίνει μεγάλη περιστροφὴ γύρω ἀπὸ αὐτό. Ἐὰν λοιπὸν πρόκειται νὰ ἐκφράσεις τὴ γνώμη σου, ὁ λόγος νὰ εἶναι σύντομος, ἐὰν ὅμως πρέπει καὶ νὰ τὴν ἀποδείξεις, εἶναι ἀνάγκη τότε νὰ ἐπεκταθεῖς σὲ μῆκος, ἀποφεύγοντας ὅμως κάθε τι τὸ περιττὸ καὶ τὴν ταυτολογία.

ΝΗ'.– ΑΠΟΛΛΩΝΙΩ ΕΠΙΣΚΟΠΩ

Πρὸς Ἑβραίους, Ἑρμηνεία εἰς τό, «Ὃς ὢν ἀπαύγασμα τῆς δόξης καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ».

Εἰ μὲν τοῖς ἀνθρωπίνοις πάθεσιν, ὅπερ οὐδ' εἰπεῖν θέμις, κατὰ πάντα ἔψοιτο ὁ τὴν θείαν γέννησιν ὑπογράφων, ἀκοῦσαι ἂν εἴη δίκαιος, ὅτι, εἴ σοι πάθος πλάττεται περὶ τὸν τόκον, κἀμοὶ περὶ τὴν κτίσιν. Οὐ γὰρ τὸ κτιζόμενον, εἰ τῇ τῶν ἀνθρώπων ἀκολουθήσαιμι ἀσθενείᾳ, ἀπαθῶς οἶδα κτιζόμενον. Εἰ δὲ θεοπρεπέστερον τὰ μὲν πρέποντα καταδέξοιτο, τὰ δὲ ἀπηχῆ παριππεύσειεν, ἐννοῆσαι ὀφείλει, ὅτι, ἐπειδὴ ὁ θνητὸς ἐμπαθῶς γεννᾷ, ὁ ἀθάνατος ἀπαθῶς. Ὥσπερ οὖν καὶ ὁ κτίζων μετὰ πόνου, ὁ δὲ ἀμογητὶ κτίζει. Ταῦτα γὰρ ἐννοήσας καὶ ὁ θεσπέσιος Παῦλος καὶ ὥσπερ ἔνθους γενόμενος, πάντα τὰ γήινα παραδείγματα ὑπερηξάμενος, «ἀπαύγασμα τῆς δόξης καὶ χαρακτῆρα τῆς ὑποστάσεως» τῆς πατρικῆς τὸν Υἱὸν εἶναι ὡρίσατο. Διὰ μὲν τοῦ πρώτου τὸ συναΐδιον, διὰ δὲ τοῦ δευτέρου παραδείγματος τὸ ἐνυπόστατον μηνύων.

ΝΘ'.– ΖΩΣΙΜΩ ΠΡΕΣΒΥΤΕΡΩ

Συμβουλευτικὴ πρὸς ἀποφυγὴν τῆς πρὸς φίλους καὶ εὐεργέτας ἐπιβουλῆς.

Ποίοις ὀφθαλμοῖς εἰς τοὺς φίλους ἔτι τοὺς σαυτοῦ, εἴ γ' ἔχεις φίλους, βλέψεις, ἀνθρώπῳ εὐεργέτῃ καὶ φίλῳ ἐπιβουλεύσας; Ὁ μὲν γὰρ ἀδεέστερον, ὡς ἐπυθόμην, συνῆν, ἀναμφισβήτητον ἐνέχυρον οἰόμενος ἔχειν τοῦ μηδὲν ἂν ἐξ ἐπιβουλῆς παθεῖν, τὸ τῆς εὐνοίας καὶ τὸ τῆς εὐεργεσίας μέγεθος, σὺ δὲ καὶ αὐτοὺς τοὺς θῆρας τῇ ἀγριότητι καὶ τῇ ὠμότητι νενίκηκας (εἰσὶ γὰρ ἐν αὐτοῖς οἱ καὶ εὐεργέταις χάριν ἴσασι), καὶ ἐναβρύνῃ τῷ κακῷ. Πότε οὖν στήσῃ λοιπὸν καταποντίζων τὴν σαυτοῦ ψυχήν, τοῦ φέρεσθαι κάτω διηνεκῶς ἀνάγκην αὐτῇ ἐπιτιθείς;

---

40. Ἑβρ. 1, 3.

58.- ΣΤΟΝ ΕΠΙΣΚΟΠΟ ΑΠΟΛΛΩΝΙΟ

Πρὸς Ἑβραίους. Ἑρμηνεία στό· «Ὁ ὁποῖος, ὄντας ἀκτινοβολία τῆς δόξας καὶ σφραγίδα τῆς οὐσίας τοῦ Θεοῦ»[40].

Ἐὰν βέβαια ἀκολουθοῦσε σὲ ὅλα τὰ ἀνθρώπινα πάθη, θὰ ἔπρεπε, αὐτὸς ποὺ κατηγορεῖ τὴ θεία γέννηση, πρᾶγμα ποὺ δὲν εἶναι σωστὸ οὔτε νὰ τὸ πεῖ κανείς, νὰ ἀκούσει, ὅτι, ἐὰν σὲ σένα προκαλεῖται κάποιο πάθος σχετικὰ μὲ τὸν τοκετό, προκαλεῖται καὶ σὲ μένα γιὰ τὴν κτίση. Γιατὶ δὲν γνωρίζω, ἐὰν ἀκολουθήσω τὴν ἀνθρώπινη ἀδυναμία, ὅτι αὐτὸ ποὺ κτίζεται, κτίζεται χωρὶς πάθος. Ἐὰν ὅμως ἀποδεχόταν μὲ τρόπο θεοπρεπῆ τὰ πρέποντα, καὶ αὐτὰ ποὺ τοῦ εἶναι ἀταίριαστα τὰ περνοῦσε καλπάζοντας, πρέπει νὰ καταλάβει αὐτός, ὅτι, ἐπειδὴ ὁ θνητὸς γεννᾶ μὲ πάθος, ὁ ἀθάνατος γεννᾶ χωρὶς πάθος. Ὅπως βέβαια καὶ ὁ θνητὸς ποὺ κτίζει κτίζει μὲ κόπο, ἐνῶ ὁ ἀθάνατος χωρὶς κόπο. Αὐτὰ λοιπὸν ἐννοώντας καὶ ὁ θεόπνευστος Παῦλος, καὶ σὰν νὰ γέμισε κατὰ κάποιον τρόπο ἀπὸ θεία ἔμπνευση, πλέοντας πάνω ἀπὸ ὅλα τὰ γήϊνα παραδείγματα, ὅρισε ὅτι ὁ Υἱὸς «εἶναι ἀκτινοβολία τῆς δόξας καὶ σφραγίδα τῆς οὐσίας τοῦ Πατέρα», δηλώνοντας μὲ τὸ πρῶτο ὅτι εἶναι αἰώνιος μαζὶ μ᾽ ἐκεῖνον, καὶ μὲ τὸ δεύτερο παράδειγμα, ὅτι ἔχει πραγματικὴ ὑπόσταση.

59.- ΣΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟ ΖΩΣΙΜΟ

Συμβουλευτικὴ πρὸς ἀποφυγὴν τῆς σκευωρίας πρὸς τοὺς φίλους καὶ τοὺς εὐεργέτες.

Μὲ ποιὰ μάτια θὰ κοιτάζεις ἀκόμα στοὺς φίλους σου, ἐὰν φυσικὰ ἔχεις φίλους, τὴ στιγμὴ ποὺ σκέφθηκες νὰ κάνεις κακὸ σὲ ἄνθρωπο εὐεργέτη καὶ φίλο; Γιατὶ ἐκεῖνος βέβαια, ὅπως ρώτησα καὶ πληροφορήθηκα, σὲ συναναστρεφόταν ἄφοβα, νομίζοντας ὅτι ἔχει ἀναμφισβήτητη ἐγγύηση, ὅτι δὲν θὰ πάθει τίποτε μὲ σκευωρία, τὴ μεγάλη εὔνοια καὶ εὐεργεσία., σὺ ὅμως ἀκόμα καὶ αὐτὰ τὰ ἄγρια θηρία τὰ ξεπέρασες σὲ ἀγριότητα καὶ ὠμότητα (γιατὶ ὑπάρχουν ἀνάμεσα σ᾽ αὐτὰ ἐκεῖνα ποὺ αἰσθάνονται εὐγνωμοσύνη γιὰ τοὺς εὐεργέτες τους) καὶ καμαρώνεις γιὰ τὸ κακό. Πότε λοιπὸν θὰ σταματήσεις νὰ καταποντίζεις τὴν ψυχή σου, προσθέτοντάς της τὴν ἀνάγκη νὰ ὁδηγεῖται διαρκῶς πρὸς τὰ κάτω;

Ξ΄.– ΕΥΤΟΝΙΩ ΔΙΑΚΟΝΩ
Ὅτι οὐ χρὴ τὴν τῶν πραγμάτων εὐκαιρίαν προδίδειν.

Ὁ τὴν εὐκαιρίαν τῶν πραγμάτων προδιδούς, τῆς τῶν καλῶν ἐκπεσεῖται θήρας. Τίς γὰρ γεωργὸν ἀποδέξοιτο, παρὸν ἀροῦν καὶ σπείρειν, ἵν' εὔσταχυ ἔχῃ τὸν λήιον, ἀργοῦντα καὶ θυραυλοῦντα; Τίς δ' ἀμπελουργόν, ἐξὸν θεραπεύειν τὴν ἄμπελον, ἵν' εὐστάφυλον αὐτὴν ἔχοι καὶ τὴν ληνὸν μεθύουσαν, τοῖς ἑτέρων ἐφεδρεύοντα πόνοις; Τίς δὲ πλωτῆρα δέον εἰκαίρως πλεῖν, ἵνα τὴν ἐμπορίαν αὐξήσῃ, ἐν λιμέσι μένοντα καὶ ἐν καπηλείοις καλινδούμενον; Οὐδείς δήπου. Εἰ τοίνυν ταῦθ' οὕτως ἔχει, τίς ἀποδέξοιτο Χριστιανὸν ἐν τῷ καιρῷ τῶν ἀγώνων τοὺς στεφάνους ἐπιζητοῦντα; Τὰ μὲν γὰρ τῇδε ἀγώνων ἐστὶ καὶ στεφάνων ὑπόθεσις, τὰ δὲ ἐκεῖ γερῶν καὶ τιμῶν. Μὴ τοίνυν τὴν εὐκαιρίαν τῶν πραγμάτων προδῶμεν, ἵνα μὴ ἐκεῖ ἀνόνητα μεταμεληθῶμεν.

ΞΑ΄.– ΜΑΡΩΝΙ, ΠΑΛΛΑΔΙΩ, ΕΥΣΤΑΘΙΩ, ΖΩΣΙΜΩ
Συμβουλευτικὴ πρὸς ἀποφυγὴν τῆς κακίας, καὶ ἀσκήσεως τῆς ἀρετῆς.

Πολλοὶ τῶν παρ' Ἕλλησι, δόξης μόνης ἀντιποιησαμένων, μηδὲν ἴσως προσδοκήσαντες μετὰ τὴν ἐνθένδε ἀποδημίαν, μᾶλλον δὲ καταγνόντες τῆς κακίας καὶ τὸ μηδὲν εἶναι νομίσαντες τὰ βιωτικὰ πράγματα, ἀρετὴν ἀσκήσαντες, ἀοίδιμοι γεγόνασι καὶ ἐν τοῖς ἁπάντων περιφέρονται στόμασιν. Ὑμεῖς δὲ δι' ἣν αἰτίαν οὔτε δόξης ἕνεκεν οὔτε κρίσεως οὔτε ὑπολήψεως, οὔτε ἀμοιβῆς οὔτ' ἄλλου οὐδενὸς τῶν τοὺς σφόδρα ἀναλγήτως διακειμένους εἰς τὸ ποιῆσαί τι χρηστὸν ἐκβιαζομένων, προτρέπεσθε ἀποστῆναι τῆς κακίας λίαν τεθαύμακα.

60.- ΣΤΟΝ ΔΙΑΚΟΝΟ ΕΥΤΟΝΙΟ
Ὅτι δὲν πρέπει νὰ προδίδει κανεὶς τὴν εὐκαιρία τῶν πραγμάτων.

Αὐτὸς ποὺ προδίδει τὴν εὐκαιρία τῶν πραγμάτων, θὰ λοξοδρομήσει ἀπὸ τὸ κυνήγι τῶν καλῶν. Γιατὶ ποιὸς θὰ μποροῦσε νὰ δεχθεῖ γεωργό, ὁ ὁποῖος ἀντὶ νὰ ὀργώνει καὶ νὰ σπέρνει, γιὰ νὰ ἔχει πλούσιο σὲ στάχυα θερισμό, μένει ἀργὸς καὶ περνάει τὶς ὧρες του στὸ σπίτι; Καὶ ποιὸς θὰ δεχόταν ἀμπελουργὸν ἐκεῖνον, πού, ἐνῶ πρέπει νὰ καλλιεργεῖ τὸ ἀμπέλι γιὰ νὰ δώσει καλὰ σταφύλια καὶ τὸ πατητήρι γεμᾶτο κρασί, ἀσχολεῖται μὲ τοὺς κόπους τῶν ἄλλων; Ποιὸς ἐπίσης θὰ ἔπαιρνε ναύτη, ὁ ὁποῖος, ἐνῶ πρέπει νὰ πλέει στὸν κατάλληλο καιρό, γιὰ νὰ αὐξήσει τὰ ἐμπορεύματα, μένει στὸ λιμάνι καὶ περνάει τὸν καιρό του στὰ καπηλειά; Ὁπωσδήποτε κανένας. Ἐὰν λοιπὸν αὐτὰ ἔτσι ἔχουν, ποιὸς θὰ δεχόταν Χριστιανό, ὁ ὁποῖος στὸν καιρὸ τῶν ἀγώνων ἐπιζητᾶ τὰ στεφάνια; Γιατὶ τὰ ἐδῶ εἶναι ὑπόθεση ἀγώνων καὶ στεφάνων, ἐνῶ τὰ ἐκεῖ εἶναι ὑπόθεση βραβείων καὶ τιμῶν. Ἂς μὴ προδώσουμε λοιπὸν τὴν εὐκαιρία τῶν περιστάσεων, γιὰ νὰ μὴ μετανοιώσουμε ἐκεῖ ἀνώφελα.

61.- ΣΤΟΥΣ ΜΑΡΩΝΑ, ΠΑΛΛΑΔΙΟ, ΕΥΣΤΑΘΙΟ ΚΑΙ ΖΩΣΙΜΟ
Συμβουλευτικὴ πρὸς ἀποφυγὴ τῆς κακίας καὶ ἄσκηση τῆς ἀρετῆς.

Πολλοὶ ἀπὸ τοὺς Ἕλληνες, ἀνταλλάσσοντας μόνο τὴ δόξα, ἴσως ἐπειδὴ δὲν περίμεναν τίποτε μετὰ τὴν ἀναχώρησή τους ἀπὸ τὴν ἐδῶ ζωή, ἢ μᾶλλον κατηγορώντας τὴν κακία, καὶ πιστεύοντας ὅτι τὰ βιωτικὰ πράγματα δὲν εἶναι τίποτε, ἀσκώντας τὴν ἀρετή, ἔγιναν ἀείμνηστοι καὶ βρίσκονται στὰ στόματα ὅλων. Σεῖς ὅμως ἀπορῶ πάρα πολὺ γιὰ ποιὸν λόγο, οὔτε ἐξαιτίας τῆς δόξας, οὔτε ἐξαιτίας τῆς μέλλουσας κρίσης, οὔτε ἐξαιτίας τῆς καλῆς φήμης, οὔτε ἐξαιτίας τῆς ἀμοιβῆς, οὔτε ἐξαιτίας κάποιου ἄλλου, ποὺ αὐτοὶ ποὺ ζοῦν ἐντελῶς ἀνάλγητα ἐξαναγκάζονται νὰ κάνουν κάτι καλό, δέχεσθε τὴν προτροπὴ νὰ ἀπομακρυνθεῖτε ἀπὸ τὴν κακία.

ΞΒ΄.– ΑΘΑΝΑΣΙΩ ΠΡΕΣΒΥΤΕΡΩ
Προτρεπτική πρὸς ἐπαναγωγὴν εἰς τὴν ἀρετήν.

Ἄδω τὴν καλουμένην παλινῳδίαν. Ἥμαρτον γὰρ σκοποῦ, ἤ, τό γε ἀληθέστερον εἰπεῖν, γνώμης, μὴ εὑρών σε τοιοῦτον, οἷον νομίζων, ἐγκωμιάζειν ἐπεχείρουν. Τοῦτο δὲ οὐκ ἐμόν, ἀλλὰ τῆς σῆς μεταβολῆς, τῆς ἐπὶ τὰ χείρω νευσάσης, ἐστὶν ἔγκλημα. Ἐγὼ μὲν γάρ, ἐπειδήπερ καὶ πιστεύω τοῖς ἐγκωμιάζουσι, καὶ τοὺς ἐπαινουμένους συγκροτῶ (ἔχω γάρ τινα ῥοπὴν πρὸς τὸ καλόν), πεπίστευκα τοῖς σὲ ἐπαινέσασι (βούλομαι γὰρ πάντας εὐδοκίμους εἶναι), αὐτὸς δὲ μεταβληθείς, σαυτόν, οὐκ ἐμέ, ἤλεγξας. Ἀλλ', εἰ μὲν ἀπεγίνωσκον, οὐκ ἂν ταῦτ' ἔγραφον, ἐπειδὴ δὲ ἀρίστην μεταβολὴν προσδοκῶ, καὶ γράφω καὶ προτρέπω, ὥστε εἰς τὴν ἀρχαίαν ἀρετὴν σαυτὸν ἐπαναγαγεῖν.

ΞΓ΄.– ΘΕΟΠΟΜΠΩ
Περὶ Ἀρειανῶν καὶ Εὐνομιανῶν.

Οὐδὲν οὕτω τῆς θείας φύσεως ἴδιον, ὡς τὸ ἀΐδιον. Ὁ τοίνυν μεταγενέστερον τὸν Υἱὸν λέγων τοῦ Πατρός, ἐξ οὗ ἀνάρχως ἐξέλαμψεν, οὗτος αὐτὸ τὸ χαρακτηρίζον τὴν ἀκήρατον οὐσίαν, τό γε αὐτοῦ μέρος, ἀναιρεῖ. Καὶ ἀριθμοῦ γὰρ καὶ χρόνου ἐστὶν ἀνώτερα, καὶ τοῦ πρὸ καὶ μετὰ οὐκ ἀνέχεται, οὐδὲ τὸ πρῶτον καὶ δεύτερον προσίεται. Ἀπρόσιτος γάρ ἐστιν, ὥσπερ τοῖς ἄλλοις ἅπασι, καὶ τούτοις τοῖς ὀνόμασι, δι' ὧν τὰ κτίσματα χαρακτηρίζεται.

ΞΔ΄.– ΠΑΥΛΩ
Περὶ ἀνεξικακίας.

Ἐπυθόμην ὡς σὺ μὲν σοφῶς ποιῶν, ἑκὼν δέδωκας τοῦ λαθεῖν ἐξουσίαν, ὁ δὲ βέλτιστος Χαιρήμων, ὑπὸ Ἀμμωνίου καθαιρεθείς, παρὰ δὲ Εὐσεβίου οὐκ οἶδ' ὅπως χειροτονηθείς, δόξας μὴ πεφωρᾶσθαι οὐκ ἠρυθρίασεν, ἀλλὰ καὶ φλυαρίαις

62.- ΣΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟ ΑΘΑΝΑΣΙΟ
Προτρεπτικὴ πρὸς ἐπιστροφὴ στὴν ἀρετή.

Ψάλλω τὴν καλούμενη παλινωδία. Γιατὶ ἔκανα λάθος στὸ σκοπό μου, ἤ, γιὰ νὰ πῶ αὐτὸ ποὺ εἶναι πιὸ ἀληθινό, στὴν γνώμη μου, ἐπειδή, μὴ βρίσκοντάς σε τέτοιον ποὺ νόμιζα, ἐπιχειροῦσα νὰ σὲ ἐγκωμιάσω. Αὐτὸ ὅμως δὲν εἶναι δικό μου ἔγκλημα, ἀλλὰ τῆς δικῆς σου μεταβολῆς, ἡ ὁποία ἔκλινε πρὸς τὰ χειρότερα. Γιατὶ ἐγὼ βέβαια, ἐπειδὴ καὶ πιστεύω σ' αὐτοὺς ποὺ σὲ ἐγκωμιάζουν, καὶ ἐπιδοκιμάζω αὐτοὺς ποὺ σὲ ἐπαινοῦν (γιατὶ ἔχω κάποια κλίση πρὸς τὸ καλό), πίστεψα σ' αὐτοὺς ποὺ σὲ ἐπαίνεσαν (γιατὶ θέλω ὅλοι νὰ εἶναι ἄξιοι), σὺ ὅμως μὲ τὸ νὰ μεταβληθεῖς, δὲν κατηγόρησες ἐμένα, ἀλλὰ τὸν ἑαυτό σου. Ὅμως, ἐὰν ἀπογοητευόμουν, δὲν θὰ τὰ ἔγραφα αὐτά, ἐπειδὴ ὅμως περιμένω μὲ ἀνυπομονησία τὴν ἄριστη μεταβολή σου, καὶ σοῦ γράφω καὶ σὲ προτρέπω, ὥστε νὰ ἐπαναφέρεις τὸν ἑαυτό σου στὴν παλιὰ ἀρετή.

63.- ΣΤΟΝ ΘΕΟΠΟΜΠΟ.
Γιὰ τοὺς Ἀρειανοὺς καὶ τοὺς Εὐνομιανούς.

Τίποτε δὲν εἶναι τόσο πολὺ ξεχωριστὸ γνώρισμα τῆς θείας φύσεως, ὅσο ἡ αἰωνιότητα. Αὐτὸς λοιπὸν ποὺ λέγει, ὅτι ὁ Υἱὸς εἶναι μεταγενέστερος ἀπὸ τὸν Πατέρα, ἀπὸ τὸν ὁποῖο ἔλαμψε χωρὶς ἀρχή, αὐτὸς καταργεῖ, ὅσο βέβαια ἐξαρτᾶται ἀπὸ αὐτόν, αὐτὸ ποὺ χαρακτηρίζει τὴν αἰώνια ἀμόλυντη οὐσία. Γιατὶ εἶναι ἀνώτερη ἀπὸ ἀριθμὸ καὶ ἀπὸ χρόνο, καὶ δὲν ἀνέχεται τὸ πρὶν καὶ τὸ μετά, οὔτε δέχεται πρῶτο καὶ δεύτερο, γιατὶ εἶναι ἀπλησίαστη, ὅπως καὶ σὲ ὅλα τὰ ἄλλα, καὶ σ' αὐτὰ τὰ ὀνόματα, μὲ τὰ ὁποῖα χαρακτηρίζονται τὰ κτίσματα.

64.- ΣΤΟΝ ΠΑΥΛΟ
Γιὰ τὴν ἀνεξικακία.

Ρώτησα καὶ ἔμαθα, ὅτι σὺ βέβαια, ἐνεργώντας μὲ σοφία, μὲ τὴ θέλησή σου ἀπέφυγες τὴν ἐξουσία, ὁ φίλτατος ὅμως Χαιρήμων, ποὺ καθαιρέθηκε βέβαια ἀπὸ τὸν Ἀμμώνιο, καὶ δὲν ξέρω πῶς χειροτονήθηκε ἀπὸ τὸν Εὐσέβιο, νομίζοντας ὅτι δὲν θὰ γίνει ἀντιληπτός, δὲν κοκκίνισε ἀπὸ ντροπή, ἀλλὰ καὶ μὲ φλυαρίες ἀντάμειψε τὴ δική σου

τὴν σὴν ἠμείψατο φιλοσοφίαν. Μὴ τοίνυν δυσχεράνῃς, εἰ ἄνθρωπος μήτ' ἀρετῆς φροντίζων, μήτε φόβον θεῖον ἐν στέρνοις ἔχων, κατὰ τῆς σῆς ἐπιεικείας ὥπλισε τὴν γλῶτταν, ἀλλὰ προσδόκα καὶ ὑπὲρ τούτου στέφανον.

ΞΕ'.– ΝΕΙΛΩ ΔΙΑΚΟΝΩ
Περὶ ἀληθείας.

Ἡ ἀλήθεια πάσας τὰς τέχνας καὶ τὰς ἐπιστήμας κοσμεῖ. Εἰ δ' αὐτὴ ἀπείη, οὐδεμίαν ἔχουσι κοσμιότητος ὥραν. Φιλοσοφία μὲν γὰρ ἡ παρ' Ἕλλησι, τὴν ἀλήθειαν ἐπαγγελομένη ζητεῖν, ταύτης ἐκπέπτωκε, ῥητορικὴ δὲ δεινότητος καὶ ἁβρότητος μόνον φροντίζει, γραμματικὴ δὲ τὴν τῶν λόγων ἐμπειρίαν διδάσκειν αὐχεῖ. Εἰ μὲν οὖν αὗται τῇ ἀληθείᾳ καλλωπίζονται, ποθειναὶ ὀφείλουσιν εἶναι τοῖς ἐχέφροσιν, εἰ δὲ κατ' αὐτῆς ὁπλίζοιντο, ἀτιμάζεσθαί εἰσι δίκαιαι.

ΞΣ'.– ΤΩ ΑΥΤΩ
Πῶς νοητέον, «Εἰ ὀφθαλμός σου ἢ χείρ σου σκανδαλίζει σε».

Οὐκ ἔστιν ἄλογος ὁ εὐαγγελικὸς χρησμός, ἀλλὰ νοῦ καὶ λογισμοῦ μεστός. Μεγάλου γὰρ καὶ δοκοῦντος καὶ ὄντος τοῦ κρατεῖν ἐπιθυμίας, μεῖζόν ἐστι τὸ προνοεῖν ὅπως μή τις ἁλοίη τῇ νόσῳ. Τοῦτο γοῦν αὐτὸ ἀνασκευάζων ὁ Χριστός, ἔφη· «Πᾶς ὁ βλέπων γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ»· οὐ τὸν ἐκ παρόδου καὶ ἐξαίφνης ἑωρακότα καὶ τρωθέντα καὶ ἐξελκύσαντα τὸ βέλος καὶ τὸ τραῦμα θεραπεύσαντα, μοιχὸν ἀποφαίνων. Οὐ γὰρ εἶπεν, "Ὁ θεασάμενος", ἀλλ' «Ὁ θεώμενος», ὁ ἐκ προενθυμήσεως τὸ πάθος ἐπισπασάμενος καὶ παρ' ἑαυτῷ τρέφων καὶ συνεχῶς φοιτῶν πρὸς τὴν θεαθεῖσαν καὶ περιεργαζόμενος κάλλος ἀλλότριον, καὶ διὰ τῆς συνεχοῦς θέας τρόπον τινὰ τῆς ἡδονῆς ἀπολαύων. Σὺ μὲν οὖν, ἀσφαλῶς τὰ κατὰ σαυτοῦ οἰκονομῶν, εἰκότως φρίττεις τὸν χρη-

41. Ματθ. 5, 29.

φιλοσοφικὴ διάθεση. Μὴ στενοχωρεῖσαι λοιπόν, ἂν ἄνθρωπος, ποὺ οὔτε τὴν ἀρετὴ λογαριάζει, οὔτε φόβο Θεοῦ ἔχει στὰ στήθη του, ὅπλισε τὴ γλώσσα του ἐναντίον τῆς δικῆς σου καλωσύνης, ἀλλὰ νὰ περιμένεις καὶ γι᾽ αὐτὸ στεφάνι.

65.– ΣΤΟΝ ΔΙΑΚΟΝΟ ΝΕΙΛΟ
Γιὰ τὴν ἀλήθεια.

Ἡ ἀλήθεια στολίζει ὅλες τὶς τέχνες καὶ τὶς ἐπιστῆμες. Ἂν ὅμως αὐτὴ ἀναχωρήσει, δὲν ἔχουν καμμιὰ ὀμορφιὰ εὐπρέπειας. Γιατὶ ἡ φιλοσοφία, ποὺ ὑποσχόταν στοὺς Ἕλληνες ὅτι ἀναζητᾶ τὴν ἀλήθεια, ἐξέπεσε ἀπὸ αὐτήν, ἡ ρητορικὴ φροντίζει μόνο γιὰ τὴν εὐγλωττία καὶ τὴ λεπτότητα τῶν τρόπων, ἐνῶ ἡ γραμματικὴ καυχιέται ὅτι διδάσκει τὴν μέσω τῆς πείρας γνώση τῶν λόγων. Ἐὰν λοιπὸν αὐτὲς στολίζονται μὲ τὴν ἀλήθεια, πρέπει νὰ ποθοῦνται ἀπὸ τοὺς μυαλωμένους, ἐὰν ὅμως ὁπλίζονται ἐναντίον αὐτῆς, πρέπει νὰ περιφρονοῦνται.

66.– ΣΤΟΝ ΙΔΙΟ
Πῶς πρέπει νὰ ἐννοεῖται τό· «Ἐὰν ὁ ὀφθαλμὸς ἢ τὸ χέρι σου σὲ σκανδαλίζει»[41].

Ὁ εὐαγγελικὸς λόγος δὲν εἶναι παράλογος, ἀλλὰ γεμᾶτος ἀπὸ ὑψηλὰ λογικὰ νοήματα. Θεωρεῖται καὶ εἶναι πραγματικὰ πολὺ μεγάλο τὸ νὰ συγκρατεῖ κανεὶς τὴν ἐπιθυμία, εἶναι μεγαλύτερο ὅμως τὸ νὰ προνοεῖ κανεὶς νὰ μὴ κυριευθεῖ ἀπὸ τὴν ἀρρώστια. Αὐτὸ λοιπὸν ρυθμίζοντας ὁ Χριστός, εἶπε· «Καθένας ποὺ βλέπει γυναίκα καὶ τὴν ἐπιθυμεῖ, ἤδη ἔχει διαπράξει μοιχεία μὲ αὐτὴν μέσα στὴν καρδιά του»[42], χωρὶς νὰ ὀνομάζει μοιχὸν αὐτὸν ποὺ περνοῦσε καὶ ξαφνικὰ εἶδε καὶ πληγώθηκε, καὶ βγάζοντας τὸ βέλος, θεράπευσε τὸ πάθος. Γιατὶ δὲν εἶπε, "Αὐτὸς ποὺ εἶδε", ἀλλὰ «αὐτὸς ποὺ βλέπει», αὐτὸς ποὺ ἀπὸ προηγούμενη ἀνάμνηση προσείλκυσε τὸ πάθος, καὶ τὸ τρέφει μέσα του, καὶ πηγαίνει συχνὰ σ᾽ αὐτὴν ποὺ εἶδε, καὶ περιεργάζεται ξένη ὀμορφιά, καὶ μὲ τὴ συνεχῆ θέα ἀπολαμβάνει κατὰ κάποιον τρόπο τὴν ἡδονή. Ἐσὺ βέβαια, ρυθμίζοντας τὰ δικά σου ὅπως πρέπει, εὔλογα τρέμεις τὴν ἐντολή, καὶ παρακαλεῖς νὰ σοῦ ἑρμηνευθεῖ, καὶ

42. Ματθ. 5,28.

σμὸν καὶ ἑρμηνευθῆναί σοι παρακαλεῖς, καὶ ἀπιστεῖς τοῖς εἰς τοσοῦτον ἥκουσιν ἀναισθησίας, ὡς λέγειν, ὅτι οὐδὲν βλάπτει ἡ θέα τὸν ὁρῶντα. Ἐγὼ δὲ σὲ μὲν ἀποδέχομαι φροντίζοντα τῆς οἰκείας σωτηρίας, περὶ δὲ ἐκείνων φημί, ὅτι κρείττων ἀσφάλεια φιλοτιμίας ἐπισφαλοῦς, καὶ τὸ τοὺς θείους χρησμοὺς τῶν οἰκείων λογισμῶν προτιμοτέρους ἄγειν, καὶ εὐαγὲς καὶ δικαιότατον. Εἰ δέ τις οὐ πείθεται, ἀκουέτω κἂν τοῦ Παροιμιαστοῦ πρὸ τοῦ εὐαγγελικοῦ χρησμοῦ εἰρηκότος, «Μὴ ἐπιστήσῃς τὸ σὸν ὄμμα πρὸς αὐτήν, ἀλλὰ ἀποπήδησον, μὴ ἐγχρονίσῃς ἐν τῷ τόπῳ», καὶ τοῦ παναρέτου συγγραφέως ποτὲ μὲν λέγοντος, «Ἐν κάλλει μὲν γυναικὸς πολλοὶ ἐπλανήθησαν», ποτὲ δέ, «Μὴ καταμάνθανε κάλλος ἀλλότριον». Οὐκ εἶπε, Μὴ ἴδῃς (συμβαίνει γὰρ ἀπὸ ταὐτομάτου γίνεσθαι τοῦτο), ἀλλὰ «Μὴ καταμάνθανε», τὴν ἐκ μελέτης κατανόησιν, τὴν περίεργον ὄψιν, τὴν μετ' ἐπιθυμίας θεωρίαν ἀναιρῶν. «Φιλία», γάρ φησιν, «ἐκ τούτου ὡς πῦρ ἀνακαίεται», τοῦτ' ἔστιν, ἔρως αἰσχρὸς ἐκ τούτου τίκτεται.

Καὶ τοῖς ἔξωθεν δὲ ἀνθρώποις, μὴ πάνυ ταύτης τῆς ἀκριβείας πεφροντικόσι, τοῦτο εἰκὸς καὶ ἀληθὲς ἔδοξεν εἶναι. Καὶ Σωκράτης δὲ (λέξω γὰρ καὶ τὰ ἐκείνων), ἐπειδὴ πρὸς σωφροσύνην ἀλείφει, ἰδών τινα φιλήσαντα νέον εὔμορφον, «Οὗτος», ἔφη, «ῥᾳδίως ἂν καὶ εἰς μαχαίρας κυβιστήσειεν, καὶ εἰς πῦρ ἁλοίη, ὁ τοσαύτην δηλονότι τολμήσας ἐν ἑαυτῷ ἀνάψαι διὰ τοῦ φιλήματος τὴν πυράν». Διογένης δ' ἰδὼν μειράκιον ἀσελγέστερον ἢ κατ' ἄνδρα κεκοσμημένον, ἔφη· «Εἰ μὲν πρὸς ἄνδρας, ἀτυχεῖς, εἰ δὲ πρὸς γυναῖκας, ἀδικεῖς». Θηρῶσι γὰρ διὰ τοῦ καλλωπισμοῦ οἱ μὲν ἄνδρες τὰς γυναῖκας, αἱ δὲ γυναῖκες καὶ οἱ ἀνδρόγυνοι, τοὺς ἄνδρας. Ἀγησίλαος δὲ παῖδα εὔμορφον, οὗ ἦρα, βουλόμενον αὐτὸν φιλῆσαι, διεκώλυεν. Ἀλέξανδρος δὲ οὐδὲ ἰδεῖν τὴν Δαρείου ὑπέμεινεν, αἰσχρὸν νομίσας, τοὺς ἄνδρας ἑλόντα, γυναικὶ ἡττηθῆναι.

---

43. Παροιμ. 9, 18.
44. Σοφ. Σειρὰχ. 9, 8.

δὲν πιστεύεις σ' αὐτοὺς ποὺ φτάνουν σὲ τέτοιο σημεῖο ἀναισθησίας, ὥστε νὰ λένε, ὅτι ἡ θέα δὲν βλάπτει ἐκεῖνον ποὺ βλέπει. Ἐγὼ ὅμως ἐσένα βέβαια σὲ παραδέχομαι ποὺ φροντίζεις τὴ σωτηρία σου, ἐνῶ γιὰ ἐκείνους λέγω, ὅτι εἶναι προτιμότερη ἡ ἀσφάλεια, ἀπὸ τὴν ἀβέβαιη φιλοτιμία, καὶ τὸ νὰ θεωροῦν τὶς θεῖες ἐντολὲς προτιμότερες ἀπὸ τοὺς δικούς τους λογισμούς, καὶ λαμπρὸ εἶναι, καὶ ἀπόλυτα δίκαιο. Ἐὰν ὅμως κάποιος δὲν πιστεύει, ἂς ἀκούσει τουλάχιστο τὸν συγγραφέα τῶν Παροιμιῶν, ὁ ὁποῖος, πρὶν ἀπὸ τὴν εὐαγγελικὴ ἐντολή, ἔχει πεῖ· «Νὰ μὴ προσηλώσεις τὸ μάτι σου σ' αὐτήν, ἀλλὰ φύγε μακριά, καὶ μὴ μείνεις γιὰ πολὺ χρονικὸ διάστημα στὸν τόπο ἐκεῖνον»[43], καθὼς καὶ τὸν πανάρετο συγγραφέα, ὁ ὁποῖος ἄλλωτε λέγει, «Ἀπὸ τὴν ὀμορφιὰ τῆς γυναίκας πολλοὶ παρασύρθηκαν»[44], καὶ ἄλλοτε πάλι· «Νὰ μὴ προσέχεις τὴν ξένη ὀμορφιά»[45]. Δὲν εἶπε, Νὰ μὴ δεῖς (γιατὶ συμβαίνει αὐτὸ νὰ γίνεται αὐτόματα), ἀλλά, «Νὰ μὴ παρατηρεῖς προσεκτικά», ἀπαγορεύοντας τὴν μελετημένη παρατήρηση, τὴν περίεργη ματιά, τὴ θέα μὲ ἐπιθυμία. Γιατὶ λέγει, «Ἡ φιλία ἀπὸ αὐτὸ ἀνάβει σὰν φωτιά»[46], δηλαδὴ ἀπὸ αὐτὸ γεννιέται ἔρωτας αἰσχρός.

Ἀλλὰ καὶ στοὺς μὴ Χριστιανούς, οἱ ὁποῖοι δὲν ἐνδιαφέρθηκαν πολὺ γι' αὐτὴ τὴ λεπτομέρεια, αὐτὸ θεωρήθηκε ὅτι εἶναι καὶ εὔλογο καὶ ἀληθινό, ἀλλὰ καὶ ὁ Σωκράτης, γιατὶ θὰ πῶ καὶ τὰ δικά τους, ἐπειδὴ τοὺς ἀσκεῖ πρὸς τὴ σωφροσύνη, ὅταν εἶδε κάποιον ποὺ φίλησε ὄμορφον νέο, εἶπε· «Αὐτὸς εὔκολα καὶ πάνω σὲ μαχαίρια θὰ μποροῦσε νὰ κάνει τοῦμπες, καὶ σὲ φωτιὰ νὰ πέσει, αὐτὸς δηλαδὴ ποὺ τόλμησε νὰ ἀνάψει μέσα του τὴ φωτιὰ μὲ τὸ φίλημα». Καὶ ὁ Διογένης, ὅταν εἶδε ἀνήλικον νέο νὰ εἶναι στολισμένος μὲ περισσότερη ἀσέλγεια ἀπὸ ὅ,τι ταίριαζε σὲ ἄνδρα, εἶπε· «Ἐὰν βέβαια ἀποβλέπεις σὲ ἄνδρες, ἀτυχεῖς, ἂν πάλι σὲ γυναῖκες, τὶς ἀδικεῖς». Γιατὶ μὲ τὸν καλλωπισμό τους δελεάζουν οἱ ἄνδρες τὶς γυναῖκες, ἐνῶ οἱ γυναῖκες καὶ οἱ θηλυπρεπεῖς τοὺς ἄνδρες. Καὶ ὁ Ἀγησίλαος, ἕνας ὄμορφος νέος, μὲ τὸν ὁποῖο ἦταν ἐρωτευμένος, θέλοντας νὰ τὸν φιλήσει, τὸν ἐμπόδιζε. Ὁ Ἀλέξανδρος πάλι δὲν ἀνεχόταν οὔτε νὰ δεῖ τὴ γυναίκα τοῦ Δαρείου, γιατὶ πίστευε ὅτι εἶναι αἰσχρό, αὐτὸς ποὺ νίκησε τοὺς ἄνδρες, νὰ νικηθεῖ ἀπὸ γυναίκα.

---

45. Σοφ. Σειρὰχ 9, 8. 46. Ὅπ. π.

Εἰ δὲ μὴ μόνον ἑλληνικοῖς, ἀλλὰ καὶ βαρβαρικοῖς χρὴ παραδείγμασι χρήσασθαι, οὐδὲ τοῦτο ποιῆσαι παραιτήσομαι. Κῦρος γοῦν, ὁ Περσῶν βασιλεύς, οὐδὲ ἰδεῖν τὴν Πανθέαν, ἀφορισθεῖσαν αὐτῷ καὶ ἀμήχανόν τι κάλλος ἔχειν μαρτυρουμένην, ἐτόλμησεν, ἀλλὰ τῷ ὁρῶντι συνεχῶς καὶ μηδὲν λέγοντι πάσχειν δεινόν, παρῆνει μὴ συνεχῶς εἰς αὐτὴν ὁρᾶν. "Τὸ μὲν γὰρ πῦρ», φησί, "τοὺς ἐγγὺς ὄντας κατακαίει, τὸ δὲ κάλλος καὶ τοὺς πόρρω ἑστῶτας". Καὶ οὐκ ἐψεύσατο. Ἑάλω γὰρ ἐκεῖνος, ὁ κρείττων εἶναι, φήσας, τῆς ἡδονῆς. Καὶ ἐπειδὴ πείθειν οὐκ ἠδύνατο (σώφρων γὰρ ἦν ἐκείνη), βίαν αὐτῇ ἐπάξειν ἠπείλησεν, ἕως ἐκείνη τῷ Κύρῳ ἐμήνυσεν. "Οστις συγγνούς, ὅτι ἀμάχῳ θηρίῳ συγκαθειργμένος ἔπαθεν ὅπερ ἔπαθεν, ἐδήλωσε τῷ μηδὲν ἐκ τῆς θέας βλάπτεσθαι ἀλαζονευομένῳ· "Εἰ μὲν πείθεις τὴν γυναῖκα, καὶ δή· εἰ δὲ διάζῃ, οὐ συγχωρῶ".

Εἰ τοίνυν καὶ ὁ εὐαγγελικὸς χρησμὸς καὶ ὁ τῶν Παροιμιῶν συγγραφεύς, ὁ τὴν Σοφίαν συντάξας καὶ τὰ Ἑλληνικὰ καὶ Περσικὰ παραδείγματα εἰς τοῦτο συμβαίνουσι, φυλακτέον παντὶ σθένει καὶ χαλινωτέον τοὺς ὀφθαλμοὺς καὶ ἐφεκτέον τῆς περιέργου καὶ ἀκολάστου θέας, ὡς τῶν καιρίων καθαπτομένης. Μεγίστη γὰρ ἐκ ταύτης εἰς τὴν ψυχὴν εἰσρεῖ κακία. Τὰ γὰρ καίρια αὐτῆς προκατασχοῦσα καὶ τὸν λογισμὸν ἐξελάσασα, ὅλην αὐτὴν τοῦ πάθους εἶναι ποιεῖ.

ΞΖ'.– ΖΩΣΙΜΩ ΠΡΕΣΒΥΤΕΡΩ
Προτροπὴ πρὸς μετάνοιαν.

Πυθόμενος ὅτι δέον σε προσδραμεῖν τῇ μετανοίᾳ, δέον αἰτῆσαι συγγνώμην ἐπὶ τοῖς πλημμεληθεῖσι, ἐπαγωνίζῃ τοῖς προτέροις, ἐπαποδύῃ τοῖς μιάσμασιν, ἀεὶ τὰ πρότερα τοῖς δευτέροις ἀποκρύψαι φιλοτιμούμενος. Εἶτα δακρύσας ἔφην πρὸς ἐμαυτόν· Ὦ Ἰσίδωρε, τί μάτην κάμνεις, κατὰ πετρῶν σπείρων; Τί ὠφελῆσαι σπεύδεις, τὸν ὠφεληθῆναι μὴ βουλόμενον; Τί

"Αν μάλιστα πρέπει νὰ μὴ χρησιμοποιήσω μόνο ἑλληνικὰ παραδείγματα, ἀλλὰ καὶ βαρβαρικά, οὔτε αὐτὸ θὰ παραλείψω νὰ τὸ κάνω. Ὁ Κῦρος λοιπόν, ὁ βασιλιὰς τῶν Περσῶν, δὲν τόλμησε οὔτε νὰ δεῖ τὴν Πανθέα, ἡ ὁποία εἶχε ξεχωριστεῖ γι' αὐτόν, καὶ εἶχε ὁμολογουμένως ἀκαταμάχητη ὀμορφιά. Ἀλλὰ καὶ σ' ἐκεῖνον ποὺ τὴν ἔβλεπε συνεχῶς καὶ ἔλεγε ὅτι δὲν ὑποφέρει κάτι φοβερό, συμβούλευε νὰ μὴ βλέπει συνεχῶς σ' αὐτήν. Γιατὶ λέγει· "Ἡ φωτιὰ καίει αὐτοὺς ποὺ εἶναι κοντά, ἐνῶ ἡ ὀμορφιὰ καὶ ἐκείνους ποὺ στέκονται μακριά". Καὶ δὲν διαψεύσθηκε. Γιατὶ αἰχμαλωτίσθηκε ἐκεῖνος ποὺ ἔλεγε ὅτι εἶναι ἀνώτερος ἀπὸ τὴν ἡδονή. Καὶ ἐπειδὴ δὲν μποροῦσε νὰ τὴν πείσει (γιατὶ ἐκείνη ἦταν λογική), τὴν ἀπείλησε ὅτι θὰ τὴν βιάσει, μέχρι ποὺ ἐκείνη τὸ φανέρωσε στὸν Κῦρο. Ἐκεῖνος ἀναγνωρίζοντας ὅτι, ἐπειδὴ ἦταν φυλακισμένος μὲ ἀκαταμάχητο θηρίο, ἔπαθε αὐτὸ ποὺ ἔπαθε, δήλωσε σὲ ἐκεῖνον ποὺ ὑπερηφανευόταν ὅτι δὲν βλάπτεται καθόλου ἀπὸ τὴ θέα· "Ἐὰν βέβαια πείθεις τὴ γυναίκα, καὶ βέβαια συμφωνῶ, ἂν ὅμως τὴν πιέζεις, δὲν σὲ συγχωρῶ".

Ἐφόσον λοιπὸν καὶ ἡ εὐαγγελικὴ ἐντολή, καὶ ὁ συγγραφέας τῶν Παροιμιῶν, ποὺ συνέταξε τὴ Σοφία Σειράχ, καὶ τὰ ἑλληνικὰ καὶ Περσικὰ παραδείγματα συμβαδίζουν μ' αὐτό, πρέπει νὰ φυλάγεσαι μὲ κάθε δύναμη, καὶ νὰ χαλιναγωγεῖς τὰ μάτια, καὶ νὰ συγκρατεῖς τὴν περίεργη καὶ ἀκόλαστη θέα, γιατὶ προσβάλλει τὰ πιὸ εὐαίσθητα σημεῖα τοῦ σώματος. Γιατὶ ἀπὸ αὐτὴν εἰσρέει πολὺ μεγάλη κακία στὴν ψυχή, καὶ ἀφοῦ κυριέψει πρῶτα τὰ εὐαίσθητα σημεῖα της καὶ διώξει τὸν λογισμό, τὴν κάνει νὰ εἶναι παραδομένη ὁλόκληρη στὸ πάθος.

67.- ΣΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟ ΖΩΣΙΜΟ
Προτρεπτικὴ γιὰ μετάνοια.

Μαθαίνοντας ὅτι, ἐνῶ πρέπει νὰ προστρέξεις στὴ μετάνοια, ἐνῶ πρέπει νὰ ζητήσεις συγχώρεση γιὰ τὰ παραπτώματα ποὺ ἔκανες, σὺ ἀντίθετα ἀνταγωνίζεσαι τὰ προηγούμενα, ἐπιδίδεσαι στὰ μάσματα, ἐπιδιώκοντας μὲ φιλοδοξία νὰ ἐπισκιάσεις τὰ προηγούμενα μὲ τὰ δεύτερα, ἀφοῦ δάκρυσα, εἶπα στὸν ἑαυτό μου· Ἰσίδωρε, γιατί κοπιάζεις ἄδικα, σπέρνοντας σὲ πετρῶδες ἔδαφος; Γιατί ἐπιδιώκεις νὰ ὠφε-

πονεῖς καὶ ἀγρυπνεῖς τοῦ, δι' ὃν ἡ ἀγρυπνία γίνεται, τῷ μὴ ποιεῖν τὰ γραφόμενα, ματαίαν αὐτὴν ἀποφαίνοντος; Παῦσαι ματαιοπονῶν, καὶ Αἰθίοπα σμήχων, καὶ εἰς πῦρ ξαίνων, καὶ λίθον ἐψῶν. Ὡς δὲ κόρον ἔλαβον ἐμαυτὸν αἰτιώμενος, χρηστὴ πάλιν ἐλπὶς ἔφυ, ἥ τις καὶ ἄκοντα ἐξεβιάσατο καὶ ταῦτα πάλιν χαράξαι τὰ γράμματα. Αὐτὸς τοιγαροῦν σκοπήσας οἷ τῶν κακῶν ἐχώρησας, εἰς μετάνοιαν παλινδρομῆσαι προθυμήθητι.

ΞΗ'.– ΘΕΟΓΝΩΣΤΩ ΠΡΕΣΒΥΤΕΡΩ.
Περὶ ὑψηλοφροσύνης.

Λίαν θαυμάζω, πῶς οἱ μὴ ἐπισφίγγοντες τὸ χαῦνον καὶ τὸ ἐπὶ προεδρίας ἠξιῶσθαι παρὰ τοὺς πολλοὺς οἴημα, μεῖζον τοῦ δικαίου φρονοῦσι. Καὶ οὐδ' αὐτὸ λοιπὸν παραχωρῆσαι ἀξιοῦσι, τῷ ἡττηθῆναι τῷ δικαίῳ ὕβριν ἡγούμενοι.

ΞΘ'.– ΝΕΙΛΩ
Περὶ ταπεινοφροσύνης καὶ ἀλαζονείας.

Ἐπεὶ μέγα τῆς ταπεινοφροσύνης τὸ ὕψος καὶ τῆς ἀλαζονείας τὸ πτῶμα, συμβουλεύω σοι ἐκεῖνο μὲν ἀσπάσασθαι, τούτῳ δὲ μὴ περιπεσεῖν.

Ο'.– ΩΦΕΛΕΙΩ ΓΡΑΜΜΑΤΚΩ
Περὶ τῶν παρανομιῶν τοῦ Ζωσίμου.

Οὐκ ἠιόνες μόναι, ὡς Ὅμηρος μὲν ἔφη, σὺ δὲ γέγραφας, βοῶσιν ἐρευγομένης ἁλὸς ἄχνην, ἀλλὰ γῆ τε καὶ θάλαττα τὰς παρὰ Ζωσίμου καινουργηθείσας παρανομίας ἐκτραγῳδεῖ. Τοσοῦτον γάρ, ὥς φασιν, εἰς ἀναλγησίαν ἦρθη, ὡς μὲν τοὺς θείους χρησμοὺς ἀγυρτικὰς λογοποιίας νομίζειν, τοὺς δὲ τῶν δεόντων παραινέτας ληρεῖν ὑπολαμβάνειν, καὶ κατὰ πάσης ὁμοῦ ἡλικίας τε καὶ ἀξίας ἐπικωμάζειν. Τίς οὖν οὐ δακρύσει; Τίς οὐ καταθρηνήσει, οὐ μόνον αὐτόν, ἀλλὰ καὶ τὸν τούτῳ τὴν εὐαγῆ

λήσεις αὐτὸν ποὺ δὲν θέλει νὰ ὠφεληθεῖ; Γιατί κοπιάζεις καὶ ἀγρυπνεῖς, ἀφοῦ ἐκεῖνος γιὰ τὸν ὁποῖο γίνεται ἡ ἀγρυπνία τὴν κάμνει ἀνώφελη, μὲ τὸ νὰ μὴ ἐφαρμόζει αὐτὰ ποὺ γράφονται; Πάψε νὰ ματαιοπονεῖς καὶ νὰ σαπουνίζεις Αἰθίοπα καὶ νὰ λαναρίζεις φωτιὰ καὶ νὰ ψήνεις πέτρα. Καὶ ἀφοῦ χόρτασα νὰ κατηγορῶ τὸν ἑαυτό μου, φύτρωσε πάλι ἀγαθὴ ἐλπίδα, ἡ ὁποία καὶ χωρὶς νὰ θέλω μὲ ἀνάγκασε νὰ χαράξω καὶ πάλι αὐτὰ τὰ γράματα. Σὺ λοιπὸν ἀφοῦ ἐξετάσεις σὲ ποιὸ σημεῖο τῶν κακῶν ἔφτασες, δεῖξε προθυμία νὰ ξαναγυρίσεις στὴ μετάνοια.

68.- ΣΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟ ΘΕΟΓΝΩΣΤΟ
Γιὰ τὴν ὑψηλοφροσύνη.

Ἀπορῶ πολύ, πῶς, αὐτοὶ ποὺ δὲν εἶναι προσδεμένοι μὲ τὴ χαυνότητα καὶ τὴν ἀλαζονεία γιὰ τὸ ὅτι τιμήθηκαν ἀπὸ τοὺς πολλοὺς στὸ ἀξίωμα τῆς προεδρίας, ἔχουν φρόνημα ἀνώτερο ἀπὸ τὸ δίκαιο, καὶ δὲν δέχονται οὔτε αὐτὴ τὴν παραχώρηση νὰ κάνουν, νὰ θεωροῦν προσβολὴ τὸ νὰ νικηθοῦν ἀπὸ τὸ δίκαιο.

69.- ΣΤΟΝ ΝΕΙΛΟ
Γιὰ τὴν ταπεινοφροσύνη καὶ τὴν ἀλαζονεία.

Ἐπειδὴ τὸ ὕψος τῆς ταπεινοφροσύνης εἶναι μεγάλο καθὼς καὶ ἡ πτώση τῆς ἀλαζονείας, σὲ συμβουλεύω, ἐκεῖνο βέβαια νὰ τὸ ἀσπασθεῖς, σ' αὐτὸ ὅμως νὰ μὴ πέσεις.

70.- ΣΤΟΝ ΓΡΑΜΜΑΤΙΚΟ ΩΦΕΛΙΟ
Γιὰ τὶς παρανομίες τοῦ Ζωσίμου.

Ὄχι μόνο οἱ ἀκτές, ὅπως εἶπε ὁ Ὅμηρος, καὶ ἔγραψες καὶ σύ, βογγοῦν βγάζοντας ἀπὸ τὸ στόμα τους τὸν ἀφρὸ τῆς θάλασσας, ἀλλὰ καὶ ἡ γῆ καὶ ἡ θάλασσα διεκτραγωδοῦν τὶς καινούργιες παρανομίες τοῦ Ζωσίμου. Γιατὶ σὲ τόσο μεγάλο, ὅπως λένε, ὕψος ἀναγλησίας ἔφτασε, ὥστε τὶς θεϊκὲς ἐντολὲς νὰ τὶς θεωρεῖ ἀγυρτικὰ λογοπαίγνια, καὶ αὐτοὺς ποὺ συμβουλεύουν αὐτὰ ποὺ πρέπει, νὰ τοὺς θεωρεῖ ὅτι λένε ἀνοησίες, καὶ νὰ διακωμωδεῖ μὲ εὐθυμία κάθε ἡλικία καὶ ἀξίωμα. Ποιὸς λοιπὸν δὲν θὰ δακρύσει, ποιὸς δὲν θὰ θρηνήσει, ὄχι μόνο

ἱερωσύνην ἐμπιστεῦσαι τολμήσαντα; Δεινὸν μὲν γὰρ τὸ καὶ ἐν τοῖς ἀγελαίοις καὶ ἀφανέσι τελοῦντά τινα τοσούτοις καταμολυνθῆναι κακοῖς, τὸ δὲ καὶ εἰς ἱερωσύνην εἰσβιασάμενον, πάντῃ δεινότατον. Ἴσμεν οὖν ταῦτα, καὶ συνεχῶς ἀκούοντες ὀλοφυρόμεθα, καὶ παραινοῦντες οὐκ ἐπαυσάμεθα, ἀλλ' οὐδὲ παυσόμεθα ἕως ἂν ἐμπνέωμεν. Μὴ γὰρ δὴ ὡς ἀνηκόους διδάσκειν πειρῶ τὰ μήτε λήθῃ μήτε σιγῇ παραδοθῆναι δυνάμενα. Τινὲς μὲν γὰρ ὡς ἠμιθνῆτα τυγχάνοντα, ἀνακαλοῦνται, τινὲς δ' ὡς νεκρὸν καταθρηνοῦσιν. Ἀλλ' οὔτε ἐκεῖνοι, οὔτε οὗτοι ἀνύουσιν, ἀλλὰ γέλωτα παρ' αὐτῷ ὀφλισκάνουσιν.

ΟΑ΄.– ΝΕΙΛΑΜΜΩΝΙ, ΔΙΑΚΟΝΩ ΙΑΤΡΩ

Περὶ μετανοίας.

Ὅτι μὲν φιλάνθρωπός ἐστιν ὁ Θεός, μάλ' ἀκριβῶς οἶδα, ὅτι δὲ καὶ ἀπαιτεῖ δίκας σφοδροτάτας τοὺς τῆς φιλανθρωπίας καταφρονήσαντας, καὶ αἱ ἱεραὶ χρησμῳδοῦσι Γραφαί, καὶ τὰ πράγματα μαρτυρεῖ. Τίς γὰρ τὸν κατακλυσμὸν ἐπήγαγε; Τίς τὴν Σοδομιτῶν μετὰ τῶν οἰκητόρων ἐνέπρησε γῆν; Τίς τὴν Ἱερουσαλὴμ μετῆλθε; Τίς τοὺς Ἰουδαίους ᾐχμαλώτευσε καὶ πανταχοῦ γῆς ὡς δραπέτας καὶ μαστιγίας περιήγαγε; Μὴ τοίνυν τῇ φιλανθρωπίᾳ μόνῃ θαρροῦντες ἁμαρτάνωμεν, ἀλλὰ καὶ τὴν δικαιοσύνην ἐννοοῦντες, γνωσιμαχῶμεν. Ἡ γὰρ τῆς προαιρέσεως μετάνοια εὔλογον παρασκευάζει τῷ κριτῇ τῆς φιλανθρωπίας τὴν ὁδόν.

ΟΒ΄.– ΗΡΑΚΛΕΙΩ ΕΠΙΣΚΟΠΩ

Περὶ ἀρχόντων.

Οἱ ἐκόντων ἄρχοντες, οὗτοί μοι δοκοῦσιν ὄντως ἄρχειν, καὶ μάλιστα ὅταν περίοπτοι ὦσι δι' ἀρετὴν οἱ ἀρχόμενοι, δι' οὓς καὶ

47. Γεν. 7, 1 ἑ.

αὐτόν, ἀλλὰ καὶ ἐκεῖνον ποὺ τόλμησε νὰ τοῦ ἐμπιστευθεῖ τὴ λαμπρὴ ἱερωσύνη; Γιατὶ βέβαια εἶναι μεγάλο κακὸ ἀκόμα καὶ κάποιος ἀπὸ τοὺς κοινοὺς καὶ ἀφανεῖς νὰ μολυνθοῦν μὲ τόσο μεγάλα κακά, τὸ νὰ μπεῖ ὅμως μὲ τὴ βία στὴν ἱερωσύνη, εἶναι στὸ ἔπακρο φοβερώτατο. Τὰ γνωρίζουμε λοιπὸν αὐτά, καὶ ἀκούοντάς τα συνεχῶς θρηνοῦμε, καὶ δὲν πάψαμε νὰ τὸν συμβουλεύουμε, ἄλλα οὔτε καὶ θὰ πάψουμε ὅσο ἀναπνέουμε. Μὴ προσπαθεῖς λοιπὸν νὰ διδάξεις σὰν σὲ ἀνθρώπους ποὺ δὲν τὰ ἀκούσανε, αὐτὰ ποὺ οὔτε νὰ λησμονηθοῦν, οὔτε νὰ σιωπηθοῦν μποροῦν. Μερκοὶ βέβαια προσπαθοῦν, σὰν μισοπεθαμένον, νὰ τὸν ἐπαναφέρουν στὴ ζωή, ἐνῶ ἄλλοι τὸν θρηνοῦν ὡς νεκρόν. Ὅμως οὔτε ἐκεῖνοι οὔτε αὐτοὶ κατορθώνουν τίποτε, ἀλλὰ καὶ ἀποκομίζουν γέλωτα ἀπὸ αὐτόν.

71.– ΣΤΟΝ ΔΙΑΚΟΝΟ ΚΑΙ ΓΙΑΤΡΟ ΝΕΙΛΑΜΜΟΝΑ
Γιὰ τὴ μετάνοια.

Ὅτι βέβαια ὁ Θεὸς εἶναι φιλάνθρωπος, τὸ γνωρίζω πολὺ καλά, καὶ ὅτι τιμωρεῖ αὐστηρότατα ἐκείνους ποὺ περιφρονοῦν τὴ φιλανθρωπία, καὶ οἱ ἅγιες Γραφὲς τὸ διακηρύττουν, καὶ τὰ ἴδια τὰ πράγματα τὸ βεβαιώνουν. Πράγματι, ποιὸς προκάλεσε τὸν κατακλυσμό[47]; Ποιὸς ἔκαψε τὴ χώρα τῶν Σοδομιτῶν μαζὶ μὲ τοὺς κατοίκους της[48]; Ποιὸς τιμώρησε τὴν Ἱερουσαλήμ; Ποιὸς αἰχμαλώτισε τοὺς Ἰουδαίους καὶ τοὺς περιέφερε παντοῦ στὴ γῆ, σὰν δραπέτες καὶ ἄξιους μαστιγώσεως; Ἂς μὴ ἁμαρτάνουμε λοιπόν, ἔχοντας ἐμπιστοσύνη μόνο στὴ φιλανθρωπία τοῦ Θεοῦ, ἀλλὰ σκεπτόμενοι καὶ τὴ δικαιοσύνη του, ἂς καταφεύγομε στὴ μετάνοια, ὥστε καὶ ἐκεῖ νὰ φανεῖ σὲ μᾶς φιλάνθρωπος, γιατὶ ἡ προτίμηση τῆς μετάνοιας προετοιμάζει δικαιολογημένο στὸν κριτὴ τὸν δρόμο τῆς φιλανθρωπίας.

72.– ΣΤΟΝ ΕΠΙΣΚΟΠΟ ΗΡΑΚΛΕΙΟ
Γιὰ τοὺς ἄρχοντες.

Οἱ ἄρχοντες ἐκείνων ποὺ θέλουν νὰ τοὺς ἄρχουν, αὐτοί, νομίζω, ὅτι κυβερνοῦν πραγματικά, καὶ μάλιστα ὅταν εἶναι περίοπτοι γιὰ τὴν ἀρετή τους οἱ ἀρχόμενοι, γιὰ τοὺς ὁποίους καὶ τὸ νὰ ἄρχουν εἶναι

48. Γεν. 19, 24-26.

τὸ ἄρχειν ἐστὶ περιμάχητον. Οἱ δ' ἀκόντων ἄρχειν νομίζοντες, οὗτοί μοι δοκοῦσι παραπλήσιοι εἶναι τῶν τιμωρίαν διδόντων μᾶλλον, ἢ ἀρχὴν διεπόντων.

ΟΓ'.– ΠΑΛΛΑΔΙΩ

Ὅτι ἡ πίστις χωρὶς τῶν ἔργων οὐ σώζει τὸν ἄνθρωπον.

Κινδυνεύεις, ὦ τί σε καλέσας ἀξίως προσονομάσω, ἀγνοεῖν τὰ καὶ τοῖς ἄγαν παισὶ πρόδηλα. Μὴ γὰρ δὴ νόμιζε, ὅτι ἡ πίστις (εἴ γε πίστιν χρὴ καλεῖν τὴν ὑπὸ τῶν ἔργων τῶν σῶν ἐλεγχομένην) σῶσαί σε δυνήσεται. Ἡ γὰρ πίστις, ἡ ἐξ ἀρχῆς δικαιώσασα, πράξεις ἁρμοδίας ἑαυτῇ ἀπαιτεῖ, ὧν ἄνευ σωθῆναι οὐχ οἷόν τε. Τὸν γὰρ κατὰ χάριν προσληφθέντα, δίκαιον καὶ οἰκείοις ἐναβρύνεσθαι πλεονεκτήμασιν, εἴ γε μὴ μέλλοι καὶ ἀχαριστίας ἁλώσεσθαι.

ΟΔ'.– ΘΕΟΔΟΣΙΩ ΕΠΙΣΚΟΠΩ

Περὶ ἀρχῆς, καὶ ὅτι ὁ τῆς ἀρχῆς ὅρος ἅπαντα πρὸς τὸ συμφέρον τῶν ὑπηκόων πραγματεύεται.

Ὁ τῆς ἀρχῆς ὅρος, ὦ ἀρχικῆς ἐπιστήμης ἀκριβέστατον βασανιστήριον, ἐκεῖνός ἐστιν, ὁ πρὸς τὸ συμφέρον τῶν ὑπηκόων ἅπαντα πραγματευόμενος. Ὁ γὰρ τὴν τῆς ἀρχῆς εὐκοσμίαν εἰς τυραννίδα καὶ ἀκοσμίαν μετασχηματίσας, καὶ τοὺς μὲν πόνους τοῖς ἀρχομένοις προξενῶν, τὰς δ' ἡδονὰς ἑαυτῷ θηρώμενος, οὗτος οὐ τὸν τῆς ἀρχῆς ὅρον, ἀλλὰ τὸν τῆς τυραννίδος διὰ τῶν πραγμάτων ὑπογράφει.

ΟΕ'.– ΤΩ ΑΥΤΩ

Εἰς τό, «Παραστήσατε τὰ σώματα ὑμῶν θυσίαν ζῶσαν, εὐάρεστον τῷ Θεῷ».

Ἐκείνους, ὦ θαυμάσιε, ὁ θεσπέσιος Παῦλος ὁρίζεται ἱερέας, τοὺς μὴ θύμασι τὴν εὐσέβειαν, ἀλλὰ γυμνῇ πληροῦντας τῇ φύσει καὶ μόνους καθαρῶς ἐκ τῶν σωμάτων οἴκοθεν σπένδοντας. Θῦμα γὰρ κάλλιστον, τὸ τὴν γνώμην ἔχειν εὐαγῆ καὶ τὴν

περιζήτητο. Ἐνῶ ἐκεῖνοι ποὺ νομίζουν ὅτι κυβερνοῦν ἀνθρώπους ποὺ δὲν τοὺς θέλουν, αὐτοὶ μοῦ φαίνεται ὅτι εἶναι ὅμοιοι μὲ αὐτοὺς ποὺ τιμωροῦν μᾶλλον, παρὰ κυβερνοῦν.

73.- ΣΤΟΝ ΠΑΛΛΑΔΙΟ

Ὅτι ἡ πίστη, χωρὶς τὰ ἔργα, δὲν σώζει τὸν ἄνθρωπο.

Κινδυνεύεις (πῶς ἀλήθεια νὰ σὲ προσφωνήσω, γιὰ νὰ σὲ ὀνομάσω ὅπως σοῦ ἀξίζει), νὰ ἀγνοεῖς, αὐτὰ ποὺ εἶναι ὁλοφάνερα ἀκόμα καὶ στὰ μικρὰ παιδιά. Νὰ μὴ νομίζεις λοιπόν, ὅτι ἡ πίστη (ἐὰν βέβαια πρέπει νὰ ὀνομάσω πίστη αὐτὴν ποὺ κατηγορεῖται ἀπὸ τὰ ἴδια τὰ ἔργα σου) θὰ μπορέσει νὰ σὲ σώσει. Γιατὶ ἡ πίστη, ποὺ ἀπὸ τὴν ἀρχὴ σὲ δικαίωσε, ἀπαιτεῖ πράξεις κατάλληλες πρὸς αὐτήν, χωρὶς τὶς ὁποῖες δὲν εἶναι δυνατὸν νὰ σωθεῖς. Γιατὶ αὐτὸς ποὺ ἔγινε ἀποδεκτὸς κατὰ χάρη, εἶναι σωστὸ νὰ διακρίνεται καὶ γιὰ τὶς ἀρετές του, γιὰ νὰ μὴ κυριευθεῖ στὸ μέλλον καὶ ἀπὸ τὴν ἀχαριστία.

74.- ΣΤΟΝ ΕΠΙΣΚΟΠΟ ΘΕΟΔΟΣΙΟ

Γιὰ τὴν ἐξουσία, καὶ ὅτι ὁ κανόνας τῆς ἐξουσίας εἶναι, ὅλα νὰ γίνονται πρὸς τὸ συμφέρον τῶν ὑπηκόων.

Ὁ ὅρος τῆς ἐξουσίας, ἀκριβέστατο ἐξεταστήριο τῆς ἐξουσιαστικῆς ἐπιστήμης, εἶναι ἐκεῖνος, ποὺ κάνει τὰ πάντα πρὸς τὸ συμφέρον τῶν ὑπηκόων του. Γιατὶ αὐτὸς ποὺ τὴν εὐκοσμία τῆς ἐξουσίας τὴν μετατρέπει σὲ τυραννία καὶ ἀκαταστασία, καὶ τοὺς κόπους τοὺς φορτώνει στοὺς πιστούς, ἐνῶ τὶς ἀπολαύσεις τίς κρατᾶ γιὰ τὸν ἑαυτό του, αὐτὸς δὲν τηρεῖ τὸν ὅρο τῆς ἐξουσίας, ἀλλὰ τῆς τυραννίας.

75.- ΣΤΟΝ ΙΔΙΟ

Στὴ ρήση· «Προσφέρατε τὰ σώματά σας θυσία ζωντανὴ καὶ εὐάρεστη στὸν Θεό»[49].

Ὁ θεόπνευστος Παῦλος, θαυμάσιε, ἀναγνωρίζει ἱερεῖς ἐκείνους ποὺ δὲν ἐκδηλώνουν τὴν εὐσέβειά τους μὲ προσφερόμενα σφάγια, ἀλλὰ προσφέρουν μὲ ἁπλῆ τὴ φύση καὶ μόνοι τους αὐτοπροαίρετα θυσία καθαρὴ τὰ σώματά τους. Γιατὶ ἄριστη προσφορὰ εἶναι τὸ νὰ

49. Ρωμ. 12, 1.

σάρκα ἁγνήν. Διὸ καὶ τοῦτ' ἔφη, ὅπερ μαθεῖν ἠθέλησας· «Παραστήσατε τὰ σώματα ὑμῶν θυσίαν ζῶσαν, εὐάρεστον τῷ Θεῷ, τὴν λογικὴν λατρείαν ὑμῶν». Οὐ γὰρ τοῖς ἱερεῦσι μόνον γράφων, ὡς ἦγῃ, ἐπέστειλε ταῦτα, ἀλλὰ ὁλοκλήρῳ τῇ Ἐκκλησίᾳ. Ἕκαστον γὰρ ἑαυτοῦ ἐν τούτῳ τῷ μέρει ἱερέα εἶναι προσέταξεν. Εἰ δὲ τοὺς ὑπηκόους ἡ ἁγνεία ἱερέας χειροτονεῖ, ἡ λαγνεία δηλονότι τοὺς ἱερέας ἀποχειροτονεῖ. Καὶ τοῦτο μὲν οἱ θεσμοὶ διαγορεύουσι, γίνεται δὲ τοῦτο οὐ πάνυ, δι' ἃς αἰτίας οὐκ ἐμὸν λέγειν. Οἱ δὲ τὴν θείαν ἱερωσύνην ἐστεμμένοι καὶ τῆς προεδρίας ἀξίως τετυχηκότες, εἰ καὶ τὴν τοῦ σώματος ἁγνείαν φυλάξοιεν, ὄντως ἱερῶν εἰσιν ἱερώτεροι. Ὥσπερ γὰρ ἐπὶ τῆς Παλαιᾶς Διαθήκης ἱερᾶσθαι οὐκ ἐξῆν, εἰ μὴ τοῖς ἱερεῦσι μόνοις, ἐν δὲ τῷ καιρῷ τοῦ Πάσχα πάντες τρόπον τινὰ ἱερωσύνην ἐτιμῶντο (ἕκαστος γὰρ τὸ πρόβατον ἔθυεν), οὕτω καὶ ἐπὶ τῆς Καινῆς καὶ ἀδιαδόχου, ἔχουσι μὲν κατ' ἐξαίρεσιν τὴν ἱερουργίαν τῆς ἀναιμάκτου θυσίας, οἷς ἔξεστι ταύτην προσενεγκεῖν, ἕκαστος δὲ οἰκείου σώματος ἱερεὺς κεχειροτόνηται, οὐχ ἵνα ἀχειροτόνητος ἐπιπηδοίη τῇ τῶν ὑπηκόων ἀρχῇ, ἀλλ' ἵνα, τῆς κακίας ἄρξας, τὸ σῶμα τέμενος ἢ ἱερὸν τῆς ἁγνείας κατασκευάσῃ.

ΟΣ'.- ΑΡΧΟΝΤΙΩ ΠΟΛΙΤΕΥΟΜΕΝΩ

Τίνος χάριν βιβλίον ἀποστασίου δίδοσθαι ταῖς μισουμέναις γυναιξὶ παρὰ τῶν ἀνδρῶν ὁ νομοθέτης ἐπέτρεψεν.

Ἔοικας τοῦ νομοθέτου Μωσέως μήτε τὴν σοφίαν, ἣν ἔλαβε παρὰ τοῦ Θεοῦ, κεχωρηκέναι, μήτε τὴν διάνοιαν τεθηρευκέναι, ἀλλὰ τοσοῦτον αὐτοῦ ἀπολεῖφθαι τῆς μεγαλονοίας, ὅσον καὶ τῆς πολιτείας. Οὐ γάρ, ὡς δέον, τὰς μὴ εἰς τὸν τῶν γάμων θεσμὸν παρανομοῦσας ἐκβάλλειν, ἀλλὰ μεῖζον καὶ ἀργαλεώτερον βουλόμενος ἀναστεῖλαι κακόν, τὸ ἔλαττον οὐκ ἐθέσπισεν, ἀλλ'

50. Ρωμ. 12, 1.

ἔχουμε τὴ διάθεση καθαρὴ καὶ τὴ σάρκα ἁγνή. Γι' αὐτὸ καὶ εἶπε αὐτὸ ποὺ θέλησες νὰ μάθεις· «Νὰ προσφέρετε τὰ σώματά σας θυσία ζωντανή, εὐάρεστη στὸν Θεό, τὴ λογικὴ λατρεία σας»[50]. Γιατὶ δὲν τὰ ἔστειλε αὐτὰ γράφοντάς τα μόνο στοὺς ἱερεῖς, ὅπως νομίζεις, ἀλλὰ σ' ὁλόκληρη τὴν Ἐκκλησία. Γιατὶ διέταξε τὸν καθένα, ὡς πρὸς αὐτὸ τὸ μέρος, νὰ εἶναι ἱερέας τοῦ ἑαυτοῦ του. Ἐφόσον ὅμως ἡ ἁγνότητα χειροτονεῖ τοὺς ὑπηκόους ἱερεῖς, εἶναι φανερὸ ὅτι ἡ ἀσυγκράτητη σαρκολατρεία καθαιρεῖ τοὺς ἱερεῖς. Καὶ αὐτὸ βέβαια τὸ ὑπαγορεύουν οἱ θεσμοί, ὅμως δὲν γίνεται πολὺ συχνά, ἀλλὰ γιὰ ποιοὺς λόγους συμβαίνει αὐτό, δὲν εἶναι δικό μου ἔργο νὰ τὸ πῶ. Αὐτοὶ ποὺ εἶναι στεφανωμένοι μὲ τὴ θεία ἱερωσύνη καὶ ἀπέκτησαν μὲ τὴν ἀξία τους τὴν πρωτοκαθεδρία, ἐὰν φυλάξουν καὶ τὴν ἁγνότητα τοῦ σώματός τους, εἶναι πραγματικὰ ἱερώτεροι ἀπὸ τοὺς ἱερούς. Ὅπως δηλαδὴ στὴν Παλαιὰ Διαθήκη δὲν ἐπιτρεπόταν νὰ ἱερατεύουν ἄλλοι, παρὰ μόνο οἱ ἱερεῖς, ἐνῶ τὸν καιρὸ τοῦ Πάσχα, ὅλοι κατὰ κάποιο τρόπο τιμῶνταν μὲ τὴν ἱερωσύνη (γιατὶ ὁ καθένας θυσίαζε τὸ ἀρνί), ἔτσι καὶ στὴν Καινὴ ποὺ δὲν ὑπόκειται σὲ διαδοχή, τὴν τέλεση τῆς ἀναίμακτης θυσίας τὴν ἔχουν κατ' ἐξαίρεση αὐτοὶ στοὺς ὁποίους ἐπιτρέπεται νὰ τὴν προσφέρουν, ὁ καθένας ὅμως ἔχει χειροτονηθεῖ ἱερέας τοῦ δικοῦ του σώματος, ὄχι γιὰ νὰ εἰσπηδᾶ ἀχειροτόνητος στὴν ἐξουσία τῶν πιστῶν, ἀλλά, ἔχοντας γίνει κύριος τῆς κακίας, νὰ κάνει τὸ σῶμα του ναὸ ἢ ἱερὸ τῆς ἁγνότητας.

76.- ΣΤΟΝ ΠΟΛΙΤΕΥΟΜΕΝΟ ΑΡΧΟΝΤΙΟ
Γιὰ ποιὸν λόγο ἐπέτρεψε ὁ νομοθέτης νὰ δίνεται ἔγγραφο διαζύγιο στὶς γυναῖκες ποὺ μισοῦνται ἀπὸ τοὺς ἄνδρες τους»[51].

Μοιάζεις οὔτε στὴ σοφία τοῦ νομοθέτη Μωυσῆ, ποὺ ἔλαβε ἀπὸ τὸν Θεό, νὰ ἔχεις ἐμβαθύνει, οὔτε τὴ σκέψη του νὰ ἔχεις συλλάβει, ἀλλὰ ἔχεις μείνει τόσο πολὺ μακριὰ ἀπὸ τὸ ὕψος τῆς σκέψης, ὅσο καὶ ἀπὸ τὸν τρόπο ζωῆς του. Γιατὶ δὲν διώχνει, ὅπως ἔπρεπε, τὶς γυναῖκες ποὺ δὲν παρανομοῦν στὸν θεσμὸ τοῦ γάμου, ἀλλὰ θέλοντας νὰ ἐμποδίσει περισσότερο καὶ νὰ κάνει πιὸ δύσκολη τὴ διάπραξη τοῦ κακοῦ,

51. Ματθ. 19, 7.

ἐπέτρεψεν, οὐ μόνον κρείττονα κρίνας τῆς λαθραίου παρ' αὐτῶν ἂν τολμηθείσης μοιχείας (οὐ γὰρ ἂν ὤκνησαν ταῖς ἄλλων χρῆσθαι γυναιξί) τὸν φανερὸν γάμον, ἀλλὰ καὶ ἄμεινον ἡγησάμενος ἐκβληθῆναι αὐτὰς ἔξω, ἢ σφαγῆναι ἔνδον. Διέστησε γὰρ τοὺς συνεῖναι μὴ δυναμένους. Οἱ γὰρ προφητικῶν αἱμάτων γευσάμενοι, οὐκ ἂν γυναικῶν μισουμένων ἐφείσαντο. Οὐδ' οἱ αὐτὸν τὸν νομοθέτην ἀνελεῖν πολλάκις φανερῶς ἐπιχειρήσαντες, τοῦ ἢ φανερῶς ἢ δόλοις ἀνελεῖν, ἢ μοιχείας γράψασθαι ἐκείνας ἀπέσχοντο. Τὸ οὖν μεῖζον κακὸν προαναστέλλων, τὸ ἔλατον συνεχώρησε μᾶλλον, ἢ διηγόρευσεν.

Ὅτι δὲ οὐχ ἁπλῶς καταστοχάζομαι τῆς τοῦ πανσόφου ἐκείνου διανοίας, μάλιστα μὲν δῆλον καὶ ἐκ τοῦ τοὺς προφήτας ὡς αἱμάτων διψῶντας, καὶ τοὺς ἀλλοτρίους γάμους διορύττοντας, αὐτοὺς διαρρήδην αἰτιᾶσθαι, οὐχ ἧκιστα δὲ ἐκ τοῦ λεχθησομένου. Ὁ γὰρ Χριστὸς δεῦρ' ἐπιφοιτήσας, ταύτης αὐτῷ προσενεχθείσης τῆς πεύσεως, οὐ μόνον οὐκ ἐμέμψατο τὸν Μωσέα, ἀλλὰ καὶ ὑπεραπελογήσατο, τὸ ἔγκλημα εἰς ἐκείνους τρέψας, δι' οὓς ἠναγκάσθη κἀκεῖνος τὸ πρέπον τῇ φύσει παριδεῖν καὶ συγχωρῆσαι ἀπολῦσαι τὴν σύνευνον. Ἔφη γάρ· «Μωσῆς πρὸς τὴν σκληροκαρδίαν ὑμῶν ἐπέτρεψεν ὑμῖν ἀπολύειν τὰς γυναῖκας ὑμῶν», τοῦτ' ἔστι, διὰ τὸ ἀπαθὲς ὑμῶν καὶ ἀνάγωγον. «Ἐξ ἀρχῆς δέ», φησίν, «οὐκ ἐγένετο οὕτως». Εἰς τὸν τῶν γάμων μὲν θεσμὸν παρανομούσας, καὶ αὐτὸς ἐκβάλλειν ἐκέλευσε. Τούτου δὲ μὴ συμβαίνοντος, πάντα τὰ ἄλλα ἐλαττώματα τῶν γυναικῶν φέρειν προσέταξε, μᾶλλον δ' ἀναγκαῖον εἶναι ἀπεφήνατο. Οὐχ ἁπλῶς οὐδὲ εἰκῇ. Εἰς ἕκαστον μὲν γὰρ τῶν νόμῳ γάμου συνιόντων τὰ ἄλλα ἁμαρτήματα οὐ βλέπει, ἡ δὲ μοιχεία εἰς τὰς τοῦ γάμου συνθήκας ὁρᾷ, καὶ τὴν τῶν παίδων καθυβρίζει εὐγένειαν, καὶ τὰς συγγενείας διασπᾷ, καὶ πάντα τὸν βίον ἀνατρέπει τὸν ἀνθρώπινον.

52. Ματθ. 19, 8.

δὲν νομοθέτησε τὸ μικρότερο, ἀλλὰ τὸ ἐπέτρεψε, ὄχι μόνο ἐπειδὴ ἔκρινε ἀνώτερο τὸν φανερὸ γάμο ἀπὸ τὴ λαθραία μοιχεία, ποὺ θὰ μποροῦσε νὰ ἐπιχειρηθεῖ ἀπὸ αὐτούς (γιατὶ δὲν θὰ δίσταζαν νὰ χρησιμοποιήσουν μεταξύ τους τὶς γυναῖκες τους), ἀλλὰ καὶ ἐπειδὴ θεώρησε προτιμώτερο νὰ βγοῦν αὐτὲς ἔξω (νὰ διωχθοῦν), παρὰ νὰ σφαγοῦν μέσα. Χώρισε δηλαδὴ αὐτοὺς ποὺ δὲν μποροῦσαν νὰ συμβιώσουν. Γιατὶ αὐτοὶ ποὺ ἔσφαξαν προφῆτες, δὲν θὰ δίσταζαν νὰ κάνουν τὸ ἴδιο στὶς γυναῖκες ποὺ μισοῦσαν. Οὔτε, αὐτοὶ ποὺ τὸν ἴδιο τὸν νομοθέτη ἐπιχείρησαν φανερὰ νὰ τὸν σκοτώσουν πολλὲς φορές, δὲν θὰ ἀπέφευγαν νὰ σκοτώσουν φανερὰ ἢ μὲ δόλους, ἢ νὰ κατηγορήσουν γιὰ μοιχεία ἐκεῖνες. Προλαβαίνοντας λοιπὸν ἐκ τῶν προτέρων τὸ μεγαλύτερο κακό, ἐπέτρεψε τὸ μικρότερο, ἀντὶ νὰ τὸ ἀπαγορεύσει.

Ὅτι βέβαια δὲν εἶναι ἁπλῆ εἰκασία τὰ λεγόμενά μου γιὰ τὴ σκέψη ἐκείνου τοῦ πάνσοφου, γίνεται φανερὸ κυρίως καὶ ἀπὸ τὸ γεγονὸς ὅτι αὐτοὺς καὶ οἱ προφῆτες τοὺς κατηγοροῦσαν φανερὰ ὅτι διψοῦσαν γιὰ αἵματα, καὶ ἀπὸ τὸ ὅτι ὑπονόμευαν τοὺς γάμους τῶν ἄλλων, ἀλλὰ ὄχι λιγώτερο ἀπὸ αὐτὸ ποὺ θὰ λεχθεῖ. Γιατὶ ἐρχόμενος ὁ Χριστὸς ἐδῶ, ὅταν τοῦ ὑπεβλήθη ἡ ἴδια ἐρώτηση, ὄχι μόνο δὲν κατηγόρησε τὸν Μωυσῆ, ἀλλὰ καὶ ἔγινε συνήγορός του, στρέφοντας τὸ ἔγκλημα σ' ἐκείνους, ἐξαιτίας τῶν ὁποίων ἀναγκάσθηκε καὶ ἐκεῖνος νὰ παραβλέψει αὐτὸ ποὺ ταίριαζε στὴ φύση, καὶ ἐπέτρεψε νὰ χωρίζουν τὴ γυναίκα. Γιατὶ εἶπε· «Ὁ Μωυσῆς ἐξαιτίας τῆς σκληροκαρδίας σας ἐπέτρεψε νὰ χωρίζετε τὶς γυναῖκες σας»[52], δηλαδὴ ἐξαιτίας τῆς ἀναισθησίας καὶ τῆς ἀγένειάς σας. «Ἐνῶ ἀπὸ τὴν ἀρχή», λέγει, δὲν γινόταν ἔτσι»[53]. Σ' αὐτὲς ποὺ παρανομοῦν στὸν θεσμὸ τῶν γάμων, διέταξε καὶ αὐτὸς νὰ τὶς διώχνουν. Ὅταν ὅμως αὐτὸ δὲν συμβαίνει, ὅλα τὰ ἄλλα ἐλαττώματα τῶν γυναικῶν διέταξε νὰ τὰ ὑπομένουν, ἢ μᾶλλον εἶπε ὅτι εἶναι ἀναγκαῖο. Ὄχι ἔτσι ἁπλᾶ, οὔτε στὴν τύχη. Γιατὶ στὸν καθένα ἀπὸ αὐτοὺς ποὺ συζοῦν μὲ νόμιμο γάμο, δὲν βλέπει τὰ ἄλλα ἁμαρτήματα, ἡ μοιχεία ὅμως ἀφορᾶ τοὺς ὅρους τοῦ γάμου, ἡ ὁποία καὶ τὴν καταγωγὴ τῶν παιδιῶν προσβάλλει, καὶ τὶς συγγένειες διασπᾶ, καὶ ἀνατρέπει ὅλη τὴν ἀνθρώπινη ζωή.

---

53. Ματθ. 19, 8.

ΟΖ΄.– ΙΣΙΔΩΡΩ ΔΙΑΚΟΝΩ
Περὶ τῶν σωμάτων, πνευματικῶν ἐσομένων ἐν τῇ ἀναστάσει.

Πνευματικὰ ἔσεσθαι τὰ σώματα ἐν τῇ ἀναστάσει ἔφησεν ὁ θεσπέσιος Παῦλος, διὰ δύο ταῦτα· Διά τε τὸ κοῦφα καὶ αἰθέρια καὶ παντὸς κρείττονα πάθους καὶ βάρους μέλλειν ἔσεσθαι, καὶ διὰ τὸ τῷ θείῳ Πνεύματι μόνῳ λοιπὸν εἴκειν. Νῦν μὲν γὰρ κἂν παρῇ, τὸ κῦρος τῶν πραττομένων ἔχει ἡ ψυχή, τότε δὲ δοχεῖα μᾶλλον ἔσται τοῦ Πνεύματος. Οὐ γὰρ μόνον αὐτά, ἀλλὰ καὶ ἡ ψυχὴ πνευματικὴ ἔσται, ἅπαντα κατὰ τοὺς ἐκείνου νόμους διαπραττομένη. Εἰ δὲ περὶ τῶν σωμάτων τῶν ἁμαρτωλῶν ζητήσει τις, φήσομεν, ὅτι ἢ κατὰ τὴν προτέραν ἐκδοχὴν κοῦφα ἔσται καὶ αἰθέρια, ἢ ὅτι ὑπὸ πυρὸς βασανισθήσεται μέν, οὐκ ἀναλωθήσεται δέ, ἢ ὅτι κἂν ἐθελήσωσιν ἁμαρτεῖν οὐ δυνήσονται.

ΟΗ΄.– ΤΩ ΑΥΤΩ
Τί ἐστι, «Βασιλεὺς ἦμην ἐν μονοζώνοις».

Ἐπειδὴ τὸ εἰρημένον παρὰ τοῦ ἀοιδίμου Ἰὼβ μαθεῖν ἠθέλησας, «Βασιλεὺς ἦμην ἐν μονοζώνοις», οἶμαι ὅτι, ἐπειδὴ οἱ μονόζωνοι ἢ στρατιωτικὰ τάγματα μηνύουσιν ἢ βαρβαρικὰ στίφη ἢ ληστρικὰ συγκροτήματα, τοιοῦτόν τι εἰρηκέναι· Ἢ ὡς στρατιωτῶν νομίμως ἐπῆρχον, ἢ ὡς βαρβάρων ἀνδρείως ἐκράτουν, ἢ ὡς λῃσταῖς φόβον ἐνεποίουν καὶ ἐκώλυον τοῖς αὐτῶν χρῆσθαι τρόποις. Εἰ δὲ μὴ ἐπείθοντο, εἰς τὴν τῶν νόμων σαγήνην συνέκλειον.

ΟΘ΄.– ΠΑΛΛΑΔΙΩ
Ὅτι χρὴ τῆς ἀληθείας μᾶλλον, ἢ τῆς δόξης ἐφίεσθαι.

Ἐπειδὴ οὐ τοῦ εἰδέναι χάριν, ἀλλὰ τῆς ἀπὸ τοῦ εἰδέναι ἀντιποιούμενος δόξης, ὡς πυνθάνομαι, δοκεῖς πονεῖν, βούλομαί σε καὶ τοῦτο κατορθῶσαι, τὸ τῆς ἀληθείας μᾶλλον, ἢ τῆς

77.- ΣΤΟΝ ΔΙΑΚΟΝΟ ΙΣΙΔΩΡΟ

Γιὰ τὰ σώματα, τὰ ὁποῖα θὰ γίνουν πνευματικὰ κατὰ τὴν ἀνάσταση.

Τὰ σώματα θὰ εἶναι πνευματικὰ κατὰ τὴν ἀνάσταση, εἶπε ὁ θεόπνευστος Παῦλος, γιὰ δυὸ λόγους· ἐπειδὴ θὰ εἶναι ἐλαφρὰ καὶ αἰθέρια καὶ ἀνώτερα ἀπὸ κάθε πάθος καὶ βάρος, καὶ ἐπειδὴ θὰ πληροῦνται μόνο ἀπὸ τὸ ἅγιο Πνεῦμα. Γιατὶ τώρα, καὶ ὅταν εἶναι παρόν, τὸ κῦρος αὐτῶν ποὺ γίνονται τὸ ἔχει ἡ ψυχή, τότε ὅμως θὰ εἶναι δοχεῖα τοῦ Πνεύματος. Καὶ ὄχι μόνον αὐτά, ἀλλὰ καὶ ἡ ψυχὴ ποὺ εἶναι πνευματική, θὰ τὰ κάνει ὅλα σύμφωνα μὲ τοὺς νόμους ἐκείνου. Ἐὰν ὅμως ἐρωτήσει κάποιος νὰ μάθει γιὰ τὰ σώματα τῶν ἁμαρτωλῶν, θὰ τοῦ ποῦμε ὅτι ἤ, σύμφωνα μὲ τὴν προηγούμενη ἐκδοχή, θὰ εἶναι ἐλαφρὰ καὶ αἰθέρια, ἢ ὅτι θὰ βασανίζονται βέβαια ἀπὸ τὴ φωτιά, ἀλλὰ δὲν θὰ καταστρέφονται, ἢ ὅτι, καὶ νὰ θέλουν νὰ ἁμαρτήσουν, δὲν θὰ μποροῦν.

78.- ΣΤΟΝ ΙΔΙΟ

Τί σημαίνει· «Ἤμουν βασιλιὰς μονοζώνων»[54].

Ἐπειδὴ θέλησες νὰ μάθεις, τί σημαίνει αὐτὸ ποὺ εἰπώθηκε ἀπὸ τὸν ἀείμνηστο Ἰώβ, «Ἤμουν βασιλιὰς περιστοιχισμένος ἀπὸ ἐλαφρὰ ὁπλισμένους στρατιῶτες», νομίζω ὅτι αὐτὸ τὸ εἶπε, ἐπειδὴ οἱ μονόζωνοι ἦταν ἢ στρατιωτικὰ τάγματα, ἢ πυκνὸ βαρβαρικὸ πλῆθος, ἢ ληστρικὲς ὁμάδες. Ἢ ἐπειδὴ φροροῦσαν νόμιμα στρατιῶτες, ἢ ἐπειδὴ κυριαρχοῦσαν μὲ ἀνδρεία τῶν βαρβάρων, ἢ ἐπειδὴ προκαλοῦσαν φόβο στοὺς ληστὲς καὶ τοὺς ἐμπόδιζαν νὰ ἐφαρμόζουν τὶς συνήθειες τῆς ζωῆς τους, καὶ ἂν δὲν πειθαρχοῦσαν, τοὺς ἔκλειναν στὸ δίχτυ τῶν νόμων.

79.- ΣΤΟΝ ΠΑΛΛΑΔΙΟ

Ὅτι πρέπει νὰ ποθοῦμε τὴν ἀλήθεια μᾶλλον, παρὰ τὴ δόξα.

Ἐπειδή, ὅπως μαθαίνω, νομίζεις ὅτι κοπιάζεις, ὄχι γιὰ χάρη τῆς μάθησης, ἀλλὰ γιὰ νὰ ἀποκτήσεις ἀπὸ τὴ γνώση δόξα, θέλω νὰ τὸ ἐπιτύχεις καὶ αὐτό, ἐπιθυμώντας τὴν ἀλήθεια μᾶλλον, παρὰ τὴ δόξα.

---

54. Ἰὼβ 29, 25.

δόξης ἐφίεσθαι. Εἰ δὲ μεθύων νυνὶ τῷ τῆς φιλοδοξίας πάθει δυσχεραίνεις, εὖ οἶδ' ὅτι σωφρονήσας, χάριν εἴσῃ.

Π΄.– ΖΩΣΙΜΩ ΠΡΕΣΒΥΤΕΡΩ

Συμβουλευτικὴ πρὸς ἀποχὴν ἀπὸ τὰ κακά.

Φασί τινες, ὡς ἱππήλατον σαυτὸν πᾶσι τοῖς αἰσχροῖς καὶ ἀνελευθέροις πάθεσι καταστήσας, τοῖς χρηστοῖς καὶ ἐλευθερίοις ἄβατον πάντῃ διατηρεῖς, οὐκ ἀπάτῃ καὶ παραλογισμοῖς, ἐκεῖνα μὲν ἀσμενίζων, ταῦτ' ἀπωθούμενος, ἀλλὰ κρίσει καὶ βουλήσει καὶ τῷ μηδὲν ὀρθὸν ἐθέλειν διαπράττεσθαι. Διὸ καὶ δύσκολος ἔσται σοι ἡ ἐπὶ τὰ καλὰ ὁρμή. Οὐ γὰρ ἂν εἴποιμι ἐπάνοδος· οὐδεπώποτε γάρ σε λέγουσιν ὀρθῶς οὔτε βεβουλεῦσθαι, οὔτε πεπραχέναι. Ἐννοήσας τοίνυν, ὡς εἰς βαθὺ λοιπὸν γῆρας ἐλαύνων, πρόδηλον ἔχεις τὸν θάνατον, κἂν ὀψὲ τοῦ καιροῦ, κόρον λαβών, τῶν κακῶν ἀπόστηθι.

ΠΑ΄.– ΤΩ ΑΥΤΩ

Προτρεπτικὴ πρὸς ἀποφυγὴν τῶν παθῶν.

Οὐ θαυμάζω εἰ ἐν τοῖς ἄλλοις ἅπασιν, ἀπαίδευτος ὤν, κἂν τούτῳ τὴν ἀμαθίαν τὴν σαυτοῦ ἐπιδείξω, ἀλλὰ τότ' ἂν ἐθαύμασα, εἰ, ἐν τοῖς ἄλλοις πταίων, ἐν τούτῳ διήμαρτες. Τὰ μὲν οὖν αἰσχρὰ πάθη οἶσθα ἀπὸ σαυτοῦ καὶ οὐδὲν δεῖ λόγων, ἐπειδὴ δὲ τὰ χρηστὰ καὶ φιλάνθρωπα ἀγνοεῖς, ταῦτα φράσω. Εἰσὶ δὲ ἔλεος, φιλανθρωπία, οἶκτος, εὐμένεια, καὶ τὰ ἄλλα τὰ τούτων ἀδελφά. Εἰ δὲ σὲ ταράττει τὸ καὶ ταῦτα πάθη λέγεσθαι, καὶ ἐγγυητὰς καὶ μάρτυρας τούτου ἀξιοπίστους ἄνδρας παρέξομαι. Οἶδα μὲν οὖν, ὅτι αὐτὸς οὐ παρακολουθήσεις τοῖς λεγομένοις, ἅτε ἀπαιδευσίας τυγχάνων θρέμμα, ὅμως δ' οὖν αὐτὸς ἐρῶ. Δημοσθένης μὲν οὖν ὁ ῥήτωρ, τὸ τῆς Ἑλλάδος κεφάλαιον, περὶ τοῦ Φιλίππου λέγων, ὅτε παρεκαλεῖτο δοῦναι τοὺς Ὀλυνθίους αἰχμαλώτους, ἔφη· «Ὥστε τὸν Φίλιππον παθεῖν τι καὶ δοῦναι τὴν χάριν». Ἰώσηπος δέ, ἀνὴρ ἐπὶ παιδεύσει καὶ εἰδήσει λόγων ἐπισημότατος, περὶ τῶν στασιαστῶν ἐν τῇ ἁλώσει τῆς

Ἐὰν ὅμως τώρα εἶσαι μεθυσμένος ἀπὸ τὸ πάθος τῆς φιλοδοξίας, γνωρίζω καλὰ ὅτι, ὅταν βάλεις μυαλό, θὰ ἐκφράσεις εὐχαριστία.

80.- ΣΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟ ΖΩΣΙΜΟ
Συμβουλευτικὴ πρὸς ἀποχὴ ἀπὸ τὰ κακά.

Λένε μερικοί, ὅτι ἔχοντας κάνει τὸν ἑαυτό σου νὰ κινεῖται σὰν ἄλογο σὲ ὅλα τὰ αἰσχρὰ καὶ ἀνελεύθερα πάθη, τὸν κρατᾶς τελείως ἀπλησίαστο στὰ χρηστὰ καὶ εὐγενικά, χωρὶς ἀπάτη καὶ παραλογισμούς, ἐκεῖνα βέβαια ἀπολαμβάνοντάς τα μὲ εὐχαρίστηση, ἐνῶ αὐτὰ ἀπωθώντας τα, ἀλλὰ μὲ κρίση καὶ θέληση καὶ μὲ τὸ νὰ μὴ θέλεις νὰ κάνεις τίποτε τὸ σωστό. Γι᾽ αὐτὸ καὶ θὰ σοῦ εἶναι δύσκολη ἡ κίνηση πρὸς τὰ καλά. Γιατὶ δὲν θὰ μποροῦσα νὰ πῶ ἡ ἐπάνοδος, ἀφοῦ λένε ὅτι ποτὲ οὔτε σκέφθηκες οὔτε ἐνέργησες σωστά. Σκεπτόμενος λοιπὸν ὅτι φτάνοντας πλέον σὲ βαθειὰ γηρατειά, θὰ ἔχεις ὁλοφάνερο θάνατο, ἔστω καὶ τὸν τελευταῖο καιρό, ἀφοῦ ἔχεις χορτάσει, ἀπομακρύνσου ἀπὸ τὰ κακά.

81.- ΣΤΟΝ ΙΔΙΟ
Προτρεπτικὴ πρὸς ἀποφυγὴ τῶν παθῶν.

Δὲν ἀπορῶ ἐάν, ὄντας σὲ ὅλα τὰ ἄλλα ἀπαίδευτος, ἔδειξες καὶ σ᾽ αὐτὸ τὴν ἀμάθειά σου. Ἀλλὰ τότε θὰ ἀποροῦσα ἄν, ἐνῶ στὰ ἄλλα φταῖς, δὲν ἔκανες λάθος σ᾽ αὐτά. Τὰ αἰσχρὰ πάθη λοιπὸν τὰ γνωρίζεις ἀπὸ μόνος σου καὶ δὲν χρειάζονται λόγια, ἐπειδὴ ὅμως τὰ καλὰ καὶ φιλάνθρωπα τὰ ἀγνοεῖς, γι᾽ αὐτὰ θὰ σοῦ μιλήσω. Καὶ αὐτὰ εἶναι, ἡ εὐσπλαγχνία, ἡ φιλανθρωπία, ὁ οἶκτος, ἡ ἀγαθὴ διάθεση, καὶ τὰ ἄλλα, ποὺ εἶναι συγγενικὰ μὲ αὐτά. Ἐὰν ὅμως σὲ ταράζει τὸ ὅτι καὶ αὐτὰ λέγονται πάθη, θὰ σοῦ παρουσιάσω ἐγγυητὲς καὶ μάρτυρες ἄνδρες ἀξιόπιστους γι᾽ αὐτό. Γνωρίζω βέβαια, ὅτι σὺ δὲν θὰ ἀκολουθήσεις αὐτὰ ποὺ σοῦ λέγω, ἐπειδὴ εἶσαι πλάσμα τῆς ἀπαιδευσίας, ὅμως ἐγὼ θὰ σοῦ τὰ πῶ. Ὁ Δημοσθένης λοιπὸν ὁ ρήτορας, ὁ κορυφαῖος τῆς Ἑλλάδας, μιλώντας γιὰ τὸν Φίλιππο, ὅταν τὸν παρακαλοῦσε νὰ δώσει τοὺς Ὀλυνθίους αἰχμαλώτους, εἶπε· «Ὥστε ὁ Φίλιππος νὰ πάθει κάτι, καὶ νὰ δώσει τὴ χάρη». Καὶ ὁ Ἰώσηπος, ἄνδρας γνωστότατος γιὰ τὴν παίδευσή του καὶ τὴ γνώση τῶν λόγων,

Ἰερουσαλὴμ ἀκμασάντων γράφων, ἔφη· «Ὅταν ἀτίθασος καὶ ἀμείλικτος φύσις ἄσκησιν τὴν εἰς τὸ ἀνήμερον προσλάβῃ, διχόθεν ἄβατος καὶ ἀπρόσιτος οἴκτῳ γίνεται, καὶ χρηστῷ πάθει καὶ φιλανθρώπῳ». Οὐδὲν δὲ οὕτω χρηστὸν πάθος ἀπολώλει, ὡς ἔλεος. Καὶ Φίλων δέ, ἄνθρωπος Πλάτωνος ἢ ὁμιλιτὴς ἢ ὑφηγητής τις εἶναι δόξας, διὰ τὸ τῆς φράσεως ὕψος (ἐρρέθη γὰρ περὶ αὐτῶν· «Ἢ Πλάτων ἐφιλώνισεν, ἢ Φίλων ἐπλατώνισεν»), ἐγκωμιάσας μὲν τὸν Μωσέα ὡς μισοπόνηρον, ἔφη· «Περιπαθήσας δὲ καὶ δικαίας ὀργῆς ἐμπλησθείς, διαβάλλει τινὰς Αἰγυπτίους, τοὺς ἐργοδιώκτας φημὶ τοῦ Φαραώ». Πάσχει γάρ τι ἡ ψυχή, καὶ ἢ εἰς ἔλεον ἢ εἰς εὐμένειαν ἢ εἰς χρηστότητα ἢ εἰς μισοπονηρίαν νεύει· εἰ μὴ γὰρ ἐπικλασθείη τις, οὐκ ἂν τὸν ἱκέτην ἐλεήσειεν· εἰ μὴ ἐπικαμφθείη, οὐκ ἂν τὸν δεόμενον οἰκτειρήσειεν· εἰ μὴ πάθοι τι, οὐκ ἂν τὸν ἐχθρὸν εὐεργετήσειεν· εἰ μὴ νομίσει ἠδικῆσθαι τὴν δικαιοσύνην, οὐκ ἂν εἰς μισοπονηρίαν τραπείη. Τὴν δὲ τροπὴν ταύτην πάθος καλοῦσι. Ὥσπερ γὰρ ὁ ἀπὸ τοῦ βελτίονος ἐπὶ τὸ χεῖρον τρεπόμενος πάσχει, οὕτω καὶ ὁ ἀπὸ τῶν χειρόνων ἐπὶ τὸ ἄμεινον τρεπόμενος πάσχει τι. Τροπῆς γάρ ἐστι τὸ πάθος ὄνομα.

Τοιγαροῦν καὶ αὐτός, κἂν ὀψέ ποτε τῆς ἡλικίας τὰ αἰσχρὰ φεῦγε πάθη, ἵνα μή ποτε ἐπαινέσῃς τὴν παραίνεσιν, ὅτε τῶν ἐπαίνων σοι ὄφελος οὐδέν.

ΠΒ΄.– ΑΜΜΩΝΙ
Περὶ τῆς τοῦ Εὐσεβίου μανίας.

Ὅτι ὁ τῆς μακαρίας μνήμης Τιμόθεος τοῦ ἀτιθάσου θηρίου ἐτιθάσευσε τὰς ὁρμὰς καὶ τὸ ἀμείλικτον εἰς τὸ ἐμμελὲς μετερρύθμιζεν, ἡ μετὰ τὴν ἐκείνου τελευτὴν ἐπικωμάσασα τῷ ἀλιτηρίῳ Εὐσεβίῳ μανία σαφῶς ἔδειξεν.

γράφοντας γιὰ τοὺς στασιαστές, ποὺ διακρίθηκαν στὴν ἅλωση τῆς Ἱερουσαλήμ, εἶπε· "Ὅταν ἡ ἀτίθαση καὶ ἄσπλαγχνη φύση ἀσκηθεῖ στὴν ἀγριότητα, καὶ ἀπὸ τὶς δύο πλευρὲς γίνεται ἀδιάβατη καὶ ἀπλησίαστη στὸν οἶκτο καὶ στὸ καλὸ καὶ φιλάνθρωπο πάθος (ἦθος)". Καὶ δὲν ἔχει χάσει κανένα καλὸ πάθος τόσο πολύ, ὅσο τὴν ἐλεημοσύνη. Ἀλλὰ καὶ ὁ Φίλων, ὁ ὁποῖος θεωρήθηκε ὅτι εἶναι ἄνθρωπος ἢ ὁμιλητὴς ἢ εἰσηγητὴς τοῦ Πλάτωνα, λόγω τοῦ ὕψους τῆς διδασκαλίας του (γιατὶ εἰπώθηκε γι' αὐτούς· "Ἢ ὁ Πλάτων μιμεῖται τὸν Φίλωνα, ἢ ὁ Φίλων τὸν Πλάτωνα"), ἐγκωμιάζοντας τὸν Μωυσῆ ὡς ἄνθρωπο ποὺ μισοῦσε τὴν κακία, εἶπε· "Κυριευμένος ἀπὸ σφοδρὴ ἐπιθυμία καὶ γεμᾶτος δικαιολογημένη ὀργή, κατηγορεῖ κάποιους Αἰγυπτίους, ἐννοῶ τοὺς ἐπιστάτες τοῦ Φαραώ". Γιατὶ ἡ ψυχὴ πάσχει κάτι καὶ κλίνει ἢ στὴν ἐλεημοσύνη, ἢ στὴν ἀγαθὴ διάθεση, ἢ στὴν ἀγαθότητα, ἢ στὸ μῖσος πρὸς τὴν κακία. Γιατί, ἐὰν κάποιος δὲν μαλακώσει ψυχικά, δὲν εἶναι δυνατὸν νὰ ἐλεήσει αὐτὸν ποὺ παρακαλεῖ. Ἐὰν δὲν συγκινηθεῖ, δὲν θὰ λυπηθεῖ αὐτὸν ποὺ ἔχει ἀνάγκη. Ἐὰν δὲν πάθει κάτι, δὲν θὰ εὐεργετήσει τὸν ἐχθρό. Ἐὰν δὲν πιστέψει, ὅτι ἀδικεῖται ἡ δικαιοσύνη, δὲν θὰ στραφεῖ στὸ μῖσος πρὸς τὴν κακία. Αὐτὴν λοιπὸν τν μεταβολὴ τὴν ὀνομάζουν πάθος. Γιατί, ὅπως αὐτὸς ποὺ πέφτει ἀπὸ τὸ καλύτερο στὸ χειρότερο πάσχει, ἔτσι καὶ αὐτὸς ποὺ ἀπὸ τὰ χειρότερα μεταβάλλεται στὸ καλύτερο, πάσχει κάτι. Γιατὶ τὸ πάθος εἶναι λέξη ποὺ δείχνει μεταβολή.

Καὶ σὺ λοιπόν, ἔστω καὶ στὸ τελευταῖο στάδιο τῆς ἡλικίας σου, ἀπόφευγε τὰ αἰσχρὰ πάθη, ὥστε νὰ μὴ φτάσεις κάποτε νὰ ἐπαινέσεις τὴ συμβουλή, ὅταν πιὰ οἱ ἔπαινοι δὲν θὰ σοῦ προσφέρουν καμμιὰ ὠφέλεια.

82.- ΣΤΟΝ ΑΜΜΩΝΑ
Γιὰ τὴ μανία τοῦ Εὐσεβίου.

Ὅτι ὁ ἀξιομακάριστος Τιμόθεος ἐδάμαζε τὶς ὁρμὲς τοῦ ἀτίθασου θηρίου, καὶ μετέβαλλε τὴν ἀσπλαγχνία πρὸς τὸ καλύτερο, τὸ ἔδειξε καθαρά, μετὰ τὸν θάνατο ἐκείνου, ἡ μανία τοῦ πανούργου Εὐσεβίου ποὺ τὸν ἔχει κυριεύσει μὲ τόση σφοδρότητα καὶ προξενεῖ παντοῦ τόσο θόρυβο.

ΠΓ΄.– ΕΥΤΟΝΙΩ ΔΙΑΚΟΝΩ

Ὅτι οὐ χρὴ ἀλλοιοῦσθαι τὸ κάλλος τῆς ψυχῆς, κἂν ἐν συμφοραῖς τυγχάνῃ.

Εἰ τὸ κάλλος τοῦ σώματος οὐδ' ὑπὸ τῶν ἐκπλήξεων ἀλλοιοῦται, σώζει δ' αὐτὸ κἂν ἐν δακρύοις ᾖ, πολλῷ μᾶλλον ἡ τῆς ψυχῆς ὥρα ὑπὸ τῶν ἐμπιπτόντων πειρασμῶν ἀλλοιωθῆναι οὐκ ὀφείλει, κἂν ἐν συμφοραῖς τυγχάνῃ.

ΠΔ΄.– ΑΓΑΘΩ ΠΡΕΣΒΥΤΕΡΩ

Διά τί προσέταξεν ὁ νόμος λινὸν καὶ ἔριον καὶ πορφύραν μὴ συννυφαίνεσθαι, ἐν δὲ τῷ Λευιτικῷ καὶ λέπραν ἱματίων καὶ λίθων πολυπραγμονεῖ.

Ἐπειδὴ γέγραφας, τί βουλόμενος ὁ Μωσῆς ἐνομοθέτησεν λινὸν μὲν καὶ ἔριον μὴ συννυφαίνεσθαι, ἐν δὲ τοῖς λινοῖς ἱματίοις πορφύραν μὴ συννυφαίνειν, λέπραν τε ἱματίων καὶ λίθων πολυπραγμονεῖν, εἶχον μὲν καὶ τὰς θεωρίας αὐτῶν μηνῦσαι (ἔχουσι γὰρ ἀρίστας ἀλληγορίας ὠφελῆσαι δυναμένας τοὺς μὴ ἀγύμναστον ἔχοντας πρὸς θεωρίαν τὸν νοῦν), ἀλλ' ἐπειδὴ οἶδα πολλοὺς μὲν νομίζοντας τοὺς τὰ τοιαῦτα λέγοντας ἀμαθίᾳ τοὺς ἀγῶνας ἐκλύειν, σὲ δὲ τοῖς πράγμασι καὶ μόνῃ τῇ ἑρμηνείᾳ τῶν Γραφῶν χαίροντα, εὐθεῖαν τὴν ἀπόκρισιν ποιήσομαι, κύκλων ἀπηλλαγμένην. Οἶμαι τοίνυν ὅτι, εἰς φιλοσοφίαν τοὺς ὑπηκόους ἐνάγων καὶ τῆς χρείας μόνης γενέσθαι βουλόμενος, πᾶσαν βλακείαν ἐξωστράκισε, διὰ μὲν τοῦ μὴ συννυφαίνειν λίνον καὶ ἔριον, τὴν ποικιλίαν ἐξορίζων, διὰ δὲ τοῦ πορφύραν μὴ συννυφαίνειν τοῖς λινοῖς ἱματίοις, τὴν πολυτέλειαν καὶ τὸν καλλωπισμόν, διὰ δὲ τοῦ λέπραν ἱματίων καὶ λίθων περιεργάζεσθαι, τὸ πλέον τῆς χρείας κτήσασθαι καὶ ἀποθέσθαι ἀπαγορεύων. Τοῖς γὰρ χρονίοις ἱματίοις καὶ οἰκίαις τοῦτο συμβαίνειν εἴωθε. Τῆς χρείας γὰρ ἔσο, φησί, μηδὲν περιττόν, μήτε κτώμενος μήτε

55. Δευτ. 22, 11.

83.- ΣΤΟΝ ΔΙΑΚΟΝΟ ΕΥΤΟΝΙΟ

Ὅτι δὲν πρέπει νὰ μεταβάλλεται τὸ κάλλος τῆς ψυχῆς, κι' ὅταν ἀκόμα βρίσκεται σὲ συμφορές.

Ἐὰν ἡ ὁμορφιὰ τοῦ σώματος δὲν ἀλλοιώνεται οὔτε ἀπὸ τὶς ἐκπλήξεις, καὶ τὴν διατηρεῖ ἀκόμα καὶ ὅταν εἶναι δακρυσμένο, πολὺ περισσότερο ἡ ὡραιότητα τῆς ψυχῆς δὲν πρέπει νὰ ἀλλοιωθεῖ ἀπὸ τοὺς πειρασμοὺς ποὺ συμβαίνουν, κι ἂν ἀκόμα βρίσκεται σὲ συμφορές.

84.- ΣΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟ ΑΓΑΘΟΝ

Γιατί ὁ νόμος διέταξε νὰ μὴ ὑφαίνονται μαζὶ τὸ λινάρι, τὸ μαλλὶ καὶ ἡ πορφύρα[55], ἐνῶ στὸ Λευϊτικὸ κάνει λόγο καὶ γιὰ λέπρα ἐνδυμάτων καὶ γιὰ πολύτιμους λίθους[56].

Ἐπειδὴ ἔγραψες, ρωτώντας γιὰ ποιὸ λόγο ὁ Μωυσῆς νομοθέτησε τὸ λινάρι καὶ τὸ μαλλὶ νὰ μὴ ὑφαίνονται μαζί, καὶ στὰ λινὰ ἐνδύματα νὰ μὴ ὑφαίνουν μαζὶ καὶ πορφύρα, ἀσχολεῖται ὅμως μὲ τὴ λέπρα τῶν ἐνδυμάτων καὶ τῶν πολύτιμων λίθων, θὰ μποροῦσα βέβαια καὶ τὶς βαθύτερες ἑρμηνεῖες αὐτῶν νὰ σοῦ φανερώσω (γιατὶ ἔχουν ἄριστες ἀλληγορίες, ποὺ μποροῦν νὰ ὠφελήσουν αὐτοὺς ποὺ ἔχουν τὸν νοῦ τους γυμνασμένον νὰ ἐρευνᾶ προσεκτικά), ἀλλ' ἐπειδὴ γνωρίζω πολλοὺς ποὺ νομίζουν ὅτι αὐτοὶ ποὺ τὰ λένα αὐτὰ ἀπὸ ἀμάθεια θὰ παραλύσουν τοὺς ἀγῶνες, ἐνῶ ἐσὺ νοιώθεις εὐχαρίστηση μὲ τὰ πράγματα, καὶ μόνο μὲ τὴν ἑρμηνεία τῶν Γραφῶν, θὰ δώσω εὐθεῖα ἀπάντηση, ἀπαλλαγμένη ἀπὸ περιστροφές. Νομίζω λοιπὸν ὅτι ἀσκώντας τοὺς πιστοὺς στὴν ἀντιμετώπιση τῆς ζωῆς μὲ φιλοσοφικότητα καὶ θέλοντας νὰ ἀσχολοῦνται μόνο μὲ τὰ ἀναγκαῖα, ἀπομάκρυνε κάθε ἀνόητη πράξη. Ἔτσι μὲ τὸ νὰ μὴ ὑφαίνουν μαζὶ λινάρι καὶ μαλλὶ ἀπομάκρυνε τὴν ποικιλία, μὲ τὸ νὰ μὴ συνυφαίνουν πορφύρα στὰ λινὰ ἐνδύματα ἀπομάκρυνε τὴν πολυτέλεια καὶ τὸν καλλωπισμό, καὶ μὲ τὸ νὰ ἀσχολοῦνται μὲ τὴ λέπρα τῶν ἐνδυμάτων καὶ τῶν λίθων, ἀπαγόρευσε τὴν ἀπόκτηση περισσοτέρων ἀπὸ αὐτὰ ποὺ χρειάζονται καὶ τὴν ἀποθήκευσή τους. Γιατὶ αὐτὸ συνήθως γίνεται μὲ τὰ ἐνδύματα ποὺ χρησιμοποιοῦνται ἐπὶ μακρὸν καὶ τὰ σπίτια. Νὰ περιορίζεσαι μόνο στὰ

56. Λευϊτ. 14, 40 ἑ.

ἀποτιθέμενος, ἀλλὰ μηδὲ καλλωπιζόμενος, ἀλλὰ πᾶσαν τὴν φροντίδα καὶ τὴν σπουδὴν εἰς τὴν τῆς ψυχῆς ἐπιμέλειαν μετάστησον.

Εἰ δὲ βουληθείης καὶ παρὰ τῶν ἔξωθεν ὠφεληθῆναι· φασὶ γὰρ τὰς τῶν καρπῶν ἀπορρεούσας ἡμέρους συκᾶς, διὰ τῶν ὀλύνθων τῶν ἀγρίων συσφίγγεσθαι. Φαίην, ὅτι καὶ Ἰσοκράτης, ὅτε Δημονίκῳ τοὺς παραινετικοὺς ἔπεμπε λόγους, παρῄνει· «Ἔσο περὶ τὴν ἐσθῆτα φιλόκαλος, ἀλλὰ μὴ καλλωπιστής. Φιλικάλου μὲν γὰρ τὸ μεγαλοπρεπές, καλλωπιστοῦ δὲ τὸ περίεργον». Καὶ ὅτι τοῦτο ἀληθές ἐστι, δι' ὧν Διογένης εἶπε σαφῶς δείκνυται. Θεασάμενος γάρ τινα μειρακίσκον ἀσελγέστερον ἢ κατ' ἄνδρα κεκοσμημένον, ἔφη αὐτῷ· «Εἰ μὲν πρὸς ἄνδρας, ἀτυχεῖς, εἰ δὲ πρὸς γυναῖκας, ἀδικεῖς». Εἰ τοίνυν ἔξωθεν τοῦ πρέποντος ἐπεμελήθησαν, πῶς οὐκ ἔμελλεν ὁ ἱερὸς ἐκεῖνος καὶ θεοφίλης ἀνήρ, εἰς φιλοσοφίαν ἐνάγων, πᾶσαν μὲν ποικιλίαν καὶ βλακείαν καὶ καλλωπισμὸν ἐκ τῶν ὑπηκόων ἐξορίζειν, κοσμιότητα δὲ καὶ σεμνότητα νομοθετεῖν, δι' ὧν ὁ ἄριστος κατορθοῦται βίος;

ΠΕ'.– ΜΑΡΤΙΝΙΑΝΩ ΠΡΕΣΒΥΤΕΡΩ

Προτρεπτικὴ πρὸς ἀποχὴν ἀπὸ τὰ πάθη.

Ἄπληστον εἶναί σέ φασί τινες, σιτοκάπηλον καὶ ἀνάλγητον, καὶ τηροῦντα τοὺς καιρούς, καὶ καταπραγματευόμενον τὰς ἐνδείας καὶ τὰς συμφορὰς γεωργοῦντα. Ἀλλ' ἴσθι ὡς ἐκείνοις μὲν σαυτοῦ σπλάγχνα, σαυτῷ δὲ τὰ θεῖα ἀποκλείεις. Ἐννοῶν τοίνυν, ὡς οὐ τοσοῦτον ἄλλοι σου χρῄζουσιν, ὡς σὺ τοῦ Θεοῦ, τὸ συγγενὲς αἰδέσθητι.

ΠΣ'.– ΖΩΣΙΜΩ ΒΙΒΛΙΟΦΟΡΩ

Συμβουλευτική.

Τὸν στιχισμὸν τῶν βιβλίων, ὧν γέγραφά σοι, τῷ φίλῳ δήλου

ἀναγκαῖα, λέγει, καὶ νὰ μὴ ἀποκτᾶς τίποτε τὸ περιττό, οὔτε νὰ ἀποθηκεύεις, οὔτε καὶ νὰ καλλωπίζεσαι, ἀλλὰ κάθε φροντίδα καὶ ἐνδιαφέρον νὰ τὰ μεταθέσεις στὴ ἐπιμέλεια τῆς ψυχῆς.

Ἐὰν ὅμως θέλεις, μπορεῖς νὰ ὠφεληθεῖς καὶ ἀπὸ τοὺς μὴ χριστιανούς, οἱ ὁποῖοι λένε· στὶς ἥμερες συκιὲς ποὺ ρίχνουν τοὺς καρπούς τους, νὰ χρησιμοποιεῖτε γιὰ τὴ σύσφιγξή τους τὰ ἄγρια σῦκα. Θὰ ἔλεγα, ὅτι καὶ ὁ Ἰσοκράτης, ὅταν ἔστελνε στὸν Δημόνικο τοὺς συμβουλευτικούς του λόγους, τὸν συμβούλευε· "Νὰ εἶσαι στὸ ντύσιμό σου καλαίσθητος, ἀλλὰ νὰ μὴ καλλωπίζεσαι ὑπερβολικά. Γιατὶ γνώρισμα τοῦ φιλόκαλου εἶναι ἡ μεγαλοπρέπεια, ἐνῶ ἐκείνου ποὺ καλλωπίζεται ἡ ἀνώφελη φροντίδα". Καὶ ὅτι αὐτὸ εἶναι ἀληθινό, ἀποδεικνύεται μὲ αὐτὰ ποὺ εἶπε ὁ Διογένης μὲ σαφήνεια. Βλέποντας δηλαδὴ κάποιον ἀνήλικο νέον, νὰ εἶναι στολισμένος μὲ τρόπο αἰσχρό, καὶ ὄχι κόσμιο γιὰ ἄνδρα, τοῦ εἶπε· "Ἐὰν βέβαια ἀποβλέπεις σὲ ἄνδρες, εἶσαι ἄτυχος, ἐὰν πάλι σὲ γυναῖκες, τὶς ἀδικεῖς". Ἐφόσον λοιπὸν οἱ μὴ χριστιανοὶ φρόντισαν γι᾽ αὐτὸ ποὺ πρέπει, γιατί δὲν ἔπρεπε ἐκεῖνος ὁ ἱερὸς καὶ ἀγαπητὸς στὸν Θεὸ ἄνδρας, ἀσκώντας τους στὴ φιλοσοφημένη ζωή, νὰ ἀπαγορεύσει κάθε στολισμὸ καὶ ἀνόητη πράξη καὶ καλλωπισμὸ τῶν ὑπηκόων του, καὶ νὰ νομοθετήσει τὴν κοσμιότητα καὶ σεμνότητα, μὲ τὶς ὁποῖες κατορθώνεται ἡ ἄριστη ζωή;

85.- ΣΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟ ΜΑΡΤΙΝΙΑΝΟ
Προτρεπτικὴ πρὸς ἀποχὴ ἀπὸ τὰ πάθη.

Λένε μερικοί, ὅτι εἶσαι ἀχόρταγος καὶ ἀνάλγητος ἐκμεταλλευτὴς σιτηρῶν, ὅτι παρακολουθεῖς τὶς εὐκαιρίες, ἐκμεταλλεύεσαι τὶς ἐλλείψεις καὶ καλλιεργεῖς τὶς συμφορές. Νὰ ξέρεις ὅμως, ὅτι ἀπὸ ἐκείνους βέβαια ἀποκλείεις τὴ δική σου εὐσπλαγχνία, ἀπὸ τὸν ἑαυτό σου ὅμως τὴ θεϊκή. Σκεπτόμενος λοιπόν, ὅτι οἱ ἄλλοι δὲν ἔχουν τόσο τὴ δική σου ἀνάγκη, ὅσο ἐσὺ ἔχεις τὴν ἀνάγκη τοῦ Θεοῦ, δεῖξε συμπόνια πρὸς τοὺς συγγενεῖς σου.

86.- ΣΤΟΝ ΒΙΒΛΙΟΦΟΡΟ ΛΕΟΝΤΙΟ
Συμβουλευτική.

Γνωστοποίησε μὲ λεπτομέρεια τοὺς στίχους τῶν βιβλίων ποὺ σοῦ

μετ' ἀκριβείας, ἵνα μὴ ἕρψασα λήθη, σοὶ μὲν ζημίαν, αὐτῷ δὲ ψῆφον ἀγνωμοσύνης ἐπαγάγῃ.

ΠΖ'.– ΛΕΟΝΤΙῼ ΕΠΙΣΚΟΠῼ
Περὶ φιλίας καὶ ἀγάπης.

Τὸ τῆς φιλίας προοίμιον καὶ ὁ τῆς ἀγάπης σπινθὴρ καὶ τὸ τρῶσαν ἀμφοτέρους, ἐμέ τε καὶ τὸν ἄριστον Εὐτόνιον, εἰς τὸν πρὸς ἀλλήλους πόθον τὸ μισοπόνηρόν ἐστιν ἦθος. Ἐπειδὴ γὰρ εἶδον αὐτὸν οὐ μόνον ὑπὲρ ἀρετῆς, ἀλλὰ καὶ ὑπὲρ τῶν φιλαρέτων ἡδέως κινδυνεύοντα, ἀπὸ τούτου καὶ τὴν λοιπὴν φιλοσοφίαν τἀνδρὸς ἰχνηλατήσας, ἐτρώθην πρὸς φιλίαν. Ἐπειδὴ δὲ καὶ σοφιστομανοῦντές τινες τὰ δόγματα τῆς εὐσεβείας λυμήνασθαι ἐμηχανῶντο, ἐνταῦθα φραξάμενοι τοῖς ἐκείνων ὅπλοις καὶ τοῖς συλλογισμοῖς πατάσσοντες, οὐ πρότερον ἀνήκαμεν, ἢ τελέως τρέψασθαι καὶ τὸ κράτος καθαρῶς ἀναδήσασθαι. Οὗτος δεύτερος ἡμῖν τῆς ἀγάπης οὐκ ἔτι σπινθήρ, ἀλλ' ἤδη πυρσὸς περιφανῶς ἐξήφθη καὶ παρέμεινε. Τοιοῦτος γὰρ τοῦ θείου ἔρωτος ὁ νόμος. Ὁ μὲν γὰρ σωματικός, ἅτε χαμαίζηλος ὢν (ἐπειδὴ ἀπὸ ῥευστῶν συνίσταται σωμάτων), ῥεύσει, καὶ δίκην ἀνθῶν μαραίνεται. Οὔτε γὰρ πῦρ μένει τῆς ὕλης τῆς τὴν ὑπόθεσιν τῇ φλογὶ δεδωκυίας ἀναλωθείσης, ἀλλὰ σὺν αὐτῇ συναπέρχεται, οὔτε πόθος ἵσταται μαραινομένου τοῦ ὑπεκκαύματος. Ὁ δὲ κατὰ Θεὸν καὶ σώφρων, ἐπειδὴ πράγματος ἑστῶτός ἐστι, διὰ τοῦτο καὶ μόνιμος, καὶ ὅσῳ τὸ κάλλος αὐτῷ τῆς ἀρετῆς φαντάζεται, τοσούτῳ ἑαυτῷ τε καὶ ἀλλήλοις συνδεῖ τοὺς τῶν αὐτῶν ἐραστάς.

ΠΗ'.– ΤῼΑΥΤῼ
Προτρεπτικὴ πρὸς τὸ ἀσφαλῶς μεταχειρίζεσθαι τοὺς οἴακας καὶ ἐξ οὐρίας πλέειν.

Εἰ καὶ εἰσί τινες, ὡς ἔφης, τῶν τὴν προστασίαν τῶν λαῶν ἀναδησαμένων, ἀπὸ μὲν τῆς τῶν πενήτων σκήψεως ἀρχόμενοι, εἰς δὲ τὸν ἴδιον χρηματισμὸν τελευτῶντες, ἀλλά γε αὐτὸς μὴ

ἔγραψα στὸν φίλο, γιὰ νὰ μὴ ὑπεισέλθει ἡ λήθη, καὶ προκαλέσει σὲ σένα βέβαια ζημιά, σὲ ἐκεῖνον ὅμως κατηγορία ἀγνωμοσύνης.

87.- ΣΤΟΝ ΕΠΙΣΚΟΠΟ ΛΕΟΝΤΙΟ
Γιὰ τὴ φιλία καὶ τὴν ἀγάπη.

Ἡ ἀρχὴ τῆς φιλίας καὶ ἡ σπίθα τῆς ἀγάπης, καὶ αὐτὸ ποὺ μᾶς πλήγωσε καὶ τοὺς δύο, ἐμένα καὶ τὸν ἄριστο Εὐτόνιο, στὸν πόθο μας μεταξύ μας, εἶναι ὁ τρόπος τῆς ζωῆς μας ποὺ μισεῖ τὸ κακό. Ἐπειδὴ δηλαδὴ τὸν εἶδα νὰ διακινδυνεύει μὲ εὐχαρίστηση, ὄχι μόνο γιὰ τὴν ἀρετή, ἀλλὰ καὶ γιὰ αὐτοὺς ποὺ εἶναι φίλοι τῆς ἀρετῆς, ἀπὸ αὐτό, ἀφοῦ ἀναζήτησα τὰ ἴχνη καὶ τῆς ἄλλης φιλοσοφικῆς διάθεσης τοῦ ἄνδρα, πληγώθηκα ἀπὸ τὴ φιλία του. Ἐπειδὴ ὅμως μερικοὶ μανιακοὶ σοφιστὲς σχεδίαζαν νὰ ἀτιμάσουν τὰ δόγματα τῆς πίστεως, ἀφοῦ τοὺς φράξαμε ἐδῶ μὲ τὰ δικά τους ὅπλα καὶ τοὺς πατάξαμε μὲ τοὺς συλλογισμούς, δὲν σταματήσαμε μέχρι ποὺ τοὺς μεταβάλαμε ὁριστικὰ καὶ ἐπιτύχαμε καθαρὰ τὴν ὑπεροχή. Αὐτὸς δεύτερος στὴ μεταξύ μας ἀγάπη, δὲν εἶναι πιὰ σπινθήρας, ἀλλὰ ἤδη φούντωσε σὲ ὁλοφώτεινο δαυλὸ καὶ παρέμεινε ἔτσι. Καθόσον τέτοιος εἶναι ὁ νόμος τοῦ θείου ἔρωτα. Γιατὶ ὁ σωματικός, ἐπειδὴ εἶναι χαμερπὴς (ἀφοῦ προέρχεται ἀπὸ ρευστὰ σώματα), ρέει σὰν τὸ νερὸ καὶ μαραίνεται σὰν τὰ ἄνθη. Οὔτε βέβαια καὶ ἡ φωτιὰ μένει, ὅταν ἐξαντληθεῖ ἡ ὕλη ποὺ ἔδωσε τὴν ἀφορμὴ στὴ φλόγα, ἀλλὰ μαζὶ μ᾽ αὐτὴν φεύγει καὶ ἐκείνη, οὔτε ὁ πόθος παραμένει, ὅταν μαρανθεῖ ἡ καύσιμη ὕλη. Ἀντίθετα ὁ κατὰ Θεὸν ἔρωτας, ὁ γεμᾶτος ἀπὸ σωφροσύνη, ἐπειδὴ ἀναφέρεται σὲ πρᾶγμα σταθερό, γι᾽ αὐτὸ εἶναι καὶ μόνιμος, καὶ ὅσο ἡ ὁμορφιὰ τῆς ἀρετῆς γίνεται φανερή, τόσο περισσότερο συνδέει μὲ τὸν ἑαυτό του καὶ μεταξύ τους ἐκείνους ποὺ εἶναι ἐραστὲς τῶν ἰδίων πραγμάτων.

88.- ΣΤΟΝ ΙΔΙΟ
Προτρεπτικὴ πρὸς χρησιμοποίηση μὲ ἀσφάλεια τοῦ πηδαλίου τῆς ζωῆς καὶ εὐνοϊκὴ πλεύση.

Ἂν καί, ὅπως εἶπες, ὑπάρχουν κάποιοι ποὺ ἔχουν ἀναλάβει τὴν προστασία τῶν λαῶν, ἀρχίζοντας βέβαια ἀπὸ τὴν πρόφαση τῶν φτωχῶν, ἀλλὰ τελειώνοντας στὸν δικό τους χρηματισμό., σὺ ὅμως μὴ

τοῖς ναναγοῦσι πρόσεχε, ἀλλὰ τοῖς τοὺς οἴακας ἀσφαλῶς μεταχειρίζουσι καὶ ἐξ οὐρίας πλέουσι.

ΠΘ'.– ΙΣΙΔΩΡΩ ΔΙΑΚΟΝΩ

Τὰς Ἑβδομάδας τοῦ Δανιὴλ πῶς ἑρμηνεύει.

Ἐπειδή, φιλόπονος ὢν καὶ φιλομαθής, ἠθέλησας μαθεῖν πῶς ἐξεπληρώθησαν αἱ παρὰ τῷ Δανιὴλ ἀναγεγραμμέναι ἑξήκοντα καὶ ἐννέα ἑβδομάδες τῶν ἐτῶν, αἱ ἀπὸ τῆς οἰκοδομῆς τῆς Ἰερουσαλὴμ ἀριθμούμεναι καὶ εἰς τὴν ἅλωσιν αὐτῆς τελευτῶσαι, ἴσθι, ὅτι οὐκ ἐπὶ Κύρου ᾠκοδομήθη, ἀλλὰ τῷ κ' ἔτει τῆς βασιλείας τοῦ Μακρόχειρος. Τότε γάρ, ὡς Ἔσδρας διηγεῖται, Νεεμίας ἐλθών, τὴν πόλιν ἔκτισε. Πῶς οὖν, ἔφης, ἑβδομήκοντα ἑβδομάδες συνετμήθησαν ἐπὶ τὸν λαόν σου καὶ ἐπὶ τὴν πόλιν τὴν ἁγίαν; Ὅτι ἐν μὲν τῇ ξθ', τοῦτ' ἔστι, τῷ τρίτῳ καὶ ὀγδοηκοστῷ καὶ τετρακοσιοστῷ ἔτει, ἀρχὴν ἔσχε ὁ πόλεμος, τῇ δ' ἑξῆς ἑβδομάδι τῶν ἐτῶν ἐτελεύτησε, συντελευτησάντων καὶ τῶν ἰουδαϊκῶν πραγμάτων. Εἰ δὲ λέγεις, Πῶς; ἰστέον, ὅτι, μετὰ τὸ κ' ἔτος τοῦ Μακρόχειρος ἕως τελευτήσει ἡ Περσικὴ βασιλεία, ἔτη διεγένοντο ἑκατὸν δέκα τρία, μεθ' ἣν ἡ Μακεδονικὴ διήρκεσεν ἕως ἐτῶν διακοσίων ἐνενήκοντα τεσσάρων, εἶτα ἡ Ῥωμαϊκή, Αὐγούστου μὲν βασιλεύοντος ἔτη τεσσαράκοντα τρία, Τιβερίου δὲ εἴκοσι δύο, Γαΐου τέσσαρα, Κλαυδίου ἑπτά. Τῷ γὰρ ὀγδόῳ αὐτοῦ ἔτει ἤρξατο Ἰουδαίοις ἡ τῶν πραγμάτων κίνησις, ἀφ' ἧς ὁ πρὸς Ῥωμαίους ἐξήφθη πόλεμος, ὁ τὴν ἅλωσιν ἀποτεκών. Ἐπὶ γὰρ Νέρωνος, τοῦ διαδεξαμένου Κλαύδιον, λαμπρῶς καὶ κατὰ κράτος πολεμηθέντες ὑπὸ Οὐεσπασιανοῦ, τὸ τηνικάδε Νέρωνι στρατηγοῦντος, ὕστερον δὲ βασιλεύσαντος, ἑάλωσαν.

Ϛ'.– ΖΩΣΙΜΩ ΠΡΕΣΒΥΤΕΡΩ

Προτρεπτικὴ πρὸς ἀλλαγὴν τρόπου ζωῆς.

Μανθάνω ὡς ἐπὶ μὲν τοῖς δοκοῦσιν ἐπονειδίστοις λίαν ἄχθῃ, ἐπὶ δὲ τοῖς ὄντως οὖσιν οὐ μόνον οὐ καταδύῃ, ἀλλὰ καὶ

προσέχεις αὐτοὺς ποὺ ναυαγοῦν, ἀλλ᾽ αὐτοὺς ποὺ χρησιμοποιοῦν μὲ ἀσφάλεια τὰ πηδάλια καὶ πλέουν μὲ εὐνοϊκὸ ἄνεμο.

89.- ΣΤΟΝ ΔΙΑΚΟΝΟ ΙΣΙΔΩΡΟ

Πῶς ἑρμηνεύονται οἱ «ἑβδομάδες» τοῦ Δανιήλ.

Ἐπειδή, ὄντας φιλόπονος καὶ φιλομαθής, θέλησες νὰ μάθεις πῶς συμπληρώθηκαν οἱ ἑξηνταεννιὰ ἑβδομάδες ποὺ εἶναι γραμμένες ἀπὸ τὸν Δανιήλ, καὶ οἱ ὁποῖες ἀρχίζουν νὰ μετριοῦνται ἀπὸ τὴν ἀνοικοδόμηση τῆς Ἱερουσαλήμ, καὶ τελειώνουν μὲ τὴν ἅλωσή της, γνώριζε ὅτι ἡ Ἱερουσαλὴμ ἀνοικοδομήθηκε ὄχι κατὰ τὴ διάρκεια τῆς βασιλείας τοῦ Κύρου, ἀλλὰ κατὰ τὸ εἰκοστὸ ἔτος τῆς βασιλείας τοῦ Μακρόχειρα. Γιατὶ τότε, ὅπως διηγεῖται ὁ Ἔσδρας, ἦρθε καὶ τὴν ἔκτισε ὁ Νεεμίας. Πῶς λοιπόν, εἶπες, συντμήθηκαν ἑβδομήντα ἑβδομάδες στὸν λαό σου καὶ στὴν ἁγία πόλη; Γιατὶ ὁ πόλεμος ἄρχισε στὶς ἑξηνταεννιά, δηλαδὴ τὸ ἔτος τετρακόσια ὀγδόντα τρία, καὶ στὰ ἑπόμενα ἑπτὰ χρόνια τελείωσε, καὶ μαζί του τελείωσαν καὶ τὰ ἰουδαϊκὰ πράγματα. Ἐὰν ὅμως ἐρωτᾶς· Πῶς; Πρέπει νὰ ξέρεις ὅτι μετὰ τὸ εἰκοστὸ ἔτος τῆς βασιλείας τοῦ Μακρόχειρα, μέχρι νὰ τελειώσει ἡ Περσικὴ βασιλεία, πέρασαν ἑκατὸν δέκα τρία χρόνια. Μετὰ ἀπὸ αὐτὴν ἀκολούθησε ἡ Μακεδονικὴ δυναστεία ποὺ διήρκησε περίπου διακόσια ἐνενήντα τέσσερα χρόνια. Ἔπειτα ἡ Ρωμαϊκή, κατὰ τὴν ὁποία βασίλευε ὁ Αὔγουστος σαράντα τρία χρόνια, μετὰ ὁ Τιβέριος εἴκοσι δύο χρόνια, στὴ συνέχεια ὁ Γάϊος τέσσερα χρόνια, καὶ ὁ Κλαύδιος ἑπτὰ χρόνια. Καὶ τὸν ὄγδοο χρόνο τοῦ Γαΐου ἄρχισε ἡ κινητοποίηση τῶν Ἰουδαίων, ἀπὸ τὴν ὁποία ἄρχισε ὁ πόλεμος αὐτῶν μὲ τοὺς Ρωμαίους, ποὺ ἔφερε τὴν ἅλωση τῆς Ἱερουσαλήμ. Γιατὶ ἐπὶ τὶς βασιλείας του Νέρωνα, ὁ ὁποῖος διαδέχθηκε τὸν Κλαύδιο, ἀφοῦ πολεμήθηκαν ἔνδοξα καὶ νικήθηκαν κατὰ κράτος ἀπὸ τὸν Βεσπασιανὸ (στρατηγὸς τότε ἦταν ὁ Νέρωνας, ὁ ὁποῖος ὕστερα ἔγινε βασιλιάς), κυριεύθηκαν.

90.- ΣΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟ ΖΩΣΙΜΟ

Προτρεπτικὴ πρὸς ἀλλαγὴ τρόπου ζωῆς.

Μαθαίνω πὼς γι᾽ αὐτὰ ποὺ θεωροῦνται ἀτιμωτικὰ στενοχωρεῖσαι πολύ, γιὰ ἐκεῖνα ὅμως ποὺ πραγματικὰ εἶναι ἀτιμωτικά, ὄχι μόνο δὲν

ἐναβρύνῃ. Τὸ μὲν ἐκ δούλου σε γεγενῆσθαι τοῦ πατρός, ὅπερ οὐκ ἔστι προαιρέσεως ὄνειδος, οὐδ' ἐν λόγῳ τίθεσθαι, ἀλλὰ τοσοῦτον καταγινώσκειν τῶν ἐπὶ τὴν ἀρετὴν παρακαλούντων, ὅσον ἔδει τῶν ἐπὶ τὴν ῥᾳθυμίαν ἀγόντων καταψηφίζεσθαι. Καὶ εἰ μὲν εἰς τοὺς ὑπηκόους ἐτέλεις, μάλιστα μὲν οὐδ' οὕτω καταφρονῆσαι ἐχρῆν, ἀλλὰ συμβουλαῖς καὶ παραινέσεσιν ἀνιμήσασθαί σε ἐκ τοῦ βυθοῦ τῆς κακίας, καὶ θέμις ἦν καὶ πρεπωδέστατον. Πλὴν ἀλλ' οὐ τοσαύτη ζημία τῇ Ἐκκλησίᾳ καὶ αἰσχύνη ἔμελλεν ἔσεσθαι. Ἐπειδὴ δὲ εἰς τοὺς ἱερέας δοκεῖς τελεῖν (τὸ δ' ὅπως παρίημι, οὐ γὰρ πλῆξαί σε, ἀλλ' ἰάσασθαι προῄρημαι), οὐδὲ τοὺς ἐθέλοντας ἡσυχάζειν καὶ ἠρεμεῖν συγχωρεῖς. Πολλοὶ γὰρ Ἕλληνες καὶ Ἰουδαῖοι τῇ Ἐκκλησίᾳ ἐπιφύονται ὀνειδίζοντες, καὶ τὸν σὸν βίον προφέροντες, καὶ διὰ τούτου τῷ δόγματι λυμαίνεσθαι νομίζοντες. Εἰ τοίνυν τὴν κρίσιν οὐ δέδοικας, κἂν τῆς παρούσης ἀντιποίησαι δόξης, εἰ βασιλείας οὐκ ἐρᾷς, κἂν ὑπολήψεως χρηστῆς ἐράσθητι, εἰ στεφάνων οὐκ ἐπιθυμεῖς, κἂν ὀνείδων ἀπαλλάγηθι, εἰ ἀναρρήσεως οὐ φροντίζεις, κἂν μὴ τοῦ κωμῳδεῖσθαι ἀντιποιήθητι, εἰ τὴν ἀκοίμητον δίκην οὐ φρίττεις, κἂν τοὺς τῶν ἀνθρώπων νόμους φοβήθητι, μήποτε καὶ ἐπ' αὐτοφώρῳ ληφθείς, τὴν ἐσχάτην ὑπομείνῃς τιμωρίαν.

ϛΑ'.– ΘΕΟΦΙΛΩ ΥΠΟΔΙΑΚΟΝΩ
Ἐγκωμιαστική.

Τιμόθεος, ὁ τὴν τῶν ἀγαθῶν ἁπάντων κατάρρυτον λῆξιν, βασιλείαν οὐρανῶν προσαγορευομένην, νυνὶ νεμόμενος, τοσαύτην ἀπὸ τῆς ἀρετῆς τοῖς ὁρῶσιν ἐδημιούργει ὠφέλειαν, ὡς καὶ ἀπὸ μνήμης μόνον σωφρονίζει τοὺς μνημονεύσαντας. Ἥρκει γάρ, καὶ μόνον ἐλθὼν εἰς ἔννοιαν, αἰδῶ συνεισπέμψαι καὶ τῶν ἀτόπων παθῶν ἀχράντους τοὺς μνησθέντας ἐργάζεσθαι.

κρύβεσαι ἀπὸ ντροπή, ἀλλὰ καὶ καμαρώνεις. Τὸ ὅτι βέβαια γεννήθηκες ἀπὸ δοῦλο πατέρα, πρᾶγμα ποὺ δὲν ἀποτελεῖ μομφὴ τῆς προαίρεσης, σύτε κὰν τὸ ἀναφέρεις, ἀλλὰ τόσο πολὺ καταδικάζεις αὐτοὺς ποὺ προτρέπουν στὴν ἀρετή, ὅσο ἔπρεπε νὰ καταδικάζεις αὐτοὺς ποὺ ὁδηγοῦν στὴ ραθυμία. Καὶ ἂν βέβαια ἀνῆκες στοὺς ὑποτελεῖς, δὲν θὰ ἔπρεπε ὁπωσδήποτε οὔτε καὶ ἔτσι νὰ περιφρονεῖσαι, ἀλλὰ ἔπρεπε μὲ συμβουλὲς καὶ παραινέσεις νὰ ἀνασυρθεῖς ἀπὸ τὸν βυθὸ τῆς κακίας, πρᾶγμα ποὺ καὶ σωστὸ θὰ ἦταν καὶ τὸ πλέον πρέπον. Πλὴν ὅμως δὲν θὰ γινόταν καὶ τόσο μεγάλη ζημιὰ καὶ ντροπὴ στὴν Ἐκκλησία. Ἐπειδὴ ὅμως νομίζεις ὅτι συγκαταλέγεσαι μεταξὺ τῶν ἱερέων (ἀντιπαρέρχομαι βέβαια τὸ μὲ ποιὸν τρόπο, γιατὶ δὲν θέλω νὰ σὲ πληγώσω, ἀλλὰ πρόθεσή μου εἶναι νὰ σὲ θεραπεύσω), δὲν ἀφήνεις καὶ ἐκείνους ποὺ θέλουν νὰ ἠρεμήσουν καὶ νὰ ἡσυχάσουν. Γιατὶ πολλοὶ Ἕλληνες καὶ Ἰουδαῖοι ἐμφανίζονται νὰ χλευάζουν τὴν Ἐκκλησία, καί, προβάλλοντας τὴ δική σου ζωή, νομίζουν ὅτι βλάπτει τὴ διδασκαλία της. Ἐὰν λοιπὸν δὲν φοβᾶσαι τὴν κρίση, ἀντάλλαξέ την ἔστω καὶ μὲ τὴν τωρινὴ δόξα. Ἐὰν δὲν ἀγαπᾶς τὴ βασιλεία, ἀγάπησε τοὐλάχιστον τὴν καλὴ ἐκτίμηση. Ἐὰν δὲν ἐπιθυμεῖς τὰ στεφάνια, ἀπαλλάξου τοὐλάχιστον ἀπὸ τὶς ντροπές. Ἐὰν δὲν φροντίζεις γιὰ τὰ ὑψηλὰ ἀξιώματα, φρόντισε τουλάχιστον νὰ μὴ διακωμωδεῖσαι. Ἐὰν δὲν τρέμεις τὴν αἰώνια καταδίκη, φοβήσου τοὐλάχιστον τοὺς ἀνθρώπινους νόμους, μὴ τυχὸν συλληφθεῖς καμμιὰ φορὰ ἐπ' αὐτοφώρω, καὶ ὑποστεῖς τὴν ἔσχατη τιμωρία.

91.- ΣΤΟΝ ΥΠΟΔΙΑΚΟΝΟ ΘΕΟΦΙΛΟ
Ἐγκωμιαστική.

Ὁ Τιμόθεος, ὁ ὁποῖος αὐτὴ τὴ στιγμὴ ἀπολαμβάνει τὴν κατάμεστη ἀπὸ ὅλα τὰ ἀγαθὰ κατάληξη, ποὺ ὀνομάζεται βασιλεία τῶν οὐρανῶν, τόσο μεγάλη ὠφέλεια προκαλοῦσε μὲ τὴν ἀρετή του σὲ ἐκείνους ποὺ τὸν ἔβλεπαν, ὥστε καὶ μόνο μὲ τὴν ἀνάμνησή του νὰ συνετίζει ἐκείνους ποὺ τὸν θυμοῦνταν. Γιατὶ ἦταν ἀρκετὸ καὶ μόνο νὰ ἔρθει στὴ σκέψη τους, γιὰ νὰ τοὺς προκαλέσει ντροπή, καὶ νὰ καταστήσει καθαροὺς ἀπὸ τὰ παράλογα πάθη ἐκείνους ποὺ τὸν ἔφερναν στὴ μνήμη τους.

ϛΒ΄.– ΩΦΕΛΕΙΩ ΓΡΑΜΜΑΤΙΚΩ
Περὶ ὁμωνύμων καὶ συνωνύμων.

Παρὰ μὲν ὑμῖν τοῖς γραμματικοῖς τὸ ὁμώνυμον ταὐτόν ἐστι τῷ συνωνύμῳ, παρὰ δὲ τοῖς φιλοσόφοις οὐχί, ἀλλ᾽ ὁμώνυμα λέγεται, ὧν ὄνομα μόνον κοινόν, ὁ δὲ κατὰ τοὔνομα λόγος τῆς οὐσίας ἕτερος, συνώνυμα δὲ ὅσα καὶ πράγματι καὶ τρόπῳ καὶ ὀνόματι συντρέχει. Ἀλλ᾽ ἐπειδή, ἄμοιρος ὢν τῶν τοιούτων μαθημάτων καὶ ἀγύμναστον ἔχων τὸν νοῦν, ἠξίωσας ἐπὶ γραφικῶν ῥήσεων τὰς ἐννοίας ταύτας μεταρρυθμισθῆναι, ὡς ἂν οἷός τε ᾖ πειράσομαι λαμπράν σοι ἀνοῖξαι τῶν νοημάτων τὴν θύραν. Ἡ ἔρευνα ἐν ταῖς ἱεραῖς Γραφαῖς λέγεται καὶ ἐπὶ Θεοῦ καὶ ἐπὶ ἀνθρώπων, ἀλλ᾽ ἐπὶ μὲν Θεοῦ τὸ ἀκριβὲς τῆς γνώσεως μηνύει, ἐπὶ δ᾽ ἀνθρώπων τὸ μετὰ πόνου καὶ βασάνου εὑρίσκεσθαι τὸ ζητούμενον. Ἔνθα τοίνυν τοὔνομα τοῦτο κεῖται καὶ ἐπὶ Θεοῦ καὶ ἐπὶ ἀνθρώπου, ὁμωνυμεῖ, οὐ συνωνυμεῖ, οἷον τό, «Ἐρευνᾶτε τὰς Γραφάς», τῷ περὶ τοῦ Θεοῦ εἰρημένῳ· «Ὁ δὲ ἐρευνῶν τὰς καρδίας, οἶδε τί τὸ θέλημα τοῦ Πνεύματος», ὁμωνυμεῖ μέν, οὐ συνωνυμεῖ δέ. Τὸ δέ, «Ὁ ἐρευνῶν τὰς καρδίας», τῷ, «Τὸ δὲ Πνεῦμα πάντα ἐρευνᾷ, καὶ τὰ βάθη τοῦ Θεοῦ», συνωνυμεῖ, τῷ καὶ ἐπὶ τοῦ Πατρὸς καὶ ἐπὶ τοῦ ἁγίου Πνεύματος τὴν ἀκριβεστάτην γνῶσιν δηλοῦσθαι. Οἶμαι μὲν οὖν σεσαφηνίσθαι τὸ νόημα.

Εἰ δὲ καὶ ἐπ᾽ ἄλλου ὀνόματος τοῦτο γυμνασθῆναι βούλει, καὶ τοῦτο ποιήσω. Τὸ «ἀγαθὸν» λέγεται μὲν ἐπὶ Θεοῦ καὶ ἐπ᾽ ἀνθρώπων, ἀλλ᾽ ὁμωνυμίαν ἐμφαίνει. Τὸ γὰρ «ὁ ἀγαθὸς ἄνθρωπος», τῷ, «Ὡς ἀγαθὸς τῷ Ἰσραήλ», ὁμωνυμεῖ, τὸ δέ, «Ὡς ἀγαθὸς ὁ Θεὸς τῷ Ἰσραήλ», τῷ, «Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ», συνωνυμεῖ. Οὐ γὰρ ὀνόματός ἐστιν ἐνταῦθα κοινωνία, ἀλλὰ καὶ πράγματος. Καὶ ὁ «θυμὸς» δ᾽ ἐπὶ Θεοῦ λεγόμενος καὶ ἐφ᾽ ἡμῶν, οὐ συνωνυμεῖ, ἀλλ᾽ ὁμωνυμεῖ. Ἐπὶ μὲν γὰρ Θεοῦ μηνύει τὴν ἀπαθῶς ἐπιπεμπομένην τοῖς ἁμαρτάνουσι τιμωρίαν, ἐπὶ δὲ ἡμῶν τὴν ἐμπαθῆ κίνησιν καὶ

56α. Ἰω. 5, 39. 57. Ρωμ. 8, 27. 58. Α΄ Κορ. 2, 10.

92.– ΣΤΟΝ ΓΡΑΜΜΑΤΙΚΟ ΩΦΕΛΙΟ
Γιὰ τὰ ὁμώνυμα καὶ τὰ συνώνυμα.

Γιὰ σᾶς βέβαια τοὺς γραμματικοὺς τὸ ὁμώνυμο εἶναι ἴδιο μὲ τὸ συνώνυμο, γιὰ τοὺς φιλοσόφους ὅμως δὲν εἶναι, ἀλλὰ ὁμώνυμα λέγονται ἐκεῖνα ποὺ ἔχουν μόνο τὸ ὄνομα ἴδιο, ἐνῶ ἡ ἀντιστοιχία τοῦ ὀνόματος ὡς πρὸς τὴν οὐσία εἶναι ἄλλη, ἐνῶ συνώνυμα εἶναι αὐτὰ ποὺ συνυπάρχουν καὶ στὸ ἀντικείμενο καὶ στὴ συμπεριφορὰ καὶ στὸ ὄνομα. Ἐπειδὴ ὅμως, ὄντας ἄμοιρος τέτοιων γνώσεων καὶ ἔχοντας ἀγύμναστο τὸ νοῦ σου, ζήτησες νὰ μεταφέρω τὶς ἔννοιες αὐτὲς σ' αὐτὰ ποὺ λένε οἱ γραφές, ὅσο μπορέσω θὰ προσπαθήσω νὰ σοῦ ἀνοίξω διάπλατα τὴν πόρτα τῶν ἐννοιῶν. Ἡ ἔρευνα στὶς ἅγιες Γραφὲς λέγεται καὶ γιὰ τὸν Θεὸ καὶ γιὰ τοὺς ἀνθρώπους, ἀλλὰ σχετικὰ μὲ τὸν Θεὸ δηλώνει τὴν ἀκριβῆ γνώση, ἐνῶ σχετικὰ μὲ τοὺς ἀνθρώπους, τὸ ὅτι αὐτὸ ποὺ ζητοῦμε βρίσκεται μὲ κόπο καὶ δοκιμασία. Ὅπου λοιπὸν τὸ ὄνομα αὐτὸ ἀποδίδεται καὶ στὸν Θεὸ καὶ στὸν ἄνθρωπο, δηλώνει ὁμωνυμία, ὄχι συνωνυμία. Ὅπως γιὰ παράδειγμα τό, «Νὰ ἐρευνᾶτε τὶς Γραφές»[56A], μὲ αὐτὸ ποὺ ἔχει εἰπωθεῖ γιὰ τὸν Θεό, «Ἐκεῖνος ὅμως ποὺ ἐρευνᾶ τὶς καρδιές, γνωρίζει ποιὸ εἶναι τὸ θέλημα τοῦ Πνεύματος», εἶναι βέβαια ὁμώνυμο, ἀλλὰ ὄχι καὶ συνώνυμο. Ἐνῶ τό, «Αὐτὸς ποὺ ἐρευνᾶ τὶς καρδιές»[57], μὲ τό, «Τὸ Πνεῦμα ὅμως τὰ ἐρευνᾶ ὅλα, ἀκόμα καὶ τὰ βάθη τοῦ Θεοῦ»[58], εἶναι συνώνυμα, ἐπειδὴ δηλώνουν ὅτι ἡ ἀκριβέστατη γνώση ἀνήκει στὸν Πατέρα καὶ στὸ ἅγιο Πνεῦμα. Νομίζω λοιπὸν πὼς ἔχει ἀποσαφηνισθεῖ τὸ νόημα τους.

Ἐὰν ὅμως θέλεις νὰ ἀποδειχθεῖ αὐτὸ καὶ μὲ ἄλλο ὄνομα, θὰ τὸ κάνω καὶ αὐτό. Τὸ «ἀγαθὸ» λέγεται καὶ γιὰ τὸν Θεὸ καὶ γιὰ τοὺς ἀνθρώπους, ἀλλὰ φανερώνει ὁμωνυμία. Τό, «ὁ ἀγαθὸς ἄνθρωπος», δηλαδὴ μὲ τό, «Πόσο ἀγαθὸς εἶναι ὁ Θεὸς γιὰ τὸν Ἰσραήλ»[59], εἶναι ὁμώνυμα, ἐνῶ τό, «Πόσο ἀγαθὸς εἶναι ὁ Θεὸς γιὰ τὸν Ἰσραήλ»[59], μὲ τό, «Τὸ Πνεῦμα σου τὸ ἀγαθὸ θὰ μὲ ὁδηγήσει στὴν εὐθεῖα ὁδό»[60], εἶναι συνώνυμα. Γιατὶ ἐδῶ δὲν ὑπάρχει σχέση μόνο ὀνόματος, ἀλλὰ καὶ πραγματική. Ἀλλὰ καὶ ὁ «θυμός», ὅταν λέγεται γιὰ τὸν Θεὸ καὶ γιὰ μᾶς, δὲν εἶναι συνώνυμος, ἀλλὰ ὁμώνυμος. Γιατί, λεγόμενος γιὰ τὸν Θεὸ δηλώνει τὴν τιμωρία ποὺ στέλνεται χωρὶς πάθος σ' αὐτοὺς

59. Ψαλμ. 72, 1.

60. Ψαλμ. 142, 10.

τὴν τῶν λογισμῶν ταραχήν. Καὶ τό, «Πρόσθες ἀνομίαν ἐπὶ τῇ ἀνομίᾳ αὐτῶν», ὁμωνυμεῖ. Ὃ γὰρ λέγει, τοῦτ' ἐστίν· Ἐπίθες τιμωρίαν ἐπὶ τὴν ἁμαρτίαν αὐτῶν. Καὶ τό, «Εἴ τις τὸν ναὸν τοῦ Θεοῦ φθείρει, φθερεῖ τοῦτον ὁ Θεός», ὁμωνυμεῖ. Ὃ γὰρ λέγει, τοιοῦτόν ἐστιν· Εἴ τις μολύνει τὸν ναὸν τοῦ Θεοῦ, τιμωρηθήσεται ὑπ' αὐτοῦ.

ΚΓ'.– ΤΩ ΑΥΤΩ

Ὅτι τὸ ἀγαθὸν κατὰ φύσιν μὲν τῷ Θεῷ ἐστιν, ἡμῖν δὲ κατ' ἄσκησιν καὶ προκοπήν.

Τὸ ἀγαθὸν μὲν Θεὸν ἔχει κατὰ φύσιν οὐκ ἀβούλητον, ἀλλὰ προαιρετικήν, οὐδὲ βιαίαν, ἀλλ' ἑκούσιον, ἡμεῖς δὲ κατὰ ἄσκησιν καὶ προκοπὴν ἀναλαμβάνομεν. Οὐκ ἀναφαίρετον ἔχοντες τοῦτο, ὥσπερ ἡ θεία φύσις, ἀλλὰ μεταπίπτον, εἰ ῥᾳστώνης ἔρως ἀχορεύτως χορεύσειεν.

ΚΔ'.– ΤΩ ΑΥΤΩ

Εἰς τὸ εἰρημένον, «Προφήτην ὑμῖν ἀναστήσει Κύριος ὁ Θεός».

Εἰπὲ τῷ πρὸς σὲ διενεχθέντι Ἰουδαίῳ, καὶ μηδὲν μὲν γενναῖον, μηδὲ νεανικὸν φράσαντι, ἀγυρτικὰς δὲ λογοποιίας ἐμέσαντι καὶ φήσαντι περὶ τοῦ παιδὸς Ναυῆ εἰρῆσθαι τό· «Προφήτην ὑμῖν ἀναστήσει ὁ Θεὸς ἐκ τῶν ἀδελφῶν ὑμῶν ὡς ἐμέ», ὅτι, Κατὰ πολλὰ πλημμελεῖς, καὶ νοῶν οὐχ ὑγιῶς, καὶ φεύγων τὸ μαθεῖν, καὶ κρύπτων τὰ μείζονα ἢ κατὰ Μωσέα. Εἴρηται γάρ· «Αὐτοῦ ἀκούσεσθε κατὰ πάντα, ὅσα ἂν ἐντείληται. Ἔσται δὲ ψυχή, ἥτις, ἂν μὴ ἀκούσῃ τοῦ προφήτου ἐκείνου, ἐξολοθρευθήσεται ἀπὸ τοῦ λαοῦ αὐτῆς». Πρῶτον μὲν γὰρ μετὰ τὴν χειροτονίαν ἐκείνου ταῦθ' ὁ Μωσῆς ἔνθους γενόμενος ἐθέσπισε. Δεύτερον, ὅτι, εἰ μὲν ὁ τοῦ Ναυῆ παῖς ὑπερέβη τὸν Μωσέα, πιθανὸν μὲν ἦν τὸ λεγόμενον, οὐκ ἀληθὲς δέ, εἰ δὲ πολλῷ αὐτοῦ

---

61. Ψαλμ. 68, 28.
62. Α' Κορ. 3, 17.
63. Δευτ. 18, 15.
64. Δευτ. 18, 18.

ποὺ ἁμαρτάνουν, ἐνῶ σ' ἐμᾶς τὴν ἐμπαθῆ κίνηση καὶ τὴν ταραχὴ τῶν λογισμῶν. Καὶ τό, «Πρόσθεσε παρανομία στὴν παρανομία τους»[61], εἶναι ὁμώνυμο. Γιατὶ αὐτὸ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· Πρόσθεσε τιμωρία πάνω στὴν ἁμαρτία τους. Καὶ τό, «Ἐὰν κάποιος καταστρέφει τὸν ναὸ τοῦ Θεοῦ, θὰ τὸν καταστρέψει ὁ Θεός»[62], εἶναι ὁμώνυμο. Γιατὶ αὐτὸ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· Ἐὰν κάποιος μολύνει τὸν ναὸ τοῦ Θεοῦ, θὰ τιμωρηθεῖ ἀπὸ αὐτόν.

93.- ΣΤΟΝ ΙΔΙΟ
Ὅτι τὸ ἀγαθὸ ὑπάρχει κατὰ φύση στὸν Θεό, ἐνῶ σὲ μᾶς μετὰ ἀπὸ ἄσκηση καὶ προκοπή.

Τὴν ἀγαθότητα ὁ Θεὸς τὴν ἔχει ἀπὸ τὴ φύση του, ὄχι χωρὶς νὰ τὴ θέλει, ἀλλὰ προαιρετική, οὔτε μὲ τὴ βία, ἀλλὰ μὲ τὴ θέλησή του, ἐνῶ ἐμεῖς τὴν ἀποκτοῦμε μὲ ἄσκηση καὶ συνεχῆ προκοπή. Καὶ αὐτὴν δὲν τὴν ἔχουμε ἀναφαίρετη, ὅπως ἡ θεία φύση, ἀλλὰ μεταβαλλόμενη, ἐὰν ὁ ἔρωτας τῆς ὀκνηρίας συμβεῖ νὰ ἐκδηλωθεῖ μέσα μας μὲ ἰδιαίτερα σκιρτήματα.

94.- ΣΤΟΝ ΙΔΙΟ
Στὴ ρήση· «Θὰ ἀναδείξει σὲ σᾶς προφήτη ὁ Κύριος καὶ Θεός»[63].

Πὲς στὸν Ἰουδαῖο ποὺ φιλονείκησε μαζί σου, χωρὶς βέβαια νὰ πεῖ κάτι τὸ σημαντικό, οὔτε δυναμικό, ἀλλὰ ξέρασε γεμᾶτες ψευδόλογα λογοποιίες, καὶ εἶπε ὅτι γιὰ τὸ υἱὸ τοῦ Ναυῆ εἰπώθηκε τό· «Θὰ ἀναδείξει προφήτη ὁ Θεὸς ἀπὸ σᾶς, ὅμοιον μὲ ἐμένα»[64]· Κάνεις μεγάλο σφάλμα, καὶ δὲν τὰ ἐννοεῖς σωστά, καὶ συνάμα ἀποφεύγεις νὰ μάθεις, καὶ κρύβεις τὰ μεγαλύτερα, καὶ τὰ λεγόμενά σου δὲν εἶναι σύμφωνα μὲ τὸν Μωυσῆ. Γιατὶ ἔχει λεχθεῖ· «Νὰ τὸν ἀκούσετε σὲ ὅλα ὅσα θὰ σᾶς διατάξει. Καὶ ὁ ἄνθρωπος ποὺ δὲν θὰ ἀκούσει τὸν προφήτη ἐκεῖνον, θὰ ἐξολοθρευθεῖ ἀπὸ τὸν λαό του»[65]. Πρῶτον λοιπόν, ὅτι αὐτὸ τὸ ἐθέσπισε ὁ Μωυσῆς μετὰ τὴ χειροτονία του ἐμπνευσμένος ἀπὸ τὸν Θεό. Δεύτερον, ἐὰν ὁ υἱὸς τοῦ Ναυῆ ξεπέρασε τὸν Μωυσῆ, αὐτὸ ποὺ λέγεται θὰ μποροῦσε νὰ εἶναι πιθανό, ἀλλ' ὄχι ἀληθινό. Ἐφόσον ὅμως

65. Δευτ. 18,19.

καταδεέστερος ἦν, ἀδρανὴς αὕτη ἡ ἔννοια φαίνεται. Τρίτον, ὅτι οὐδὲ προσέθηκέ τι τῷ νόμῳ, ἀλλὰ τοῖς ἐκείνου ἐπολιτεύετο θεσμοῖς. Τέταρτον, ἐχρῆν, εἴ γε περὶ αὐτοῦ ἦν ὁ λόγος, εἰπεῖν οὐκ «ἀναστήσει», ἀλλ' "ἀνέστησε". Πέμπτον, ὅτι ἔδει φρᾶσαι· "Ἔσται δὲ πᾶσα ψυχή, ἥτις, ἂν μὴ ἀκούσῃ τοῦ προφήτου τούτου". Τῷ δ' εἰπεῖν, «ἐκείνου», τοῦτον παρεγράψατο. Ἕκτον, πῶς πρὸς τὸν Ἰωάννην, μετὰ πολλὰς γενεὰς τεχθέντα, ἀπέστειλαν, πευσόμενοι, εἰ αὐτὸς εἴη ὁ προφήτης, κἀκεῖνος ἔφη, «Οὐκ εἰμι»; Προφήτης μὲν γὰρ ἦν, ὁ προφήτης δὲ οὐκ ἦν. Ἕβδομον, πῶς, τοῦ Σωτῆρος δεῦρο φοιτήσαντος, οἱ τὰ θαύματα θεώμενοι ἔλεγον, «Οὗτός ἐστιν ἀληθῶς ὁ προφήτης»; Συνοράτω οὖν πόσα αὐτῷ ἐναντιοῦνται, καὶ τὸν ἀληθῆ προγνώστην τε καὶ βασιλέα προσκυνείτω.

ϛΕ'.– ΙΣΙΔΩΡΩ ΔΙΑΚΟΝΩ

Εἰς τό, «Κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν».

Ἐπειδὴ ὁ σοφώτατος καὶ ὀξύτατος τὸ πολυθρύλητον πρόβλημα ἑρμηνευθῆναί σοι συντόμως, καὶ μὴ διὰ κύκλων τινῶν, παρεκάλεσας, θάτερον δὲ θατέρῳ ἀντίκειται. Τὸ μὲν γὰρ σαφὲς πολλῶν δεῖται λόγων, τὸ δὲ σύντομον ὀλίγων, ὡς ἂν οἷός τε ὦ, συγκεράσας τὴν σαφήνειαν τῇ συντομίᾳ, ἐπιστέλλω. Κρεῖττον μὲν ποιοῦσιν τῷ κρείττονι μέρει τοῦ ἀνθρώπου τὸ κρεῖττον παραβάλλοντες. Εἰ δ' ἀσαφὲς εἶναι δοκεῖ τὸ εἰρημένον, σαφέστερον εἰρήσεται. Ἄμεινον μὲν ποιοῦσι οἱ τῷ βελτίονι μέρει τἀνθρώπου, τοῦτ' ἔστι τῇ λογικῇ ψυχῇ, τὸ θεῖον ἐξεικονίζοντες. Οἱ γὰρ ἀνθρωπόμορφον αὐτὸ ἡγούμενοι, πάμπαν ἠλίθιοι, ἐπειδὴ τοῖς συγκαταβατικῶς εἰρημένοις περιπλέκονται, καὶ οὐδὲν θειότερον ἐννοεῖν ἀνέχονται. Πῶς γὰρ εἴρηται, «Ἐν σκέπῃ τῶν πτερύγων σου σκεπάσεις με», καί, «Ἑπτὰ ὀφθαλμοὶ Κυρίου ἐπιβλέποντες ἐπὶ πᾶσαν τὴν γῆν», τοῦ ἀνθρώπου μήτε πτέρυγας, μήθ' ἑπτὰ ὀφθαλμοὺς ἔχοντος; Πῶς δ' ὁ Παῦλος ἀπεφήνατο, μηδ' ἐνθυμήσεως ἀνθρώπου τὸ θεῖον ὅμοιον; Πῶς δ' ὁ

66. Ἰω. 1, 21.
67. Μάρκ. 11, 32.
68. Γεν. 1, 26.
69. Ψαλμ. 16, 8.

ἦταν πολὺ κατώτερος ἀπὸ αὐτόν, ἡ σκέψη αὐτὴ φαίνεται πολὺ ἀπίθανη. Τρίτον, ὅτι δὲν πρόσθεσε τίποτε στὸν νόμο, ἀλλὰ φερόταν σύμφωνα μὲ τοὺς νόμους ἐκείνου. Τέταρτον, ἔπρεπε, ἂν βέβαια ὁ λόγος γινόταν γι᾽ αὐτόν, νὰ μὴ πεῖ, «θὰ ἀναδείξει, ἀλλὰ "ἀνέδειξε". Πέμπτον, ὅτι ἔπρεπε νὰ πεῖ, "Κάθε ἄνθρωπος ποὺ δὲν θὰ ἀκούσει τὸν προφήτη αὐτόν", ἐνῶ λέγοντας «ἐκεῖνον», αὐτὸν τὸν διέγραψε. Ἕκτον, γιατί στὸν Ἰωάννη, ποὺ γεννήθηκε μετὰ ἀπὸ πολλὲς γενεές, ἔστειλαν γιὰ νὰ ρωτήσουν, ἐὰν αὐτὸς εἶναι ὁ προφήτης, καὶ ἐκεῖνος εἶπε, «Δὲν εἶμαι»[66]; Γιατὶ προφήτης βέβαια ἦταν, ἀλλὰ δὲν ἦταν ὁ προφήτης. Ἕβδομον, γιατί ὅταν ἦρθε ὁ Σωτήρας ἐδῶ, ἐκεῖνοι ποὺ ἔβλεπαν τὰ θαύματα ἔλεγαν, «Αὐτὸς εἶναι πραγματικὰ ὁ προφήτης»[67]; Ἂς ἐξετάσει λοιπὸν καλὰ πόσα εἶναι ἀντίθετα μὲ αὐτόν, καὶ ἂς προσκυνήσει τὸν ἀληθινὸ προφήτη καὶ βασιλιά.

95.– ΣΤΟΝ ΔΙΑΚΟΝΟ ΙΣΙΔΩΡΟ.

Στό· «Κατ᾽ εἰκόνα καὶ καθ᾽ ὁμοίωση»[68].

Ἐπειδή, σὺ ὁ σοφώτατος καὶ λαμπρότατος, μὲ παρακάλεσες νὰ σοῦ ἑρμηνεύσω τὸ πολυθρύλητο πρόβλημα μὲ συντομία καὶ σαφήνεια, καὶ χωρὶς περιστροφές, τὸ ἕνα ἀντίκειται στὸ ἄλλο. Γιατὶ τὸ σαφὲς χρειάζεται πολλὰ λόγια, ἐνῶ τὸ σύντομο λίγα. Ὅσο λοιπὸν μοῦ εἶναι δυνατό, συνδυάζοντας τὴ σαφήνεια μὲ τὴν συντομία, σοῦ ἀπαντῶ. Πάρα πολὺ καλὰ κάνουν, παραβάλλοντας τὸ ἀνώτερο πρὸς τὸ ἀνώτερο μέρος τοῦ ἀνθρώπου. Ἐὰν ὅμως αὐτὸ ποὺ εἰπώθηκε νομίζεις ὅτι εἶναι ἀσαφές, θὰ εἰπωθεῖ μὲ περισσότερη σαφήνεια. Ἐνεργοῦν κατὰ τὸν καλύτερο τρόπο αὐτοὶ ποὺ παριστάνουν τὸν Θεὸ μὲ τὸ ἀνώτερο μέρος τοῦ ἀνθρώπου, δηλαδὴ μὲ τὴ λογικὴ ψυχή. Γιατί, αὐτοὶ ποὺ τὸν θεωροῦν μὲ ἀνθρώπινη μορφή, εἶναι τελείως ἠλίθιοι, ἐπειδὴ τὸν περιπλέκουν μὲ αὐτὰ ποὺ λέγονται μὲ συγκατάβαση, καὶ δὲν ἀνέχονται νὰ σκεφτοῦν τίποτε τὸ πιὸ θεϊκό. Πῶς δηλαδὴ ἔχει λεχθεῖ, «Θὰ μὲ σκεπάσεις μὲ τὰ φτερά σου»[69], καί, «Ἑπτὰ μάτια τοῦ Κυρίου ἐπιβλέπουν σ᾽ ὁλόκληρη τὴ γῆ»[70], ἀφοῦ ὁ ἄνθρωπος οὔτε φτερά, οὔτε ἑφτὰ μάτια ἔχει; Καὶ πῶς ὁ Παῦλος δήλωσε, ὅτι ὁ Θεὸς δὲν εἶναι ὅμοιος μὲ τὰ ἐπινοήματα τοῦ ἀνθρώπινου νοῦ[71]; Πῶς ἐπίσης

70. Ζαχ. 4, 10.

71. Πράξ. 17, 29.

Ἡσαΐας εἶπεν, «Εἰ πάντα τὰ ἔθνη ὡς σταγὼν ἀπὸ κάδου καὶ ὡς σίελος ἐλογίσθησαν, ὁ δὲ Λίβανος οὐχ ἱκανὸς εἰς καῦσιν, καὶ πάντα τὰ τετράποδα οὐχ ἱκανὰ εἰς ὁλοκάρπωσιν, τίνι ὁμοιώσετε Κύριον;». Πῶς δὲ Μωσῆς, οὗ τὴν λέξιν κακούργως πειρῶνται ἑρμηνεύειν, ἔφησε, «Καὶ φυλάξεσθε σφόδρα ταῖς ψυχαῖς ὑμῶν, ὅτι οὐκ ἴδετε πᾶν ὁμοίωμα ἐν τῇ ἡμέρᾳ ᾗ ἐλάλησε πρὸς ὑμᾶς»;

Πλὴν οὐδ' ἐκεῖνοι τὸ ἀκριβές, ὥς γε ἡγοῦμαι, δογματίζουσιν. Ἀρχῆς γὰρ καὶ βασιλείας ἐστὶν εἰκὼν ὁ ἄνθρωπος, οὐκ οὐσίας, εἰ δ' εὖ πράξοι, καὶ ἀρετῆς. Εἰ γὰρ καὶ ἀθάνατον ὁριζόμεθα εἶναι τὴν νοερὰν ψυχήν, ἀλλ' οὐ τῆς θειοτάτης ἐκείνης καὶ ἀνάρχου φύσεως ὁμοούσιον, ἀλλὰ τοσοῦτον ἀπέχουσαν, ὅσον εἰκὸς κτίσμα τοῦ Κτίσαντος. Εἰ γὰρ ἡ ψυχὴ κατ' εἰκόνα, δηλονότι καὶ ἡ τῆς γυναικός. Τί οὖν δήποτε εἶπεν ὁ Παῦλος, «Ἀνὴρ μὲν γὰρ οὐκ ὀφείλει κατακαλύπτεσθαι τὴν κεφαλήν, εἰκὼν καὶ δόξα Θεοῦ ὑπάρχων, ἡ δὲ γυνὴ δόξα ἀνδρός ἐστι»; Τῆς γὰρ ψυχῆς τῆς γυναικός, ἀθανάτου καὶ ἀφθάρτου οὔσης, ὥσπερ καὶ τῆς τοῦ ἀνδρός, τί δήποτε μετὰ διορισμοῦ τινος τοῦτ' ἔφρασεν ὁ Παῦλος; Εἰ δὲ πρὸς ταῦτα ἀνθυπενέγκοιεν, ἀνθοπλίζοντος τὸν Μωσέα τῷ Παύλῳ, τό, «Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν», μάλιστα μὲν δυνατὸν εἰπεῖν, ὅτι ἐνικόν ἐστι τὸ εἰρημένον, καὶ οὐ περὶ ἀμφοτέρων εἴρηται, πλὴν οὐ λέξομεν. Εἰ δὲ τὸ ἑξῆς προαγάγοιεν τό, «καὶ ἀρχέτωσαν», πρὸς ἡμῶν ἔσται τὸ εἰρημένον. Δείκνυται γὰρ λαμπρῶς τὸ «κατ' εἰκόνα», ἐν τῷ ἀρχικῷ χαρακτηριζόμενον. Εἰ δ' εἴποιεν, Πῶς οὖν ὁ Παῦλος, τὸν μὲν εἰκόνα θείαν, τὴν δὲ τοῦ ἀνδρὸς ἀπεφήνατο; φήσομεν, ὅτι ἐξ ἀρχῆς ὁμότιμος ἦν ἡ γυνὴ καὶ τῆς αὐτῆς ἠξιοῦτο ἀρχῆς, ἐπειδὴ δ' ἔπταισεν, ἠλαττώθη καὶ ἠκρωτηριάσθη αὐτῆς ἡ ἀρχὴ καὶ ὑπὸ τὸν ἄνδρα γέγηται. Οὐκ ἤνεγκας, φησί, τὴν ἰσοτιμίαν, δέχου τὴν ἐλάττω-

72. Ἡσ. 40, 15.

ὁ Ἡσαΐας εἶπε, «Ἐὰν ὅλα τὰ ἔθνη θεωρήθηκαν σὰν σταγόνα ἀπὸ κάδο, καὶ σὰν σάλιο, καὶ ὁ Λίβανος δὲν φτάνει γιὰ κάψιμο, καὶ ὅλα τὰ τετράποδα δὲν ἀρκοῦν γιὰ θυσία, μὲ τί θὰ ἐξομοιώσετε τὸν Κύριο;»[72]. Πῶς πάλι ὁ Μωυσῆς, τοῦ ὁποίου τὴν λέξη προσπαθοῦν νὰ ἑρμηνεύσουν μὲ τρόπο κακοῦργο, εἶπε, «Καὶ νὰ φυλάξετε πάρα πολὺ καλὰ τὶς ψυχές σας, γιατὶ δὲν εἴδατε κανένα ὁμοίωμα κατὰ τὴν ἡμέρα ἐκείνη ποὺ μίλησε σὲ σᾶς»;

Ὡστόσο οὔτε καὶ ἐκεῖνοι, ὅπως νομίζω, διδάσκουν τὴν ἀκρίβεια. Γιατὶ ὁ ἄνθρωπος εἶναι εἰκόνα ἐξουσίας καὶ βασιλείας, καὶ ὄχι οὐσίας, καὶ ἐὰν ὁ τρόπος ζωῆς του εἶναι καλός, εἶναι καὶ εἰκόνα ἀρετῆς. Γιατί, ἂν καὶ χαρακτηρίζουμε τὴ νοερὴ ψυχὴ ἀθάνατη, ὅμως δὲν εἶναι ὁμοούσια μὲ ἐκείνη τὴν θεϊκώτατη καὶ χωρὶς ἀρχὴ φύση, ἀλλὰ ἀπέχει τόσο πολὺ ἀπὸ ἐκείνην, ὅσο εἶναι φυσικὸ νὰ ἀπέχει τὸ κτίσμα ἀπὸ τὸν Κτίστη. Γιατί, ἂν ἡ ψυχὴ εἶναι κατ' εἰκόνα Θεοῦ, εἶναι φανερὸ πὼς καὶ ἡ ψυχὴ τῆς γυναίκας εἶναι κατ' εἰκόνα τοῦ Θεοῦ. Τότε λοιπὸν γιατί ὁ Παῦλος εἶπε, «Ὁ ἄνδρας δὲν πρέπει νὰ καλύπτει τὸ κεφάλι του, ἐπειδὴ εἶναι εἰκόνα τῆς δόξας τοῦ Θεοῦ, ἐνῶ ἡ γυναίκα εἶναι δόξα τοῦ ἄνδρα»[73]; Ἀφοῦ δηλαδὴ ἡ ψυχὴ τῆς γυναίκας εἶναι ἀθάνατη καὶ ἄφθαρτη, ὅπως καὶ ἡ ψυχὴ του ἄνδρα, γιατί τέλος πάντων τὸ εἶπε αὐτὸ ὁ Παῦλος μὲ κάποια διάκριση; Ἐὰν ὅμως σ' αὐτὰ ἀντιπροβάλουμε, ὁπλίζοντας τὸν Μωυσῆ ἐναντίον τοῦ Παύλου, τό, «Ἂς κάνουμε τὸν ἄνθρωπο σύμφωνα μὲ τὴ δική μας εἰκόνα καὶ μὲ τὴ δυνατότητα νὰ γίνει ὅμοιός μας»[74], εἶναι δυνατὸν βέβαια νὰ ποῦμε, ὅτι αὐτὸ ποὺ εἰπώθηκε εἶναι σὲ ἑνικὸ ἀριθμό, καὶ δὲν εἰπώθηκε καὶ γιὰ τοὺς δύο, ἀλλ' ὅμως δὲν θὰ τὸ ποῦμε. Ἐὰν ὅμως προσθέσουμε καὶ τὸ λεγόμενο στὴ συνέχεια, «νὰ ἐξουσιάζουν», εἶναι ὑπὲρ ἡμῶν αὐτὸ ποὺ εἰπώθηκε. Γιατὶ φαίνεται καθαρά, ὅτι τὸ «κατ' εἰκόνα» ἀναφέρεται στὸ πρῶτο δημιούργημα. Ἐὰν ὅμως ποῦν, Πῶς λοιπὸν ὁ Παῦλος τὸν ἕνα τὸν χαρακτηρίζει εἰκόνα θεία, ἐνῶ τὴ γυναίκα εἰκόνα τοῦ ἄνδρα; θὰ ποῦμε, ὅτι ἀπὸ τὴν ἀρχὴ ἡ γυναίκα ἦταν ἰσότιμη καὶ εἶχε τὴν ἴδια ἐξουσία, ἐπειδὴ ὅμως ἔφταιξε, ἐλαττώθηκε καὶ ἀκρωτηριάσθηκε ἡ ἐξουσία της, καὶ ὑποτάχθηκε στὸν ἄνδρα. Δὲν ἀνέχθηκες, λέγει, τὴν

73. Α΄ Κορ. 11, 7.
74. Γεν. 1, 26.

σιν. «Πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου, καὶ αὐτός σου κυριεύσει».

Ὥστε ἡ μὲν κοσμοποιία τὴν πρὸ τῆς ἁμαρτίας τῆς γυναικὸς δηλοῖ ἀρχήν, τὸ δ' ἀποστολικὸν λόγιον τὴν μετὰ τὸ πταῖσμα ὑποταγήν. Ὅτι δὲ τῷ κεχειροτονῆσθαι πάντων τῶν ἐπιγείων ἄρχοντα τὸν ἄνθρωπον τὸ «κατ' εἰκόνα» σώζεται, ἄκουσον τοῦ Μελωδοῦ τὰς θείας δέλτους καὶ τὰς βασιλικὰς συλλαβὰς ἑρμηνεύοντος καὶ φράζοντος· «Δόξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτόν, καὶ κατέστησας αὐτὸν ἐπὶ πάντα τὰ ἔργα τῶν χειρῶν σου». Ὥσπερ γὰρ τὸ Θεῖον πάντων, οὕτω καὶ ὁ ἄνθρωπος τῶν ἐπὶ τῆς γῆς βασιλεύει. Ἔχει μὲν οὖν τὸ ἀρχικὸν σῶζον τὴν βασιλικὴν εἰκόνα. Τὸ «καθ' ὁμοίωσιν», εἰ μὴ δοκοίη τισὶν ἐκ παραλλήλου λέγεσθαι, ὡς τό, «Ἐὰν δὲ ἐκομήθην καὶ ὤπνωσα», καὶ τό, «Μακάριος ὁ συνιὼν ἐπὶ πτωχὸν καὶ πένητα», οὕτως ἑρμηνευτέον, ὅτι τὴν ἀρχὴν αὐτῷ ἐνεχείρησεν ὁ Θεός, ἵν' ἐπιδείξηται τὴν ἀρετὴν καὶ σώσῃ τὴν ὁμοιότητα. Ἐδέξω, φησί, τὴν τιμήν, δεῖξον τὴν ἀρετήν, ἵνα τὸ μὲν τῇ δημιουργίᾳ, τὸ δὲ τῇ προαιρέσει τοῦ δημιουργηθέντος ἀνακέηται. Καὶ τάχα τοῦτο δηλοῖ τὸ ἐξ ἀρχῆς μὲν εἰρῆσθαι, «Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν», ὕστερον δέ, «Καὶ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον, κατ' εἰκόνα Θεοῦ ἐποίησεν αὐτόν», οὐ προστεθέντος τό, «καθ' ὁμοίωσιν», ἢ ὡς τὸ αὐτὸ ἐμφαινούσης τῆς λέξεως, ὡς ἔφθην εἰπών, ἀναρτηθείσης τῆς ἀρετῆς, ἵν' ᾖ τοιοῦτον τὸ εἰρημένον. «Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν», ἵν' ἐκ προαιρέσεως γένηται τὸ καθ' ὁμοίωσιν. Διὸ πρὸ μὲν τῆς δημιουργίας ἀμφότερα εἶπε, μετὰ δὲ τὴν δημιουργίαν θάτερον. Ὁ μονογενὴς γοῦν Θεὸς ἐπιδημήσας φησί· «Γίνεσθε ὅμοιοι τοῦ Πατρὸς ὑμῶν τοῦ ἐν τοῖς οὐρανοῖς», ὡς τῆς μὲν δημιουργίας τὸ «κατ' εἰκόνα» σωζούσης, τῆς δὲ προαιρέσεως τὸ «καθ' ὁμοίωσιν».

75. Γεν. 3, 16.
76. Ψαλμ. 8, 6-7.
77. Ψαλμ. 3, 6.
78. Ψαλμ. 40, 2.

ἰσοτιμία, δέξου τὴν ἐλάττωση. «Θὰ ἐξαρτᾶσαι ἀπὸ τὸν ἄνδρα σου, καὶ αὐτὸς θὰ εἶναι κύριός σου»[75].

Ὥστε ἡ δημιουργία τοῦ κόσμου ἀναφέρεται στὴν πρὶν ἀπὸ τὴν ἁμαρτία τῆς γυναίκας ἀρχή, ἐνῶ ὁ ἀποστολικὸς λόγος στὴν μετὰ τὴν ἁμαρτία ὑποταγὴ τῆς γυναίκας. Ὅτι ὅμως μὲ τὴν τοποθέτηση τοῦ ἀνθρώπου ὡς ἀρχηγοῦ ὅλων τῶν ἐπιγείων διασώζεται τὸ «κατ' εἰκόνα», ἄκουσε τὸν Ψαλμωδό, ὁ ὁποῖος ἑρμηνεύει τὰ θεῖα βιβλία καὶ τὶς βασιλικὲς ἐντολὲς καὶ λέγει· «Τὸν στεφάνωσες μὲ δόξα καὶ τιμή, καὶ τὸν ἔκανες βασιλιὰ ὅλων τῶν δημιουργημάτων ποὺ εἶναι ἔργα τῶν χεριῶν σου»[76]. Ὅπως δηλαδὴ ὁ Θεὸς εἶναι βασιλιὰς ὅλων, ἔτσι καὶ ὁ ἄνθρωπος εἶναι βασιλιὰς ὅλων τῶν ἐπιγείων. Ἔχει λοιπὸν τὸ ἀξίωμα τοῦ ἀρχηγοῦ, τὸ ὁποῖο διασώζει τὴν βασιλικὴ εἰκόνα. Τὸ «καθ' ὁμοίωσιν», ἔστω καὶ ἂν μερικοὶ νομίζουν ὅτι δὲν λέγεται παράλληλα, ὅπως τό, «Ἐὰν κοιμήθηκα καὶ ἔπεσα σὲ ὕπνο βαθύ»[77], καὶ τό, «Εἶναι μακάριος αὐτὸς ποὺ κατανοεῖ τὴ θέση τοῦ φτωχοῦ καὶ ἐκείνου ποὺ τὰ στερεῖται ὅλα»[78], πρέπει νὰ ἑρμηνεύεται ὡς ἑξῆς· ὅτι ὁ Θεὸς τοῦ ἔδωσε τὴν ἐξουσία, γιὰ νὰ ἐπιδείξει τὴν ἀρετὴ καὶ νὰ διασώσει τὴν ὁμοιότητα πρὸς αὐτόν. Δέχθηκες, λέγει, τὴν τιμή, δεῖξε καὶ τὴν ἀρετή, ὥστε τὸ πρῶτο νὰ προέρχεται ἀπὸ τὴ δημιουργία, ἐνῶ τὸ δεύτερο ἀπὸ τὴν προαίρεση αὐτοῦ ποὺ δημιουργήθηκε. Καὶ ἴσως αὐτὸ νὰ σημαίνει ἐκεῖνο ποὺ εἰπώθηκε στὴν ἀρχή, «Ἂς δημιουργήσουμε τὸν ἄνθρωπο σύμφωνα μὲ τὴ δική μας εἰκόνα, καὶ μὲ τὴ δυνατότητα νὰ γίνει ὅμοιός μας»[79], καὶ ὕστερα, «Καὶ δημιούργησε ὁ Θεὸς τὸν ἄνθρωπο σύμφωνα μὲ τὴ δική του εἰκόνα», χωρὶς νὰ προστεθεῖ καὶ τό· «καθ' ὁμοίωσιν», ἡ ἐπειδὴ ἡ λέξη σήμαινε τὸ ἴδιο μὲ τὴν προηγούμενη, ὅπως εἶπα παραπάνω, ἀπὸ τὸ ὁποῖο ἐξαρτήθηκε ἡ ἀρετή, ὥστε αὐτὸ ποὺ εἰπώθηκε νὰ σημαίνει· «Ἂς δημιουργήσουμε ἄνθρωπο σύμφωνα μὲ τὴ δική μας εἰκόνα», ὥστε μὲ τὴν προαίρεσή του νὰ γίνει ὅμοιος μὲ μᾶς. Γι' αὐτὸ τὰ εἶπε βέβαια καὶ τὰ δύο πρὶν ἀπὸ τὴ δημιουργία, ἀλλὰ τὸ ἕνα ἀναφερόταν στὰ μετὰ τὴ δημιουργία. Ὁ μονογενὴς λοιπὸν Θεὸς ὅταν ἦρθε, εἶπε· «Γίνεσθε ὅμοιοι μὲ τὸν οὐράνιο Πατέρα μου»[80], ἐπειδὴ ἡ δημιουργία διασώζει τὸ «κατ' εἰκόνα», ἐνῶ ἡ προαίρεση τὸ «καθ' ὁμοίωση».

79. Γεν. 1, 26.

80. Ματθ. 5, 48.

Εἰ δὲ φαῖεν, Πῶς οὖν, εἴ γε τὴν ἀρχὴν πάντων τὴν ἐπὶ γῆς εἴληφεν ὁ ἄνθρωπος, τὰ θηρία δέδοικε; παρεὶς ἐκείνην τὴν ἀπολογίαν, εἴτε ἀληθὴς εἴη, εἴτε μή, ἣν τινες ἔφασαν, ὅτι ἐν ταῖς θείαις δέλτοις ἡ ἀρχὴ τῶν θηρίων οὐκ ἐνέκειτο, ἀλλ' ὕστερον παρά τινων προσετέθη, ἐξ εὐθείας τὴν ἀπολογίαν ποιήσομαι. Ὅτι ἐξ ἀρχῆς μὲν αὐτῷ, ὅτε ἔλαμπεν ἡ εἰκών, πάντα ὑπέκειτο (διὸ καὶ ὀνόματα αὐτοῖς ἐπέθηκεν), ἐπειδὴ παρήκουσεν, ἠκρωτηριάσθη αὐτοῦ εἰκότως ἡ ἀρχή, καὶ πάσης μὲν οὐκ ἐξεβλήθη (ἵνα μὴ ἔωλος ἡ χάρις εὑρεθῇ), ἠκρωτηριάσθη δέ. Οὐ γὰρ δίκαιον ἦν τὸν ἡττηθέντα, καὶ στεφανωθῆναι, ἀλλὰ φόβῳ τῶν θηρίων σωφρονισθῆναι. Ὅτι δὲ τοῦτ' ἐστὶν ἀληθές, ὅτε ὁ Νῶε τὴν εἰκόνα ταύτην ἀνεκάθηρε, τῷ δικαιοσύνην ἀσμενίσαι, ἦλθε πρὸς αὐτὸν πάντα τὰ θηρία, τὴν ἀρχαίαν δουλείαν ὁμολογοῦντα, καὶ μονονουχὶ τὸν ἐξ ἀρχῆς ἁμαρτόντα, καὶ μέρος τῆς ἀρχῆς ἀπολέσαντα, καταμεμφόμενα. Καὶ τὸν Δανιὴλ δὲ οἱ λέοντες ἠδέσθησαν, καὶ τὸ πῦρ τοὺς παῖδας τοὺς τρεῖς, καὶ ἡ ἔχις τὸν Παῦλον οὐδὲν ἔβλαψε. Δι' ὧν οὖν ἀνενεώσαντο τὴν προγονικὴν ἀρχήν, δῆλός ἐστι κἀκεῖνος εἰληφὼς μὲν ὁλόκληρον, ἐκ μέρους δ' ἀπολέσας. Καὶ ταῦτ' παρ' ἡμῶν. Εἰ δέ τις ἔχοι βέλτιον λέγειν, καὶ λεγέτω καὶ ἀκουέσθω.

ΚΣ'.– ΠΑΥΛΩ

Περὶ τῶν τεχνῶν, καὶ δὴ τῆς τῶν λόγων τέχνης.

Πᾶσαι μὲν αἱ τέχναι ταῖς ἐν μελέταις συγκροτοῦνται καὶ μείζους γίνονται, ταῖς δ' ἀργίαις ἀπόλλυνται, μάλιστα δὲ ἡ τῶν λόγων δύναμις. Θεραπευομένη μὲν γὰρ καὶ ἀρδευομένη, μεγίστη γίνεται, ἀμελουμένη δὲ ῥᾳδίως ἀποφοιτᾷ καὶ ἀφίπταται. Ὅτου δὲ χάριν ταῦτα λέγω, ἴσως οὐκ ἀγνοεῖς, ὁ τὴν θείαν σοφίαν καὶ τὴν τῆς ἀρετῆς ἐργασίαν δίκαιος ὢν ταῖς προσθήκαις αὔξειν καὶ μείζους καθιστᾶν.

---

81. Γεν. 7, 8.
82. Βὴλ καὶ Δράκων 31 ἑ.

Ἐὰν ὅμως ποῦν· Πῶς λοιπόν, ἐφόσον ὁ ἄνθρωπος ἔλαβε τὴν ἐξουσία ὅλων τῶν ἐπιγείων, φοβᾶται τὰ θηρία; Παραβλέποντας τὴ δικαιολογία, εἴτε εἶναι ἀληθινὴ εἴτε ὄχι, ποὺ εἶπαν μερικοί, ὅτι στὶς ἅγιες Γραφὲς δὲν ἀναφερόταν ἡ ἐξουσία τῶν θηρίων, ἀλλὰ προστέθηκε ὕστερα ἀπὸ κάποιους, θὰ προσθέσω ἀμέσως τὴν ἀπάντηση. Ὅτι δηλαδὴ ἀπὸ τὴν ἀρχή, ὅταν σ' αὐτὸν ἔλαμπε ἡ εἰκόνα τοῦ Θεοῦ, ὅλα ὑποτάσσονταν (γι' αὐτὸ καὶ ἔδωσε σ' αὐτὰ τὰ ὀνόματα), ὅταν ὅμως ἔκανε τὴν παρακοή, δικαιολογημένα ἀκρωτηριάσθηκε ἡ ἐξουσία του, καὶ βέβαια δὲν ἐξέπεσε ἀπὸ ὅλη τὴν ἐξουσία (γιὰ νὰ μὴ ματαιωθεῖ ἡ χάρη), ἀλλ' ὅμως ἀκρωτηριάσθηκε. Γιατὶ δὲν ἦταν σωστὸ αὐτὸς ποὺ νικήθηκε καὶ νὰ στεφανωθεῖ, ἀλλὰ μὲ τὸν φόβο τῶν θηρίων νὰ σωφρονισθεῖ. Ὅτι βέβαια αὐτὸ εἶναι ἀληθινό, φάνηκε ἀπὸ τότε ποὺ ὁ Νῶε ξανακαθάρισε τὴν εἰκόνα αὐτὴν μὲ τὸ ὅτι ἐξευμένισε τὴ δικαιοσύνη, καὶ πῆγαν κοντά του ὅλα τὰ θηρία[81], ὁμολογώντας τὴν ἀρχαία ὑποταγή, καὶ κατὰ κάποιο τρόπο κατηγορώντας ἐκεῖνον ποὺ ἀπὸ τὴν ἀρχὴ ἁμάρτησε καὶ ἔχασε ἕνα μέρος τῆς ἐξουσίας. Ἀλλὰ καὶ τὸν Δανιὴλ τὸν σεβάσθηκαν τὰ λιοντάρια[82], καὶ ἡ φωτιὰ τοὺς τρεῖς παῖδες[83], καὶ ἡ ὀχιὰ δὲν ἔβλαψε τὸν Παῦλο[84]. Μὲ αὐτὰ λοιπὸν μὲ τὰ ὁποῖα ἀνανέωσαν τὴν προγονικὴ ἐξουσία, εἶναι φανερό, ὅτι καὶ ἐκεῖνος ποὺ τὴν ἔλαβε ὁλόκληρη, κατὰ ἕνα μέρος τὴν ἔχασε. Καὶ αὐτὰ βέβαια ἀπὸ μᾶς. Ἐὰν ὅμως κάποιος ἔχει νὰ πεῖ κάτι καλύτερο, καὶ ἂς τὸ πεῖ, καὶ θὰ ἀκουσθεῖ.

96.- ΣΤΟΝ ΠΑΥΛΟ

Γιὰ τὶς τέχνες, καὶ μάλιστα γιὰ τὴν τέχνη τῶν λόγων.

Ὅλες βέβαια οἱ τέχνες καλλιεργοῦνται μὲ τὶς μελέτες καὶ γίνονται καλύτερες, ἐνῶ μὲ τὶς ἀργίες χάνονται, ἰδιαίτερα μάλιστα ἡ δύναμη τοῦ λόγου. Γιατὶ ὅταν καλλιεργεῖται καὶ ποτίζεται γίνεται πάρα πολὺ μεγάλη, ἐνῶ ὅταν παραμελεῖται εὔκολα ἀπομακρύνεται καὶ χάνεται. Γιὰ ποιὸ λόγο τὰ λέγω τώρα αὐτά, ἴσως δὲν τὸ ἀγνοεῖς, σὺ ὁ ὁποῖος τὴ θεία σοφία καὶ τὴν ἄσκηση τῆς ἀρετῆς πρέπει μὲ προσθῆκες νὰ τὶς αὐξήσεις καὶ νὰ τὶς κάνεις μεγαλύτερες.

---

83. Δαν. 3,21 ἑ. 84. Πράξ. 28,3 ἑ.

ϛΖ'.– ΖΩΣΙΜΩ
Προτρεπτικὴ πρὸς ἀλλαγὴν τρόπου ζωῆς.

Πρεσβύτερον ὄντα σε διὰ τὴν ἡλικίαν καὶ καλούμενον διὰ τὴν χειροτονίαν, φασὶ νεωτερίζειν τοῖς τρόποις, καὶ πάντα ἀκμάζοντα ἀποκρύπτειν, πράττοντα, λόγῳ μὲν αἰδοῦμαι λέγειν, αὐτὸς δ' οὐκ οἶδ' ὅπως πράττειν οὐκ ἐρυθριᾷς. Εἰ τοίνυν ἀληθεύουσιν, ἀρίστην κἂν ἐπὶ γήρως δεῖξον μεταβολήν, ἵνα κἀκεῖνοι, παυσάμενοι τῶν κωμῳδιῶν, παλινῳδίαν ᾄσοιεν.

ϛΗ'.– ΣΤΡΑΤΗΓΙΩ ΜΟΝΑΧΩ
Ἐπαινετική.

Ἤσθην ὑπερφυῶς πυθόμενος τὴν σὴν ἐπὶ τὸ κρεῖττον προκοπήν, καὶ τοὺς φίλους συνησθῆναι παρεσκεύασα, τὴν εὐκταιοτάτην αὐτοῖς καὶ ἐρασμιωτάτην εὐαγγελισάμενος ἀκοήν. Εἰ τοίνυν βούλει ἡμᾶς μὲν ἐπὶ πλεῖον πανηγυρίζειν (ἥδιον γὰρ τὰς σὰς ἑορτάζομεν εὐδοκιμήσεις), σαυτῷ δὲ κλέος οὐρανόμηκες κατασκευάσαι, μὴ παύσοιο ταῦτα θηρώμενος, ἃ καὶ παρὰ Θεῷ εὐδόκιμον, καὶ παρὰ ἀνθρώποις ἀοίδιμόν σε παρασκευάσει.

ϛΘ'.– ΕΡΜΟΓΕΝΕΙ ΕΠΙΣΚΟΠΩ
Περὶ ἐσφαλμένης κρίσεως.

Οἱ τῷ κανόνι τοὺς μὴ κανόνας προσάγοντες, καὶ διὰ τοῦτο τὸν καὶ τοὺς ἄλλους κανονίσαι δίκαιον ὄντα δοκιμάζοντες, οὔ μοι δοκοῦσι τὴν κρίσιν τῶν πραγμάτων ἔχειν ὀρθήν. Ἐπειδὴ γὰρ ἐκακώθησαν τὸ λογιστικὸν τῆς ψυχῆς δι' ἑκουσίας νόσου, σφάλλονται λοιπὸν καὶ περὶ τὴν κρίσιν τῶν πραγμάτων. Τὸ γοῦν δικαίῳ καὶ ἀνδρείῳ καὶ τοῖς ἁμαρτάνουσι φοβερῷ, τῦφον καὶ ὀφρῦν ἐπιφημίζουσι, διὰ τούτου πᾶσι τοῖς τῆς ἀρετῆς ἐρασταῖς τὸν εἰς αὐτὴν δρόμον ἐγκόψαι μηχανώμενοι. Τῇ γὰρ σύνεγγυς κακίᾳ τὴν ἀρετὴν ὀνομάζειν τολμῶσιν. Οὐκοῦν μεμφέσθωσαν οἱ τοιοῦτοι καὶ τῷ λέοντι, ὅτι βλοσυρὸν καὶ βασιλι-

97.- ΣΤΟΝ ΖΩΣΙΜΟ

Προτρεπτικὴ πρὸς ἀλλαγὴ τρόπου ζωῆς.

Ἂν καὶ εἶσαι πρεσβύτερος λόγω ἡλικίας, καὶ ὀνομάζεσαι λόγω τῆς χειροτονίας, λένε ὅτι ἀκολουθεῖς νέους τρόπους ζωῆς, καὶ ὅτι, ἐνῶ κάνεις ὅλα τὰ νεωτεριστικά, τὰ ἀποκρύβεις, καὶ ἐνῶ ἐγὼ μὲ λόγια ντρέπομαι νὰ τὰ πῶ, σύ, δὲν ξέρω πῶς, ἐνῶ τὰ κάνεις, δὲν κοκκινίζεις. Ἐὰν λοιπὸν ἀληθεύουν, ἔστω καὶ στὰ γερατειά σου δεῖξε μεταμέλεια, ὥστε καὶ ἐκεῖνοι, ἀφοῦ παύσουν τὶς διακωμωδήσεις, νὰ γιορτάσουν τὴν ἐπιστροφή σου.

98.- ΣΤΟΝ ΜΟΝΑΧΟ ΣΤΡΑΤΗΓΙΟ

Ἐπαινετική.

Χάρηκα ὑπερβολικὰ μαθαίνοντας τὴν πρόοδό σου πρὸς τὸ καλύτερο, ποὺ ἔκανα καὶ τοὺς φίλους νὰ χαροῦν μαζί σου, κάνοντάς τους γνωστὴ τὴν εὐχάριστη ἀγγελία ποὺ εὔχονταν καὶ ἐπιθυμοῦσαν πολύ. Ἐὰν λοιπὸν θέλεις νὰ πανηγυρίζουμε περισσότερο (γιατὶ μὲ μεγάλη εὐχαρίστηση γιορτάζουμε τὶς προόδους σου), ἀλλὰ καὶ στὸν ἑαυτό σου νὰ ἑτοιμάσεις δόξα οὐράνια, νὰ μὴ πάψεις νὰ ἐπιδιώκεις αὐτά, ποὺ καὶ στὸν Θεὸ θὰ σὲ κάνουν ἀποδεκτό, καὶ στοὺς ἀνθρώπους ἀείμνηστον.

99.- ΣΤΟΝ ΕΠΙΣΚΟΠΟ ΕΡΜΟΓΕΝΗ

Γιὰ τὴν ἐσφαλμένη κρίση.

Αὐτοὶ ποὺ στὸν κανόνα προσθέτουν καὶ αὐτοὺς ποὺ δὲν εἶναι κανόνες, καὶ γι᾽ αὐτὸ προσπαθοῦν νὰ κάνουν καὶ τοὺς ἄλλους κανονικούς, δὲν μοῦ φαίνονται ὅτι ἔχουν ὀρθὴ κρίση γιὰ τὰ πράγματα. Γιατί, ἐπειδὴ ἔχουν πάθη βλάβη στὸ λογιστικὸ τῆς ψυχῆς, λόγω ἑκούσιας νόσου, κάνουν λάθος καὶ ὡς πρὸς τὴν ἐκτίμηση τῶν πραγμάτων. Ἔτσι λοιπὸν στὸν δίκαιο καὶ ἀνδρεῖο, ποὺ εἶναι φοβερὸς σ᾽ ἐκείνους ποὺ ἁμαρτάνουν, αὐτοὶ ἀποδίδουν ἀλαζονεία καὶ ὑπεροψία, ἐπιδιώκοντας μὲ αὐτὸ νὰ κόψουν σ᾽ ὅλους τοὺς ἐραστὲς τῆς ἀρετῆς τὸν δρόμο πρὸς αὐτήν. Τολμοῦν δηλαδὴ νὰ λένε, ὅτι ἡ ἀρετὴ βρίσκεται κοντὰ στὴν κακία. Λοιπὸν ἂς κατηγορήσουν αὐτοὶ καὶ τὸ λιοντάρι, ἐπειδὴ βλέπει κατὰ τρόπο βλοσυρὸ καὶ βασιλικό, καὶ ὄχι σὰν πίθηκος,

κόν, καὶ οὐ πιθήκειον, βλέπει, καὶ τοὺς μίμους τῶν γελοίων ἀποδεχέσθωσαν, ὅτι γέλωτα κινοῦσιν ἄτοπον.

Ρ΄.– ΜΑΡΩΝΙ ΠΡΕΣΒΥΤΕΡΩ

Ὅτι οὐ τοῖς ἀδικουμένοις, ἀλλὰ τοῖς ἀδικοῦσιν ἐπικρέμαται ὁ κίνδυνος.

Οὐ τοῖς ἀδικουμένοις, ὦ βέλτιστε, ἀλλὰ τοῖς ἀδικοῦσιν ἐπικρέμαται ὁ κίνδυνος ἅπας, οὓς καὶ ἀγωνιᾶν καὶ τρέμειν δίκαιον. Εἰ δὲ ταῦτα οὕτως ἔχει, οὐ τὸ ἀδικεῖσθαι κακόν, ἀλλὰ τὸ ἀδικεῖν καὶ τὸ μὴ εἰδέναι φέρειν ἀδικούμενον.

ΡΑ΄.– ΤΩ ΑΥΤΩ

Ὅτι οὐ τὸ πένεσθαι ἐπονείδιστον, ἀλλὰ τὸ μὴ φέρειν εὐγενῶς τὴν πενίαν.

Εἴρηται καλῶς τινι τῶν ἔξωθεν οὐ τὸ πένεσθαι ἐπονείδιστον, ἀλλὰ τὸ μὴ φέρειν εὐγενῶς τὴν πενίαν. Εἰ τοίνυν κακείνῳ τοῦτο εὖ καὶ καλῶς ἔδοξεν, ἐπὶ πενίᾳ μὴ αἰσχυνώμεθα, ἀλλὰ μηδ' ὄνειδος ταύτην ἡγώμεθα, ἀλλ' ἐπὶ τὴν κακίαν μετενέγκωμεν τοῦτον τὸν φόβον.

ΡΒ΄.– ΘΕΟΔΩΡΩ ΣΧΟΛΑΣΤΙΚΩ

Περὶ τῶν ἐγκωμίων τῶν ἀγαθῶν ἀνδρῶν καὶ τῆς τύχης.

Ἐπειδὴ πολλοὺς τῶν ἀγαθῶν ἀνδρῶν ἐγκωμιάζων, καὶ τύχης μέμνησαι, ἡδέως ἄν σου πυθοίμην, πῶς οἷόν τε ἀμφότερα συνελθεῖν. Ὁ μὲν γὰρ ἔπαινος πρὸς τὴν προαίρεσιν βλέπει, ἡ δὲ τύχη ἐγκωμιάζεσθαι τὸν ἀγαθὸν οὐκ ἐπιτρέπει, μακαρίζεσθαι δὲ οὐ κωλύει. Πάμπολυ γὰρ καὶ καθ' ὑμᾶς τοὺς τὰ Ἑλλήνων πρεσβεύοντας μακαρισμὸς ἐπαίνου διενηνόχει. Ὁ μὲν γὰρ ἐκ τῆς τύχης, ὁ δὲ ἐκ τῆς προαιρέσεως τίκτεται. Γράψον τοιγαροῦν μοι, ὦ σοφέ, πῶς τῷ ἐπαινουμένῳ ὁ τῆς τύχης ἁρμόττει λόγος, ἢ πῶς τῷ ὑπὸ τῆς τύχης τοιούτῳ, ὥς φατε, γενομένῳ ἐγκώμιον πρέπει. Θάτερον γὰρ θατέρῳ μάχεται. Εἰ μὲν γὰρ ἄκων τοιοῦτός ἐστι, μὴ ἐπαινείσθω, εἰ δ' ἑκών, ἡ τύχη

καὶ ἂς κάνουν ἀποδεκτοὺς αὐτοὺς ποὺ μιμοῦνται τοὺς γελοίους, ἐπειδὴ προκαλοῦν ἀηδιαστικὸ γέλιο.

100.- ΣΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟ ΜΑΡΩΝΑ

Ὅτι ὁ κίνδυνος ἀπειλεῖ ὄχι αὐτοὺς ποὺ ἀδικοῦνται, ἀλλὰ ἐκείνους ποὺ ἀδικοῦν.

Ὁ κίνδυνος, φίλε μου, δὲν ἀπειλεῖ αὐτοὺς ποὺ ἀδικοῦνται, ἀλλὰ ἐκείνους ποὺ ἀδικοῦν, οἱ ὁποῖοι πρέπει νὰ ἔχουν καὶ ἀγωνία καὶ νὰ τρέμουν. Ἐφόσον λοιπὸν αὐτὰ ἔτσι εἶναι, κακὸ δὲν εἶναι τὸ νὰ ἀδικεῖται κάποιος, ἀλλὰ τὸ νὰ ἀδικεῖ, καὶ νὰ μὴ γνωίζει νὰ τὸ ὑποφέρει ἀδικούμενος.

101.- ΣΤΟΝ ΙΔΙΟ

Ὅτι δὲν εἶναι ἀξιόμεμπτη ἡ φτώχεια, ἀλλὰ τὸ νὰ μὴ ὑποφέρει κανεὶς μὲ εὐγένεια τὴ φτώχεια.

Ἔχει εἰπωθεῖ ἀπὸ κάποιον ἀπὸ τοὺς μὴ χριστιανούς, ὅτι ἡ φτώχεια δὲν εἶναι ντροπή, ἀλλὰ τὸ νὰ μὴ ὑπομένουμε τὴ φτώχεια μὲ εὐγένεια. Ἐὰν λοιπὸν καὶ σ' ἐκεῖνον αὐτὸ φάνηκε ὅτι εἶναι καλό, νὰ μὴ ντρεπόμαστε γιὰ τὴ φτώχεια μας, οὔτε καὶ νὰ τὴν θεωροῦμε προσβολή, ἀλλὰ τὸν φόβο αὐτὸν νὰ τὸν μεταφέρουμε γιὰ τὴν κακία.

102.- ΣΤΟΝ ΣΧΟΛΑΣΤΙΚΟ ΘΕΟΔΩΡΟ

Γιὰ τὰ ἐγκώμια τῶν ἀγαθῶν ἀνδρῶν καὶ τὴν τύχη.

Ἐπειδή, ἐγκωμιάζοντας πολλοὺς καλοὺς ἄνδρες, ἀναφέρεις καὶ τὴν τύχη, εὐχαρίστως θὰ σὲ ρωτοῦσα γιὰ νὰ μάθω, πῶς εἶναι δυνατὸν αὐτὰ τὰ δύο νὰ συνυπάρχουν. Γιατὶ ὁ ἔπαινος ἀποβλέπει στὴν προαίρεση, ἐνῶ ἡ τύχη δὲν ἐπιτρέπει ὁ ἀγαθὸς νὰ ἐγκωμιάζεται, ἀλλὰ δὲν ἐμποδίζει νὰ μακαρίζεται. Γιατί, καὶ σύμφωνα μὲ σᾶς, ποὺ ἀποδέχεσθε τὰ τῶν Ἑλλήνων, ὁ μακαρισμὸς διαφέρει πάρα πολὺ ἀπὸ τὸν ἔπαινο. Γιατὶ ὁ ἕνας γεννιέται ἀπὸ τὴν τύχη, ἐνῶ ὁ ἄλλος ἀπὸ τὴν προαίρεση. Πές μου λοιπόν, σοφέ, πῶς ταιριάζει σ' αὐτὸν ποὺ ἐπαινεῖται, ὁ λόγος τῆς τύχης, ἢ πῶς σ' αὐτόν, πού, ὅπως λέτε, ἔγινε αὐτὸ ποὺ εἶναι ἀπὸ τὴν τύχη, ταιριάζει ἐγκώμιο. Γιατὶ τὸ ἕνα μάχεται τὸ ἄλλο. Ἂν δηλαδὴ χωρὶς νὰ τὸ θέλει εἶναι αὐτὸς ποὺ εἶναι, νὰ μὴν ἐπαι-

χώραν μὴ ἐχέτω. Εἰ τρόπαιον ἔστησε καὶ ἀνακηρυττέσθω, εἰ δὲ ἡ τύχη τοῦτο κατώρθωσε, μὴ ἀπολαυέτω ἐπαίνων. Εἰ ἠγωνίσατο, στεφανούσθω, εἰ δὲ οὐκ ἠγωνίσατο, μὴ ἐπαινείσθω.

ΡΓ΄.– ΕΡΜΟΓΕΝΕΙ ΕΠΙΣΚΟΠΩ

Περὶ τῆς τῶν Ζωσίμου τε καὶ Χαιρήμονος καὶ Μάρωνος ὕβρεώς τε καὶ ἀσελγείας.

Εἰ μέν, ὡς βίᾳ ἀνείρξων τὴν ὕβριν καὶ τὴν ἀσέλγειαν Ζωσίμου τε καὶ Χαιρήμονος καὶ Μάρωνος, ὑπαντιάσαι αὐτοῖς προῄρησαι, πολλῆς σοι δεῖ καὶ τῆς παρασκευῆς καὶ τῆς ἄνωθεν συμμαχίας, εἰ δ' ὡς αὐτοβοεὶ περιεσόμενος, σαυτὸν ἀπατῶν λανθάνεις. Τοσαύτην γὰρ ἑαυτοῖς εἰσφέρουσι συμμαχίαν, ὅταν ἀγαθόν τινα ἄνδρα δέῃ ἀμύνασθαι, ὅσην κινοῦσι πρὸς ἑαυτοὺς ἅμιλλαν, ὅταν περὶ τῆς τῶν κακῶν πλεονεξίας ἀμφισβητῶσιν. Ἐν γὰρ τοῖς κοινοῖς συμβαίνοντες, ἐν τοῖς ἰδίοις διαφέρονται, καὶ ἀπρόσμαχον ἐπιδεικνύμενοι ῥώμην ἐν τῷ τὴν ἀρετήν, τόγε ἧκον εἰς αὐτούς, σβέσαι, ἐν τῇ περὶ τῶν πρωτείων ἁμίλλῃ ἄσπονδον πρὸς ἑαυτοὺς ἐγείρουσι πόλεμον.

ΡΔ΄.– ΑΝΤΙΟΧΩ

Ὅτι αἰσχρὸν τὸ νικᾶν ἐν οἷς χρὴ ἡττᾶσθαι, καὶ αἰσχρότερον τὸ ἡττᾶσθαι ἐν οἷς χρὴ νικᾶν.

Ὥσπερ ἐν οἷς χρὴ ἡττᾶσθαι, τὸ νικᾶν αἰσχρόν, οὕτως ἐν οἷς χρὴ νικᾶν, τὸ ἡττᾶσθαι αἰσχρότερον. Οὐ γὰρ ἐν πᾶσιν ἡ νίκη καλόν, ἀλλ' ἡ μὲν τὴν ὑπόθεσιν ἔχουσα καλὴν καὶ γενναίαν, ἀρίστη, ἡ δὲ καὶ αἰσχρὰν καὶ φαύλην, κακίστη. Οἷον (ἵν' ἀπὸ τῶν παρ' Ἕλλησιν ᾀδομένων τὴν ἀπόδειξιν ποιήσωμαι) ὁ μὲν πρὸς τοὺς ἀλλοφύλους πόλεμος καὶ νόμιμος εἶναι δοκεῖ καὶ ἀναγκαῖος, ὁ δὲ πρὸς τοὺς ὁμοφύλους καὶ παράνομος καὶ οὐδ' ἐγκωμίων ἀπολαύει ὁ τρεψάμενος. Τοσούτῳ γὰρ πλέον τῶν ἄλλων αἰσχύνεται, ὅσῳπερ ἂν πλέον τι τῶν ἄλλων ἐργάσηται.

νεῖται, ἐὰν ὅμως ἔγινε μὲ τὴ θέλησή του, ἡ τύχη δὲν πρέπει νὰ ἔχει θέση. Ἐὰν ἔστησε τρόπαιο, νὰ ἀνακηρύσσεται, ἐὰν ὅμως ἡ τύχη τὸ ἔκανε αὐτό, νὰ μὴ ἐπαινεῖται. Ἐὰν ἀγωνίσθηκε, νὰ στεφανώνεται, ἐὰν ὅμως δὲν ἀγωνίσθηκε, νὰ μὴ ἐπαινεῖται.

103.– ΣΤΟΝ ΕΠΙΣΚΟΠΟ ΕΡΜΟΓΕΝΗ
Γιὰ τὴν ὕβρη καὶ τὴν ἀσέλγεια τοῦ Χαιρήμονα, τοῦ Ζωσίμου καὶ τοῦ Μάρωνα.

Ἐὰν βέβαια ἀποφάσισες νὰ συναντήσεις τὸν Ζώσιμο καὶ τὸν Χαιρήμονα καὶ τὸν Μάρωνα μὲ σκοπὸ νὰ ἐμποδίσεις μὲ τὴ βία τὴν ἀκολασία καὶ ἀσέλγεια, χρειάζεσαι καὶ πολλὴ προετοιμασία, καὶ τὴ βοήθεια τοῦ Θεοῦ, ἂν ὅμως τὸ κάνεις γιὰ νὰ τοὺς σώσεις ἀπὸ αὐτὰ τὰ κακὰ μέσα σὲ μιὰ στιγμή, ἀπατᾶς τὸν ἑαυτό σου χωρὶς νὰ τὸ καταλαβαίνεις. Γιατὶ τόσο πολὺ συμμαχοῦν μεταξύ τους, ὅταν χρειάζεται νὰ ἀντιμετωπίσουν κάποιον ἀγαθὸν ἄνδρα, ὅση ἅμιλλα δείχνουν μεταξύ τους ὅταν ἔχουν ἀμφιβολία γιὰ τὴν πλεονεξία τῶν κακῶν. Γιατί, ἐνῶ στὰ κοινὰ συμβαδίζουν, στὰ ἰδιαίτερα διαφωνοῦν, καὶ δείχνοντας ἀκαταμάχητη δύναμη, προκειμένου νὰ σβήσουν τὴν ἀρετή, ὅσο βέβαια ἐξαρτᾶται ἀπὸ αὐτούς, στὴν ἅμιλλά τους γιὰ τὰ πρωτεῖα κάνουν ἀμείλικτο πόλεμο μεταξύ τους.

104.– ΣΤΟΝ ΑΝΤΙΟΧΟ
Ὅτι εἶναι αἰσχρὸ τὸ νὰ νικᾶ κανεὶς σὲ ἐκεῖνα ποὺ πρέπει νὰ νικιέται, καὶ αἰσχρότερο τὸ νὰ νικιέται σὲ ὅσα πρέπει νὰ νικᾶ.

Ὅπως σ᾽ ἐκεῖνα ποὺ πρέπει νὰ νικηθοῦμε, τὸ νὰ νικήσουμε εἶναι αἰσχρό, ἔτσι καὶ σ᾽ ἐκεῖνα ποὺ πρέπει νὰ νικᾶμε, τὸ νὰ ἡττηθοῦμε εἶναι πιὸ αἰσχρό. Γιατὶ δὲν εἶναι σὲ ὅλα καλὸ ἡ νίκη, ἀλλὰ ἐκείνη βέβαια ποὺ ἀφορᾶ ὑπόθεση καλὴ καὶ γενναία εἶναι ἄριστη, ἐνῶ ἐκείνη ποὺ ἀφορᾶ ὑπόθεση αἰσχρὴ καὶ ἀσήμαντη εἶναι κάκιστη. Γιὰ παράδειγμα (γιὰ νὰ παρουσιάσω τὴν ἀπόδειξη ἀπὸ αὐτὰ ποὺ λέγονται ἀπὸ τοὺς Ἕλληνες), ὁ πόλεμος πρὸς τοὺς ἀλλόφυλους, καὶ νόμιμος φαίνεται καὶ ἀναγκαῖος, ἐνῶ πρὸς τοὺς ὁμόφυλους καὶ παράνομος εἶναι καὶ δὲν ἐγκωμιάζεται αὐτὸς ποὺ νίκησε. Γιατὶ τόσο περισσότερο ἀπὸ τοὺς ἄλλους ντρέπεται, ὅσο κάτι περισσότερο ἀπὸ τοὺς ἄλλους κάνει. Γιατὶ

Ἐμφυλίου γὰρ πολέμου ἀργαλεώτερον οὐδέν. Εἰ τοίνυν ἔνθα σώματος ὁ θάνατος τοσαύτη ἐστὶν ἡ διαφορά, καίτοι μιᾶς οὔσης τῆς φύσεως, οἱ τοῖς μὲν δαίμοσιν ὑποκατακλινόμενοι, κατὰ δὲ τῶν ἀδελφῶν ὁπλιζόμενοι ἀνεκτὰ ποιεῖν δόξαιεν; Οὐκ ἔγωγε οἶμαι. Καίτοι ἐνταῦθα οὐ σώματος θάνατος παρακολουθεῖ (ἧττον γὰρ ἦν κακόν), ἀλλὰ ψυχῆς ὄλεθρος οὐκ εἰς τὸ μὴ ὂν παραπέμπων τοὺς σκανδαλισθέντας, ἀλλὰ θανάτου παντὸς παρασκευάζων χαλεπώτερον βιῶσαι βίον, καὶ τὰ τῆς συγγενείας δὲ δικαιώματα καὶ μείζονα καὶ θειότερα. Διὸ καὶ οὐρανῷ πρέπουσαν πολιτείαν πολιτεύεσθαι προστετάγμεθα. Εἰ δὲ τῶν ἐπὶ γῆς στρατευομένων τἀναντία πράττοντες ἁλῶμεν, τῶν ὑπὲρ μὲν τῶν πατρίδων ἀναλαμβανόντων τὰ ὅπλα, κατὰ δὲ τῶν βαρβάρων χωρούντων, ποία ἡμῖν ἔσται σωτηρίας ἐλπίς, ἢ τίς πεισθῆναι σωθήσεσθαι τοὺς πράττοντας ἐκεῖνα τὰ εἰς τὴν ἀπώλειαν σαφῶς παραπέμποντα;

ΡΕ'.– ΜΑΡΩΝΙ ΠΡΕΣΒΥΤΕΡΩ
Περὶ ἀχαριστίας.

Μανθάνω ὡς, ἐλέου τυχών, τὴν σαυτοῦ γνώμην ἄσπονδον ἤλεγξας, οὐχ ὅτι πέπονθας εὖ μετριάζων, ἀλλὰ τὸν εὖ πεποιηκότα μισῶν, ὅτι δεδύνηται δρᾶσαι. Εἰ τοίνυν ταῦτα ἀληθῆ τυγχάνει, πᾶσι προκηρύττεις, ὅτι ἐλέου τυγχάνεις ἀνάξιος. Εἰ γὰρ οὐκ εἰς εὐχαριστίαν τρέπεις, ἀλλ' εἰς μνησικακίαν τὴν εὐεργεσίαν, τίς ἀνέξεται εὖ ποιῆσαι τὸν καὶ τὴν τῶν θηρίων ἀγριότητα νικῶντα; Ἔστι γὰρ ἐν ἐκείνοις, ἃ καὶ εὐεργεσίας καὶ αἴσθεται καὶ μέμνηται καὶ ἀμείβεσθαι, ὡς ἐνδέχεται, σπουδάζει.

ΡΣ'.– ΙΣΙΔΩΡΩ ΔΙΑΚΟΝΩ
Ὅτι τοῖς παλαιοῖς, Παλαιᾶς τε καὶ Καινῆς, οὐ διὰ γραμμάτων ὁ Θεὸς διελέγετο, ἀλλὰ δι' ἑαυτοῦ.

Ἀκούσας μὲν ἴσως ἀπιστήσεις, νοήσας δέ, εὖ οἶδ' ὅτι οὐ

τίποτε δὲν ὑπάρχει πιὸ φοβερὸ πρᾶγμα ἀπὸ τὸν ἐμφύλιο πόλεμο. Ἐὰν λοιπὸν ἐκεῖ ὅπου πρόκειται γιὰ θάνατο σώματος εἶναι τόσο μεγάλη ἡ διαφορά, μολονότι ἡ φύση εἶναι μία, αὐτοὶ ποὺ ἀπὸ τὴ μιὰ ὑποκλίνονται στοὺς δαίμονες, καὶ ἀπὸ τὴν ἄλλη ὁπλίζονται ἐναντίον τῶν ἀδελφῶν, θὰ μποροῦσαν νὰ θεωρηθοῦν ὅτι κάνουν πράγματα ἀνεκτά; Ἐγὼ πάντως δὲν νομίζω. Ἂν καὶ ἐδῶ δὲν ἀκολουθεῖ θάνατος σώματος (γιατὶ θὰ ἦταν μικρότερο κακό), ἀλλὰ καταστροφὴ ψυχῆς, ποὺ δὲν στέλνει αὐτοὺς ποὺ σκανδαλίσθηκαν στὴν ἀνυπαρξία, τοὺς κάνει νὰ ζήσουν ζωὴ φοβερώτερη ἀπὸ κάθε θάνατο, καὶ τοὺς στερεῖ τὰ δικαιώματα τῆς συγγένειας, ποὺ καὶ μεγαλύτερα εἶναι καὶ θεϊκώτερα. Γι' αὐτὸ ἔχουμε διαταχθεῖ νὰ ἔχουμε συμπεριφορὰ τέτοια ποὺ πρέπει στοὺς οὐρανούς. Γιατί, ἂν συλληφθοῦμε νὰ κάνουμε τὰ ἀντίθετα ἀπὸ ἐκείνους ποὺ στρατεύονται πάνω στὴ γῆ, ποὺ παίρνουν τὰ ὅπλα γιὰ τὴν πατρίδα, καὶ ἐπιτίθενται ἐναντίον τῶν βαρβάρων, ποιὰ ἐλπίδα σωτηρίας θὰ ὑπάρχει σὲ μᾶς, ἢ ποιὸς θὰ πεισθεῖ, ὅτι θὰ σωθοῦν αὐτοὶ ποὺ κάνουν ἐκεῖνα ποὺ στέλνουν φανερὰ στὴν ἀπώλεια;

105.- ΣΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟ ΜΑΡΩΝΑ
Γιὰ τὴν ἀχαριστία.

Μαθαίνω πώς, ἐνῶ ἔτυχες εὐσπλαχνίας, ἀπέδειξες ἀδιάλλακτη τὴ διάθεσή σου, ὄχι ὅτι εὐεργετήθηκες ἐπειδὴ ἔδειξες μετριοφροσύνη, ἀλλ' ἐπειδὴ μισεῖς αὐτὸν ποὺ σὲ εὐεργέτησε, γιὰ τὸ ὅτι μπόρεσε νὰ τὸ κάνει. Ἐὰν λοιπὸν αὐτὰ εἶναι ἀληθινά, διακηρύττεις σὲ ὅλους, ὅτι εἶσαι ἀνάξιος εὐσπλαγχνίας. Γιατί, ἐὰν δὲν μετατρέπεις τὴν εὐεργεσία σὲ εὐχαριστία, ἀλλὰ σὲ μνησικακία, ποιὸς θὰ ἀνεχθεῖ νὰ εὐεργετήσει αὐτὸν ποὺ ξεπερνᾶ καὶ τὴν ἀγριότητα τῶν θηρίων; Γιατὶ ὑπάρχουν ἀνάμεσα σ' αὐτά, ἐκεῖνα τὰ ὁποῖα καὶ αἰσθάνονται τὴν εὐεργεσία, καὶ τὴν θυμοῦνται, καὶ προσπαθοῦν νὰ τὴν ἀνταμείψουν ὅσο εἶναι δυνατόν.

106.- ΣΤΟΝ ΔΙΑΚΟΝΟ ΙΣΙΔΩΡΟ
Ὅτι μὲ τοὺς παλαιούς, τῆς Παλαιᾶς καὶ τῆς Καινῆς Διαθήκης, ὁ Θεὸς δὲν διαλεγόταν μὲ γράμματα, ἀλλ' ὁ ἴδιος.

Ἀκούοντας ἴσως βέβαια νὰ μὴ πιστέψεις, ὅταν ὅμως σκεφθεῖς

μόνον θαυμάσεις, ἀλλὰ καὶ κροτήσεις. Τί οὖν ἐστι τὸ ἐξ ἀρχῆς μὲν ἄπιστον ὀφθησόμενον, μετὰ δὲ ταῦτα, οὐ μόνον θαυμαστόν, ἀλλὰ καὶ κρότου ἄξιον φανησόμενον; Εἴποιμι συντόμως ἐν βραχέσι συλλαβαῖς, μέγιστα πελαγῶν νοήματα ἐνσημηνάμενος. Τοῖς παλαιοῖς ὁ Θεὸς οὐ διὰ γραμμάτων διελέγετο, ἀλλὰ δι' ἑαυτοῦ καθαρὰν εὑρίσκων αὐτῶν τὴν γνώμην καὶ τῆς ἄνευ μεσίτου διδασκαλίας ἀξίαν. Καὶ τοῦτο δῆλον, ἐξ ὧν γραμμάτων ἄνευ διελέγετο καὶ τῷ Νῶε καὶ τῷ Ἀβραὰμ καὶ τοῖς εὐδοκίμοις ἀπόγονοις ἐκείνου, ὧν εἷς ἦν καὶ κορυφαιότατος ὁ πᾶσαν τοῦ διαβόλου τὴν δύναμιν συγκόψας καὶ τὰ βέλη αὐτοῦ ἀναλώσας καὶ τὴν φαρέτραν κενώσας, ὁ ἀοίδιμος, φημί, Ἰώβ. Ὅτε δὲ εἰς αὐτὸν τῆς κακίας τὸν πυθμένα κατηνέχθη ὁ δείλαιος τῶν Ἰουδαίων δῆμος, τότε λοιπὸν τὰ γράμματα ἀναγκαῖα εἶναι ἐνομίσθη καὶ ἡ διὰ τούτων ὑπόμνησις. Εἰ δὲ νομίζεις ἐν τῇ Παλαιᾷ τοῦτο μόνον γεγενῆσθαι, ἐπὶ δὲ τῆς Καινῆς μὴ κεκυρῶσθαι, φήσαιμι, ὅτι μάλιστα πάντων τοῦτο καὶ ἐν αὐτῇ δείκνυται. Οὐδὲ γὰρ τοῖς θεσπεσίοις ἀποστόλοις γραπτόν τι δέδοται, ἀλλ' ἀντὶ γραμμάτων ἡ τοῦ ἁγίου Πνεύματος ἐπηγγέλθη χάρις. «Ἐκεῖνος γὰρ ὑμᾶς», φησίν, «ἀναμνήσει πάντα».

Εἰ δὲ νομίζεις τοὺς ἐγγράφους τῶν ἀγράφων νόμων κυριωτέρους εἶναι, ἄκουσον τί φησι αὐτὸς ὁ βασιλεύς· «Διαθήσομαι αὐτοῖς διαθήκην καινήν, διδοὺς νόμους μου ἐπὶ διάνοιαν αὐτῶν, καὶ ἐπὶ καρδίας αὐτῶν ἐπιγράψω αὐτούς». «Καὶ ἔσονται πάντες διδακτοὶ Θεοῦ». Ὅθεν καὶ ὁ Παῦλος, Μωσέως μείζονα ἐμπεπιστεύθαι διισχυριζόμενος, ἔλεγεν εἰληφέναι νόμον, οὐκ ἐν πλαξὶ λιθίναις ἐγγεγραμμένον, ἀλλ' ἐν πλαξὶ καρδίας σαρκίναις ἐντυπωθέντα, οὗ ὁ καταφρονῶν οὐ καταλεύσεται κατὰ τὸν παλαιὸν νόμον, ἀλλὰ πικροτάτῃ παραδίδοται κολάσει. Ἐπειδὴ δὲ τοῦ χρόνου διιππεύοντος καὶ καθάπερ ἵππου ὀξυτάτου θέοντος, οἱ μὲν δογμάτων ἕνεκεν ἐξώκειλαν, οἱ δὲ βίου, ἀναγκαίως πάλιν ἐδέησεν τῆς ἀπὸ τῶν γραμμάτων διορθώσεως. Παραβεβασμένων γὰρ τῶν ἀγράφων, ἐπὶ τὰ ἔγγραφα

85. Γεν. 7,1 ἑ.
86. Γεν. 12,1 ἑ.
87. Ἰώβ 40,1 ἑ.
88. Ἰω. 14,26.

γνωρίζω καλά, ὅτι ὄχι μόνο θὰ θαυμάσεις, ἀλλὰ καὶ θὰ τὸ ἐπικροτήσεις. Τί εἶναι λοιπὸν αὐτὸ ποὺ ἀρχικὰ βέβαια θὰ φανεῖ ἀπίστευτο, καὶ μετὰ ἀπὸ αὐτά, ὄχι μόνο θὰ φανεῖ ἀξιοθαύμαστο, ἀλλὰ καὶ ἄξιο χειροκροτημάτων; Θὰ τὸ πῶ σύντομα μὲ λίγες λέξεις, φανερώνοντας νοήματα μεγαλύτερα ἀπὸ τὰ πελάγη. Στοὺς παλιοὺς ὁ Θεὸς δὲν μιλοῦσε μὲ γράμματα, ἀλλὰ ἀπ' εὐθείας ὁ ἴδιος, ὅταν εὕρισκε τὴ διάθεσή τους καθαρὴ καὶ ἄξια νὰ δεχθεῖ διδασκαλία χωρὶς μεσίτη. Καὶ αὐτὸ εἶναι φανερὸ ἀπὸ αὐτὰ ποὺ ἔλεγε προφορικὰ καὶ στὸν Νῶε[85], καὶ στὸν Ἀβραάμ[86], καὶ στοὺς διακεκριμένους ἀπογόνους του, ἕνας ἀπὸ τοὺς ὁποίους ἦταν καὶ ὁ πιὸ κορυφαῖος, αὐτὸς ποὺ κατέκοψε ὅλη τὴ δύναμη τοῦ διαβόλου, καὶ κατέστρεψε τὰ βέλη του, καὶ ἄδειασε τὴ φαρέτρα του, ἐννοῶ ὁ ἀείμνηστος Ἰώβ[87]. Ὅταν ὅμως τὸ ἄθλιο πλῆθος τῶν Ἰουδαίων κατέβηκε στὸν πυθμένα τῆς κακίας, τότε λοιπὸν θεωρήθηκε ὅτι ἦταν ἀπαραίτητα καὶ τὰ γράμματα καὶ ἡ ὑπενθύμιση μέσω αὐτῶν. Ἂν ὅμως νομίζεις, ὅτι μόνο στὴν Παλαιὰ Διαθήκη ἔγινε αὐτό, καὶ στὴν Καινὴ δὲν ἐπικυρώθηκε, θὰ μποροῦσα νὰ σοῦ πῶ, ὅτι αὐτὸ φαίνεται περισσότερο σ' αὐτήν. Γιατὶ οὔτε στοὺς θεόπνευστους ἀποστόλους δόθηκε κάτι γραπτό, ἀλλὰ ἀντὶ γραμμάτων δόθηκε ἡ ὑπόσχεση τῆς χάριτος τοῦ ἁγίου Πνεύματος. Γιατὶ λέγει· «Ἐκεῖνος θὰ σᾶς τὰ ὑπενθυμίσει ὅλα»[88].

Ἐὰν ὅμως νομίζεις ὅτι οἱ γραπτοὶ νόμοι εἶναι πιὸ ἔγκυροι ἀπὸ τοὺς ἄγραφους, ἄκουσε τί λέγει ὁ ἴδιος ὁ βασιλιάς· «Θὰ τοὺς δώσω καινούργια διαθήκη, δίνοντας τοὺς νόμους μου στὴ διάνοιά τους, καὶ θὰ τοὺς ἀναγράψω στὶς καρδιές τους»[89]. – «Καὶ θὰ γίνουν ὅλοι διδαγμένοι ἀπὸ τὸν Θεό»[90]. Γι' αὐτὸ καὶ ὁ Παῦλος, ἰσχυριζόμενος ὅτι τοῦ ἐμπιστεύθηκε περισσότερα ἀπὸ ὅ,τι στὸν Μωυσῆ, ἔλεγε ὅτι ἔλαβε τὸν νόμο, ὄχι γραμμένο σὲ λίθινες πλάκες, ἀλλὰ τυπωμένον στὶς σάρκινες πλάκες τῆς καρδιᾶς[91], τὸν ὁποῖο, αὐτὸς ποὺ τὸν περιφρονεῖ, δὲν θὰ λιθοβοληθεῖ, σύμφωνα μὲ τὸν παλιὸ νόμο, ἀλλὰ θὰ παραδοθεῖ σὲ πολὺ ὀδυνηρὴ κόλαση. Ἐπειδὴ ὅμως, καθὼς ὁ χρόνος περνᾶ σὰν ἔφιππος καὶ τρέχει σὰν ταχύτατο ἄλογο, ἄλλοι λοξοδρόμησαν ἐξαιτίας δογματικῶν διδασκαλιῶν, καὶ ἄλλοι ἐξαιτίας τῆς ζωῆς τους, ἔγινε ἀπαραίτητη ἡ διόρθωσή τους μὲ γράμματα. Γιατί, ἐφόσον πα-

89. Ἱερ. 32, 39-40. 90. Ἡσ. 54, 13. 91. Β' Κορ. 3, 3.

εἰκότως ὥρμησεν ὁ παντὶ τρόπῳ τὸ ὑπήκοον εἰς ἀρετὴν ἐναγαγεῖν βουλόμενος. Ἐννοεῖν τοίνυν χρὴ ἡμᾶς, ἡλίκη ἐστὶ κατηγορία, τὸ τοὺς οὕτω ὀφείλοντας ζῆν εἰλικρινῶς, ὡς μηδὲ γραμμάτων δεῖσθαι, ἀλλ' ἀντὶ βιβλίων παρέχειν τὰς ψυχὰς τῷ θείῳ Πνεύματι, ἐπειδὴ τὴν τιμὴν ἀπωλέσαμεν ταύτην καὶ κατέστημεν εἰς τὴν τῶν γραμμάτων χρείαν, μηδὲ τῷ δεύτερῳ βοηθήματι χρῆσθαι πάλιν εἰς δέον. Εἰ γὰρ ἔγκλημα τὸ γραμμάτων δεῖσθαι, καὶ μὴ τὴν τοῦ ἁγίου Πνεύματος ἐπισπᾶσθαι διὰ καθαροῦ βίου διδασκαλίαν, σκοπῆσαι ἂν εἴημεν δίκαιοι, ἡλίκον ἐστὶν κακόν, τὸ μηδὲ μετὰ τοσαύτην καὶ τηλικαύτην βοήθειαν («Νόμον», γάρ φησιν, «εἰς βοήθειαν ἔδωκεν») ἐθέλειν κερδαίνειν, ἀλλ' εἰκῇ καὶ μάτην κείμενα τὰ γράμματα περιορᾶν, καὶ μείζονα προκαλεῖσθαι τὴν κόλασιν.

ΡΖ'.– ΕΥΤΟΝΙΩ ΔΙΑΚΟΝΩ

Περὶ τῆς παραβολῆς τοῦ σπόρου, καὶ πῶς ὁ λόγος σπείρεται.

Ἐπειδὴ γέγραφας, Πῶς τὸν λόγον σπείρεσθαι, κατ' ἀρχὰς φάμενος, εἶπεν, «Οὗτός ἐστιν ὁ παρὰ τὴν ὁδὸν σπαρείς», ὁ πονηρὸς ἁρπάζει τὸ ἐσπαρμένον, ἔφησε καὶ ἐν τῇ τῶν ζιζανίων παραβολῇ τὸ καλὸν σπέρμα εἶναι τοὺς υἱοὺς τῆς βασιλείας, φημί, ὅτι μάλιστα μὲν ἑκάστην παραβολὴν πρὸς τὸ προκείμενον ἀναζωγραφητέον, καὶ οὐ πάντως πάντα κατὰ πάντα ληπτέον. Πλήν, ἵνα μὴ δόξω τισὶ σκήψεις ἐπινοεῖν, τὸ ἀπορρητότερον φράσω, φήσας ὅτι καὶ ὁ λόγος σπέρμα, καὶ ὁ τὸν λόγον δεξάμενος διὰ τὴν πρὸς αὐτὸν συγκράτησίν τε καὶ οἷον ἀναστοιχείωσιν. Διὰ τούτου γὰρ μορφοῦται μὲν ὁ Χριστὸς ἐν ἡμῖν, καὶ ἡμεῖς κατὰ Χριστὸν μορφούμεθα. Διὰ γὰρ τοῦτο καὶ τὸ σπέρμα καταβάλλεται, ἵνα ἐξομοιώσῃ τὸν ἄνθρωπον πρὸς ἑαυτό.

ΡΗ'.– ΤΩ ΑΥΤΩ

Διὰ τί τοὺς ἀκουσίως φονεύσαντας τοῖς Λευίταις προσκατῴκισεν ὁ νόμος.

Ἐπειδὴ ἔφης, μήτε παρ' ἄλλου μεμαθηκέναι, μήτ' αὐτὸς

92. Ἡσ. 8,20. Γαλ. 3,24. 93. Ματθ. 13,3 ἑ. 94. Ἀριθμ. 25,3 ἑ.

ραβιάζονταν οἱ ἄγραφοι νόμοι, στράφηκε δικαιολογημένα στοὺς γραπτούς, αὐτὸς ποὺ μὲ κάθε τρόπο ἤθελε νὰ ἐπαναφέρει στὴν ἀρετὴ τοὺς ὑπάκουους. Πρέπει λοιπὸν νὰ κατανοήσουμε πόσο μεγάλη εἶναι ἡ κατηγορία, ἀφοῦ αὐτοὶ ποὺ ἔπρεπε νὰ ζοῦν τόσο εἰλικρινά, ὥστε νὰ μὴ ἔχουν ἀνάγκη γραφῶν, ἀλλὰ ἀντὶ βιβλίων νὰ παραχωροῦν τὶς ψυχές τους στὸ θεῖο Πνεῦμα, ἐπειδὴ χάσαμε αὐτὴ τὴν τιμὴ καὶ φτάσαμε στὴν ἀνάγκη τῶν γραπτῶν, νὰ μὴ χρησιμοποιοῦμε οὔτε καὶ τὸ δεύτερο αὐτὸ βοήθημα ὅσο πρέπει. Γιατί, ἐὰν εἶναι ἁμάρτημα τὸ νὰ χρειαζόμαστε γραπτά, καὶ νὰ μὴ προσελκύουμε τὴ διδασκαλία τοῦ ἁγίου Πνεύματος μὲ καθαρὸ βίο, εἶναι σωστὸ νὰ ἐξετάσουμε πόσο μεγάλο κακὸ εἶναι, τὸ νὰ μὴ θέλουμε νὰ κερδήσουμε οὔτε μετὰ ἀπὸ τόσο μεγάλη βοήθεια (γιατὶ λέγει, «ἔδωσε νόμο πρὸς βοήθειά μας»)[92], ἀλλὰ νὰ περιφρονοῦμε τὰ γραπτὰ σὰν εἶναι ἄσκοπα καὶ ἀνώφελα, καὶ νὰ γινόμαστε αἴτιοι μεγαλύτερης κόλασης.

107.- ΣΤΟΝ ΔΙΑΚΟΝΟ ΕΥΤΟΝΙΟ

Γιὰ τὴν παραβολὴ τοῦ σπόρου[93], καὶ πῶς σπείρεται ὁ λόγος.

Ἐπειδὴ ἔγραψες, Πῶς, ἐνῶ ἀρχικὰ εἶπε σπείρεται ὁ λόγος, εἶπε πάλι· «Αὐτὸς εἶναι ὁ σπόρος ποὺ σπάρθηκε κοντὰ στὸν δρόμο», ὅπου ὁ πονηρὸς ἁρπάζει αὐτὸ ποὺ εἶναι σπαρμένο, ἐνῶ καὶ στὴν παραβολὴ τῶν ζιζανίων εἶπε, ὅτι ὁ καλὸς σπόρος εἶναι οἱ υἱοὶ τῆς βασιλείας; σοῦ λέγω, ὅτι κάθε παραβολὴ πρέπει νὰ ἀναπαριστᾶ κυρίως τὸ συγκεκριμένο θέμα συζητήσεως, καὶ νὰ μὴ λαμβάνονται ὑπωσδήποτε ὅλα γιὰ ὅλα. Ὅμως, γιὰ νὰ μὴ δώσω τὴν ἐντύπωση, ὅτι ἐπινοῶ προφάσεις, θὰ πῶ τὸ πιὸ μυστικό, λέγοντας ὅτι καὶ ὁ λόγος εἶναι σπόρος, καὶ αὐτὸς ποὺ δέχθηκε τὸν λόγο, τὸν συγκρατεῖ μέσα του καὶ κατὰ κάποιον τρόπο τὸν ἀναπλάθει. Γιατὶ μὲ αὐτὸν μορφώνεται μέσα μας ὁ Χριστός, καὶ ἐμεῖς διαπλασσόμαστε σύμφωνα μὲ τὸν Χριστό. Γι᾽ αὐτὸ ἄλλωστε καὶ σπέρνεται ὁ σπόρος, γιὰ νὰ κάνει τὸν ἄνθρωπο ὅμοιον μὲ αὐτόν.

108.- ΣΤΟΝ ΙΔΙΟ

Γιατί ἐκείνους ποὺ χωρὶς νὰ τὸ θέλουν φόνευσαν τοὺς Λευῖτες, ὁ νόμος τοὺς μετέφερε νὰ κατοικήσουν σὲ ἄλλον τόπο[94].

Ἐπειδὴ εἶπες, πὼς οὔτε ἀπὸ ἄλλον ἔμαθες, οὔτε ὁ ἴδιος μπόρεσες

εὑρεῖν δεδυνῆσθαι τὴν αἰτίαν, δι' ἣν τοὺς ἀνιέρους τοῖς ἱερωμένοις προσκατῴκισεν ὁ νομοθέτης, τοὺς ἀκούσιον δὴ φόνον δράσαντας τοῖς Λευίταις, φαίην, ὅτι μάλιστα μὲν ἵνα τῇ συνουσίᾳ ὠφελῶνται καὶ τὸ δοκοῦν ἄγος ἀποτρίβωνται. Ἔπειτα δέ, ὅτι οἱ μὲν κατὰ συγγενικῶν αἱμάτων ὥπλισαν τὰς δεξιὰς (ἡνίκα τὸ θεῖον σέβας τῷ μόσχῳ ἐπεφήμισαν), οἱονεὶ τοῦ Θείου παροινηθέντος γεγονότες ἐκδικηταί (διὸ καὶ ἱερωσύνης ἔτυχον), οἱ δὲ τρόπον τινὰ ὑπηρέται τῆς δίκης γεγόνασι, τοὺς πάντως δοῦναι δίκας δικαίους ὄντας, εἰ καὶ ἄκοντες ἀπεκτονότες. Καὶ τοῦτ' ἐγγυᾶται αὐτὸς ὁ νομοθέτης, εἰπών· «Ὁ δὲ οὐχ ἑκών, ἀλλ' ὁ Θεὸς παρέδωκεν αὐτὸν εἰς τὰς χεῖρας αὐτοῦ». Εἰ τοίνυν ὁ Θεὸς παρέδωκε, δίκας δοῦναι οὐκ ἂν εἴη δίκαιος ὁ ἀκουσίως φονεύσας, τῆς δίκης ὑπηρέτης ὀφθείς. Εἰ γὰρ καὶ τὴν χεῖρα δοκεῖ ἔχειν μιαράν, ἀλλὰ τὴν γνώμην ἔχει καθαράν. Τίνος οὖν ἕνεκα, φησί, φυγὴν αὐτοῦ κατεψηφίσατο; Οὐ διὰ τὸ γεγενημένον (ἦ γὰρ ἂν ἔξω τῆς γῆς τῆς ἐπαγγελίας πάντῃ αὐτὸν ἀφώρισεν), ἀλλὰ διὰ τὸ μὴ ὑπὸ τῶν συγγενῶν τοῦ ἀναιρεθέντος ἀκρίτως ἀναιρεθῆναι, νικῶντος τοῦ θυμοῦ τὸν λογισμὸν καὶ τῆς ὀργῆς τὸ ἀκριβὲς παραγραφομένης. Ἀλλ' οὐδ' οὕτως αὐτὸν εἰς τέλος ἀφῆκεν. Ὅρον γὰρ αὐτῷ τῆς φυγῆς ὁρίζει, τὸν τοῦ ἀρχιερέως βίον, καὶ μετὰ τὸν θάνατον ἐκείνου, κάθοδον αὐτῷ χαρίζεται καὶ ἀποδίδωσιν αὐτὸν τῇ πατρίδι.

ΡΘ'.– ΤΩ ΑΥΤΩ

Διὰ τί τῷ ἀκουσίως φονεύσαντι, ὅρος φυγῆς ἡ τοῦ ἀρχιερέως ὑπάρχει ζωή.

Διὰ τοῦτ', οἶμαι, τοῦ ἀρχιερέως τὸν βίον ὅρον τῆς φυγῆς τοῦ ἀκουσίως φονεύσαντος ἐθέσπισεν εἶναι, μηνύων ἐναργεῖ τεκμηρίῳ, ὅτι, εἰ ἀκούσιος τοῦ ἀρχιερέως θάνατος τοὺς ἀκουσίως φονεύσαντας τῇ πατρίδι ἀποδίδωσι καὶ κάθοδον αὐτοῖς χαρίζεται, τοῦ μεγάλου ἀρχιερέως ὁ ἑκούσιος θάνατος, ὁ ὑπὸ τῆς ἀναστάσεως σβεσθείς, καὶ τὰ ἀκούσια πλημμελήματα

νὰ βρεῖς τὴν αἰτία, γιὰ τὴν ὁποία ὁ νομοθέτης μετέφερε ἀλλοῦ τοὺς βέβηλους ἱερωμένους, οἱ ὁποῖοι σκότωσαν χωρὶς νὰ τὸ θέλουν τοὺς Λευῖτες, θὰ ἔλεγα, ὅτι κυρίως γιὰ νὰ ὠφελοῦνται μὲ τὴν συγκατοίκηση καὶ νὰ καθαρίζουν αὐτὸ ποὺ νομιζόταν μίασμα. Ἔπειτα, ἐπειδὴ οἱ ἐξ αἵματος συγγενεῖς ὅπλισαν τὰ χέρια τους (ὅταν ἀπέδωσαν τὸν σεβασμὸ ποὺ ἀνήκει στὸν Θεὸ στὸ μοσχάρι), γενόμενοι ἐκδικητές, σὰν ὁ Θεὸς νὰ εἶχε μεθύσει (γι᾽ αὐτὸ καὶ ἔλαβαν τὴν ἱερωσύνη), καὶ αὐτοὶ ποὺ κατὰ κάποιον τρόπο εἶχαν γίνει ὑπηρέτες τῆς δίκης, ἂν καὶ χωρὶς νὰ τὸ θέλουν σκότωσαν ἐκείνους ποὺ ὁπωσδήποτε ἦταν ἔνοχοι τιμωρίας. Καὶ αὐτὸ τὸ βεβαιώνει ὁ ἴδιος ὁ νομοθέτης λέγοντας· «Αὐτὸς ὅμως ὄχι μὲ τὴ θέλησή του, ἀλλὰ ὁ Θεὸς τὸν παρέδωσε στὰ χέρια του»[95]. Ἐφόσον λοιπὸν ὁ Θεὸς τὸν παρέδωσε, δὲν ἔπρεπε νὰ τιμωρηθεῖ αὐτὸς ποὺ σκότωσε χωρὶς νὰ τὸ θέλει, ἐπειδὴ ἔγινε ὑπηρέτης τῆς δικαιοσύνης. Γιατί, ἂν καὶ τὸ χέρι του φαίνεται ὅτι εἶναι μαρό, ὅμως ἡ συνείδησή του εἶναι καθαρή. Γιὰ ποιὸ λόγο λοιπόν, λέγει, ὅτι ἀποδοκίμασε τὴ φυγή του; Ὄχι γι᾽ αὐτὸ ποὺ εἶχε γίνει (γιατὶ ἀλλιῶς θὰ τὸν ἐξόριζε τελείως ἔξω ἀπο τὴ γῆ τῆς ἐπαγγελίας), ἀλλὰ γιὰ νὰ μὴ σκοτωθεῖ, χωρὶς νὰ δικασθεῖ, ἀπὸ τοὺς συγγενεῖς τοῦ σκοτωμένου, ἐπειδὴ ὁ θυμὸς νικᾶ τὴ λογικὴ καὶ ἡ ὀργὴ παραγνωρίζει τὴν ἀκρίβεια. Οὔτε ὅμως τὸν ἄφησε μέχρι τὸ τέλος ἔτσι· γιατὶ ὅρισε γι᾽ αὐτὸν διάρκεια τῆς φυγάδευσής του τὴ ζωὴ τοῦ ἀρχιερέα, καὶ μετὰ τὸν θάνατο ἐκείνου ἐπέτρεψε τὴν ἐπιστροφή του καὶ τὸν ἀπέδωσε στὴν πατρίδα του.

109.- ΣΤΟΝ ΙΔΙΟ

Γιατί, γιὰ ἐκεῖνον ποὺ σκότωσε παρὰ τὴ θέλησή του, ὁρίζεται χρονικὴ διάρκεια τῆς ἐξορίας του ἡ ζωὴ τοῦ ἀρχιερέα.

Νομίζω ὅτι τὴ ζωὴ τοῦ ἀρχιερέα τὴ θέσπισε ὡς ὅριο τῆς ἐξορίας ἐκείνου ποὺ σκότωσε παρὰ τὴ θέλησή του, δηλώνοντας μὲ φανερὴ ἀπόδειξη, ὅτι, ἐὰν ὁ ἀθέλητος θάνατος τοῦ ἀρχιερέα ἀποδίδει, ἐκείνους ποὺ ἄθελά τους σκότωσαν, στὴν πατρίδα τους, καὶ τοὺς χαρίζει τὴν ἐπιστροφή τους, ὁ θεληματικὸς θάνατος τοῦ μεγάλου Ἀρχιερέως, ὁ ὁποῖος σβήσθηκε μὲ τὴν ἀνάσταση, καὶ τὰ ἀθέλητα ἁμαρτήματα θὰ

95. Ἐξ. 21,13.

ἀφανιεῖ, καὶ ἀποδώσει πάντας τοὺς πιστεύοντας αὐτῷ τῇ ἄνω Ἰερουσαλήμ. «Ἡ γὰρ ἄνω Ἰερουσαλήμ», φησὶν ὁ θεσπέσιος Παῦλος, «ἐλευθέρα ἐστίν, ἥτις ἐστὶ μήτηρ πάντων ἡμῶν».

ΡΙ΄.– ΙΣΙΔΩΡΩ ΔΙΑΚΟΝΩ

Τί ἐστι τό, «Ἐν Σαββάτῳ δευτεροπρώτῳ», καὶ τί, «Σάββατα Σαββάτων».

Τὸ ἐν «Σαββάτῳ δευτεροπρώτῳ» εἰρημένον ἐν τοῖς εὐαγγελίοις, ἑρμηνευθῆναί σοι ὡς ἀσαφὲς παρακαλέσας, ἄκουε· «Δευτερόπρωτον» εἴρηται, ἐπειδὴ δεύτερον μὲν ἦν τοῦ Πάσχα, πρῶτον δὲ τῶν Ἀζύμων. Ἑσπέρας γὰρ θύοντες τὸ Πάσχα, τῇ ἑξῆς τὴν τῶν Ἀζύμων ἐπανηγύριζον ἑορτήν, ἣν καὶ δευτερόπρωτον ἐκάλουν, διὰ τό, ὡς ἔφην, δευτέραν μὲν εἶναι τοῦ Πάσχα, πρώτην δὲ τῶν Ἀζύμων. Καὶ ὅτι τοῦτ' ἐστὶν ἀληθές, δῆλον ἐκ τοῦ τοὺς ἀποστόλους ἐγκεκλῆσθαι ὡς τίλλοντας τοὺς στάχυας καὶ ἐσθίοντας. Ἐν ἐκείνῳ γὰρ τῷ καιρῷ μόνῳ καρηβαροῦσιν οἱ ἀστάχυες, καὶ κέκλινται ὑπὸ τοῦ καρποῦ καὶ τῆς πρὸς ἀμητὸν ὥρας, οἱονεὶ τὴν δρεπάνην ἐφ' ἑαυτοὺς καλοῦντες. Τῇ τρίτῃ γοῦν ἡμέρᾳ τῶν Ἀζύμων καὶ τὸ δρᾶγμα προσεφέρετο. Οὕτω καὶ ἀπὸ τοῦ καιροῦ καὶ ἀπὸ τοῦ γεγενημένου δῆλόν ἐστι τὸ ζητούμενον. Εἰ δὲ Σαββάτῳ εἴρηται, μὴ θαυμάσῃς. Σάββατον γὰρ πᾶσαν ἑορτὴν καλοῦσι, καὶ διὰ τοῦτ' εἴρηται, «Σάββατα Σαββάτων». Ἐπειδὴ ἔσθ' ὅτε ἢ ἡ ἀρχὴ τῆς πανηγύρεως, ἢ τὸ τέλος συνέπιπτε τῷ τῆς ἑβδομάδος Σαββάτῳ, οἷον, εἰπεῖν, καὶ παρ' ἡμῖν πολλάκις γίνεται. Ὥσπερ γὰρ ὅταν τὰ Θεοφάνια, ἢ ἡ τοῦ Σωτῆρος κατὰ σάρκα γέννησις ἐν Κυριακῇ ἀπαντήσειε ποιεῖ διπλῆν τὴν πανήγυριν, οἱονεὶ ἑορτὴν ἐν ἑορτῇ, οὕτω καὶ παρ' αὐτοῖς, εἰ καὶ ἡ πανήγυρις τῷ Σαββάτῳ συνέπιπτε, Σάββατα Σαββάτων ἐκαλεῖτο.

ΡΙΑ΄.– ΚΑΣΙΩ ΠΡΕΣΒΥΤΕΡΩ

Περὶ χρηματισμοῦ τῶν τὴν φροντίδα τῶν πενήτων ἐχόντων.

Πολλοὶ τὴν τῶν πενήτων φροντίδα προστησάμενοι, εἰς τὸν

ἐξαφανίσει, καὶ θὰ ἀποδώσει ὅλους ὅσους πιστεύουν σ' αὐτὸν στὴν ἄνω Ἰερουσαλήμ. «Γιατὶ ἡ ἄνω Ἰερουσαλήμ», λέγει ὁ θεόπνευστος Παῦλος, «εἶναι ἐλεύθερη, καὶ εἶναι μητέρα ὅλων μας»[96].

110.- ΣΤΟΝ ΔΙΑΚΟΝΟ ΙΣΙΔΩΡΟ

Τί σημαίνει τό, «Στὸ δεύτερο Σάββατο μετὰ τὸ πρῶτο»[97], καί τί, «Σάββατα Σαββάτων».

Ἐπειδὴ μὲ παρακάλεσες νὰ σοῦ ἐξηγήσω αὐτὸ ποὺ λέγεται στὰ Εὐαγγέλια, «Κατὰ τὸ δεύτερο Σάββατο μετὰ τὸ πρῶτο», ποὺ εἶναι ἀσαφές, ἄκου· «Δευτερόπρωτο» λέγεται, ἐπειδὴ ἦταν δεύτερο βέβαια τοῦ Πάσχα, ἀλλὰ πρῶτο τῶν Ἀζύμων. Γιατί, θυσιάζοντας τὸ βράδυ τὸ Πάσχα, πανηγύριζαν τὴ γιορτὴ τῶν Ἀζύμων τῆς ἑπόμενης ἡμέρας, τὴν ὁποία καὶ ὀνόμαζαν δευτερόπρωτη, ἐπειδή, ὅπως εἶπα, ἦταν δεύτερη βέβαια τοῦ Πάσχα, πρώτη ὅμως τῶν Ἀζύμων. Καὶ ὅτι αὐτὸ εἶναι ἀληθινό, φαίνεται ἀπὸ τὸ ὅτι οἱ ἀπόστολοι κατηγοροῦνται ὅτι ἔκοβαν τὰ στάχυα καὶ τὰ ἔτρωγαν. Γιατὶ μόνο ἐκείνη τὴν ἐποχὴ τὰ στάχυα εἶναι βαρειὰ καὶ γέρνουν ἀπὸ τὸν καρπό, καὶ ἐξαιτίας τῆς ὥρας τους πρὸς θερισμὸ εἶναι σὰν νὰ φωνάζουν τὰ δρεπάνια ἐπάνω τους. Κατὰ τὴν τρίτη λοιπὸν ἡμέρα τῶν Ἀζύμων προσφερόταν καὶ τὸ χερόβολο. Ἔτσι καὶ ἀπὸ τὴν ἐποχὴ καὶ ἀπὸ τὸ γεγονὸς γίνεται φανερὸ τὸ ζητούμενο. Ἂν ὅμως λέγεται Σάββατο, μὴν ἀπορεῖς, γιατὶ κάθε γιορτὴ τὴν ὀνόμαζαν Σάββατο. Γι' αὐτὸ ἀκριβῶς ὀνομαζόταν Σάββατα Σαββάτων, ἐπειδὴ κάποτε ἢ ἡ ἀρχὴ τῆς πανήγυρης, ἢ τὸ τέλος συνέπιπτε μὲ τὸ Σάββατο τῆς ἑβδομάδας, πρᾶγμα ποὺ πολλὲς φορὲς συμβαίνει καὶ σὲ μᾶς. Γιατί, ὅπως ὅταν τὰ Θεοφάνια, ἢ ἡ κατὰ σάρκα γέννηση τοῦ Σωτήρα, συμπίπτει μὲ Κυριακή, κάνει διπλῆ τὴν πανήγυρη, κατὰ κάποιο τρόπο ἑορτὴ μέσα σὲ ἑορτή, ἔτσι καὶ σ' αὐτούς, ὅταν ἡ πανήγυρη συνέπιπτε μὲ τὸ Σάββατο, ὀνομαζόταν Σάββατα Σαββάτων.

111.- ΣΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟ ΚΑΣΙΟ

Γιὰ τὸν χρηματισμὸ ἐκείνων ποὺ φροντίζουν τοὺς φτωχούς.

Πολλοὶ ποὺ πρωτοστάτησαν στὴ φροντίδα τῶν φτωχῶν, καταλή-

96. Γαλ. 4, 26. 97. Λουκᾶ 6, 1.

ἴδιον χρηματισμὸν τελευτῶσιν, οὓς οὐ χρὴ ζηλοῦν, ἀλλ' ἢ διορθοῦν, ἢ ἐκ πολλοῦ τοῦ περιόντος ὡς λυμεῶνας φεύγειν. Ἐπιτρίβουσι γὰρ τὴν ἐκείνων πενίαν, ἣν θεραπεύειν ἐχρῆν.

ΡΙΒ'.– ΑΛΥΠΙΩ

Περὶ τῆς ἁγίας Τριάδος.

Τὰ μὲν ἑνικῶς εἰρημένα ἐν ταῖς ἱεραῖς Γραφαῖς τῆς θείας φύσεώς ἐστι χαρακτηριστικὰ (ὁμοούσιος γάρ ἐστιν ἡ ἁγία καὶ βασιλικωτάτη Τριάς), τὰ δ' ὑπὲρ τὸν ἑνικὸν ἐξενηνεγμένα ἀριθμόν, τῆς τῶν ὑποστάσεών ἐστι διαφορᾶς. Πλατύνεται γὰρ ἡ θεότης εἰς τρεῖς ἰδιότητας, καὶ συστέλλεται πάλιν εἰς μίαν οὐσίαν, ἵνα μήτε ἡ πολυθεΐα χώραν ἔχῃ ἐκ τῆς τῶν φύσεων διαφορᾶς, μήθ' ἡ ἰουδαικὴ ὑπόνοια ἐκ τοῦ ἑνὸς προσώπου. Ἡ μὲν γὰρ ταυτότης τῆς φύσεως ὑποστάσεσι διαιρεῖται, ἡ δὲ τῶν ὑποστάσεων ἰδιότης εἰς μίαν οὐσίαν συνάπτεται. Καὶ ἵνα μή, πάντ' εἰς μέσον φέροντες, μηκύνωμεν τὴν ἐπιστολήν, ἓν ἢ δεύτερον μεταχειρισάμενοι, καὶ τοῖς λοιποῖς ὁδὸν ἑρμηνείας ἀνατέμωμεν. Φησὶν ὁ Θεός· «Ἐγὼ πρῶτος, καὶ ἐγὼ μετὰ ταῦτα· ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος θεός, καὶ μετ' ἐμὲ οὐκ ἔσται». Τί οὖν ἂν φαῖεν οἱ ἑτερόδοξοι; Τίς ἄρ' ἐστὶν ὁ τοῦτο φράσας; ὁ Πατὴρ ἢ ὁ Υἱός; Εἰ μὲν οὖν ὁ Πατήρ, πῶς φησι μὴ εἶναι μετ' αὐτόν; Καθ' ὑμᾶς γάρ, μετ' αὐτόν ἐστιν ὁ Υἱός. Εἰ δὲ ὁ Υἱός ἐστιν ὁ εἰπών, πῶς φησιν «Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος θεός»; Οὐ γὰρ δὴ τολμήσετε θατέρου τὴν ὑπόστασιν ἀνελεῖν. Πρῶτον μὲν γὰρ καὶ δεύτερον ἐδογματίσατε, τὸ δὲ μὴ εἶναι θάτερον, οὐδ ἐννοῆσαι, ὡς οἶμαι, ἀνάσχοισθε. Ἡμεῖς μὲν γὰρ εἰς τὴν ὁμοούσιον Τριάδα καὶ τοῦτο καὶ τὰ τοιαῦτα ἐκλαμβάνοντες εὐσεβοῦμεν, ὑμεῖς δὲ οἱ διαιροῦντες πῶς ἑρμηνεύσετε τὸ εἰρημένον; Ταῦτα μὲν οὖν περὶ τούτων εἰρήσθω.

Ἥξωμεν καὶ εἰς τὰ τὸν ἑνικὸν ἀριθμὸν ὑπερβαίνοντα. «Ποιήσωμεν», φησίν, «ἄνθρωπον. Καὶ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρω-

γουν στὸν δικό τους χρηματισμό. Αὐτοὺς δὲν πρέπει νὰ τοὺς μιμούμαστε, ἀλλὰ ἢ νὰ τοὺς διορθώνουμε, ἢ μὲ κάθε τρόπο νὰ τοὺς ἀποφεύγουμε ὡς ἐκμεταλλευτές. Γιατὶ χειροτερεύουν τὴ φτώχεια ἐκείνων, τὴν ὁποία ἔπρεπε νὰ τὴν ὑπηρετοῦν.

112.- ΣΤΟΝ ΑΛΥΠΙΟ
Γιὰ τὴν ἁγία Τριάδα.

Αὐτὰ ποὺ στὴν ἁγία Γραφὴ λέγονται σὲ ἑνικὸ ἀριθμό, εἶναι χαρακτηριστικὰ τῆς φύσεως τοῦ Θεοῦ (γιατὶ ἡ ἁγία καὶ βασιλικώτατη Τριάδα εἶναι ὁμοούσια), ἐνῶ ἐκεῖνα ποὺ ἐκφέρονται σὲ πληθυντικὸ ἀριθμό, ἀναφέρονται στὴ διαφορὰ τῶν ὑποστάσεων. Γιατὶ ἡ θεότητα διευρύνεται σὲ τρεῖς ἰδιότητες, καὶ περιορίζεται πάλι σὲ μιὰ οὐσία, ὥστε οὔτε ἡ πολυθεΐα νὰ ἔχει θέση σ᾽ αὐτὴν ἐξαιτίας τῆς διαφορᾶς τῶν φύσεων, οὔτε ἡ ἰουδαϊκὴ ὑπόνοια ἀπὸ τὸ ἕνα πρόσωπο. Γιατὶ ἡ ταυτότητα τῆς φύσεως διαιρεῖται σὲ ὑποστάσεις, ἐνῶ ἡ ἰδιότητα τῶν ὑποστάσεων, ἑνώνεται σὲ μιὰ οὐσία. Καὶ γιὰ νὰ μὴ μηκύνουμε τὴν ἐπιστολὴ φέροντάς τα ὅλα στὴ μέση, χρησιμοποιώντας ἕνα ἢ δύο, θὰ ἀνοίξουμε δρόμο ἑρμηνείας καὶ στὰ ἄλλα. Λέγει ὁ Θεός· «Ἐγὼ εἶμαι πρῶτος, ἐγὼ καὶ μετὰ ἀπὸ αὐτά. Πρὶν ἀπὸ μένα δὲν ὑπῆρχε ἄλλος θεός, καὶ μετὰ ἀπὸ μένα δὲν θὰ ὑπάρχει ἄλλος»[98]. Τί θὰ μποροῦσαν λοιπὸν νὰ ποῦν οἱ ἑτερόδοξοι; Ποιὸς ἄραγε εἶναι αὐτὸς ποὺ τὰ εἶπε αὐτά; Ὁ Πατέρας, ἢ ὁ Υἱός; Ἐὰν τὰ εἶπε ὁ Πατέρας, πῶς λέγει ὅτι δὲν ὑπάρχει μετὰ ἀπὸ αὐτόν, γιατὶ σύμφωνα μὲ σᾶς, μετὰ ἀπὸ αὐτὸν εἶναι ὁ Υἱός. Ἐὰν πάλι εἶναι ὁ Υἱὸς ποὺ τὸ εἶπε, πῶς λέγει, «Πρὶν ἀπὸ μένα δὲν ὑπῆρξε ἄλλος Θεός»; Φυσικὰ δὲν θὰ τολμήσετε νὰ καταργήσετε τὴν ὑπόσταση τοῦ ἑνός. Γιατὶ πρῶτον βέβαια καὶ δεύτερον διδάξατε, τὸ ὅτι ὅμως δὲν ὑπάρχει ἄλλος οὔτε νὰ τὸ σκεφθεῖτε, ὅπως νομίζω, θὰ ἀνεχόσασταν. Ἐμεῖς βέβαια, δεχόμενοι στὴν ὁμοούσια Τριάδα καὶ αὐτὸ καὶ τὰ σχετικά, εἴμαστε εὐσεβεῖς, ἐνῶ ἐσεῖς ποὺ τὰ διαιρεῖτε, πῶς θὰ ἑρμηνεύσετε αὐτὸ ποὺ ἔχει λεχθεῖ; Τόσα λοιπὸν ἂς εἰπωθοῦν γι᾽ αὐτά.

Ἂς ἔρθουμε ὅμως καὶ σ᾽ αὐτὰ ποὺ ξεπερνοῦν τὸν ἑνικὸ ἀριθμό. «Ἂς κάνουμε», λέγει, «ἄνθρωπον. Καὶ ἔκανε ὁ Θεὸς τὸν ἄνθρωπο.

98. Ἡσ. 45, 6.

που, κατ' εἰκόνα Θεοῦ ἐποίησεν αὐτόν». – «Καὶ ἔβρεξε Κύριος παρὰ Κυρίου πῦρ καὶ θεῖον», καὶ «Κύριος ὁ Θεός σου, Κύριος εἷς ἐστι». Τί οὖν ἂν φαῖεν ἐνταῦθα Ἰουδαῖοι; Ἡμῖν μὲν γὰρ οὐκ ἐναντιοῦται οὐδέν, τοῖς τρεῖς ὑποστάσεις μίαν οὐσίαν ὁριζομένοις, αὐτῶν δὲ παντελῶς ἀποκλείει τὰ στόματα. Δῆλον οὖν ἐκ τούτων ὡς ἀναμφισβήτητός ἐστιν ὁ τῆς Ἐκκλησίας στέφανος.

ΡΙΓ'.– ΖΩΣΙΜΩ ΠΡΕΣΒΥΤΕΡΩ

Περὶ περιφρονήσεως σωτηρίας τε καὶ ὑπολήψεως.

Εἰ κινδυνεύεις, ὥς φασί τινες, ἐκ τοῦ καὶ σωτηρίας καὶ ὑπολήψεως κομιδῇ καταπεφρονηκέναι, στόμα μὲν ἀχάλινον καὶ ἀκρατὲς καὶ ἀπύλωτον ἔχειν, φέρεσθαι δὲ καθ' ὧν οὐ θέμις, ἴσως καὶ ἡμεῖς ματαιοπονοῦμεν παραινοῦντες ἀμειλίκτῳ θηρίῳ.

ΡΙΔ'.– ΛΑΜΠΕΤΙΩ

Ἐπαινετική.

Μακάριος εἶ καὶ θαυμαστὸς τοῦτο ὢν ὅπερ καλῇ. Δυνάμενος γὰρ πράττειν ἃ βούλοιο, ἃ ταῖς ἱεραῖς Γραφαῖς καὶ τοῖς θείοις θεσμοῖς ἀρέσκει, μόνα πράττων διατελεῖς.

ΡΙΕ'.– ΕΥΔΑΙΜΟΝΙ

Διὰ τί τοὺς ἄλλους ἀδελφοὺς παρεὶς ὁ Ἰωσήφ,
τὸν Συμεῶνα μόνον διεκέλευε δεθῆναι.

Ἐπειδὴ γέγραφας, δι' ἣν αἰτίαν, τοὺς ἄλλους ἀδελφοὺς παρεὶς ὁ Ἰωσήφ, τὸν Συμεῶνα μόνον ἐκέλευσε δεθῆναι, ὅμηρον τῆς τῶν ἀδελφῶν ἐπανόδου γενησόμενον, φημί, Ἐπειδὴ τῶν τὴν τραγῳδίαν ἐκείνην κατ' αὐτοῦ δραματουργησάντων κορυφαιότατος ἦν. Εἰ γὰρ ἐφράξατο μετὰ τοῦ πρεσβυτάτου, τοῦ γνώμην ἀρίστην εἰσηγησαμένου, ἴσως ἂν καὶ τὴν ἐπιβουλὴν ἀνέτρεψεν. Ἐκείνου μὲν γὰρ νεώτερος ἦν, δεύτερος ὢν καθ' ἡλικίαν, τῶν δ' ἄλλων πρεσβύτερος. Καὶ εἰκὸς ἦν καὶ τοὺς

99. Γεν. 1, 26.
100. Γεν. 19, 24.

Τὸν ἔκανε σύμφωνα μὲ τὴν εἰκόνα τοῦ Θεοῦ»[99]. – «Καὶ ἔβρεξε ὁ Κύριος φωτιὰ καὶ θειάφι ἀπὸ τὸν Κύριο»[100]. Καὶ «Ὁ Κύριος καὶ Θεός σου, εἶναι ἕνας Κύριος»[101]. Τί θὰ μποροῦσαν λοιπὸν νὰ ποῦν ἐδῶ οἱ Ἰουδαῖοι. Γιατὶ τίποτε δὲν εἶναι ἀντίθετο μὲ μᾶς, οἱ ὁποῖοι ὁρίζουμε τρεῖς ὑποστάσεις καὶ μία οὐσία, ἐνῶ τὰ στόματα αὐτῶν τὰ κλείνει τελείως. Εἶναι λοιπὸν φανερὸ ἀπὸ αὐτά, ὅτι τὸ στεφάνι τῆς Ἐκκλησίας εἶναι ἀναμφισβήτητο.

113.– ΣΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟ ΖΩΣΙΜΟ

Γιὰ τὴν περιφρόνηση τῆς σωτηρίας καὶ τῆς ὑπολήψεως.

Ἐὰν κινδυνεύεις, ὅπως λένε μερικοί, ἀπὸ τὸ ὅτι ἔχεις περιφρονήσει πολὺ καὶ τὴ σωτηρία καὶ τὴν ὑπόληψη, νὰ ἔχεις στόμα ἀχαλίνωτο, ἀσυγκράτητο καὶ ἀπύλωτο, καὶ νὰ καταφέρεσαι ἐναντίον ἐκείνων ποὺ δὲν πρέπει, ἴσως καὶ ἐμεῖς ματαιοπονοῦμε προτρέποντας θηρίο ἀδυσώπητο.

114.– ΣΤΟΝ ΛΑΜΠΕΤΙΟ

Ἐπαινετική.

Εἶσαι εὐτυχὴς καὶ ἀξιοθαύμαστος ὄντας αὐτὸ ποὺ ὀνομάζεσαι. Γιατί, ἐνῶ μπορεῖς νὰ κάνεις αὐτὰ ποὺ θέλεις, ζεῖς κάνοντας μόνο αὐτὰ ποὺ ἀρέσουν στὶς ἅγιες Γραφὲς καὶ στοὺς θείους νόμους.

115.– ΣΤΟΝ ΕΥΔΑΙΜΟΝΑ

Γιατί, ἀφήνοντας τοὺς ἄλλους ἀδελφούς του ὁ Ἰωσήφ, διέταξε νὰ φυλακισθεῖ μόνον ὁ Συμεών[102].

Ἐπειδὴ μοῦ ἔγραψες ρωτώντας, γιὰ ποιὰ αἰτία ὁ Ἰωσήφ, ἀφήνοντας τοὺς ἄλλους ἀδελφούς, διέταξε νὰ φυλακισθεῖ μόνο ὁ Συμεών, γιὰ νὰ γίνει ὅμηρος τῆς ἐπιστροφῆς τῶν ἀδελφῶν του, σοῦ λέγω· Ἐπειδὴ ἦταν ὁ ἐπικεφαλῆς ἐκείνων ποὺ πραγματοποίησαν ἐναντίον του ἐκείνη τὴν τραγωδία. Γιατί, ἂν ἐμπόδιζε τὰ ἀδέλφια μαζὶ μὲ τὸν μεγαλύτερο, ὁ ὁποῖος εἰσηγήθηκε μιὰ ἄριστη γνώμη, θὰ μποροῦσε ἴσως νὰ ἀνατρέψει καὶ τὴν ἐναντίον του σκευωρία. Γιατὶ ἦταν νεώτερος ἀπὸ ἐκεῖνον, ὄντας δεύτερος στὴν ἡλικία, καὶ μεγαλύτερος ἀπὸ

101. Δευτ. 6, 4.

102. Γεν. 42, 25 ἑ.

ἄλλους ἢ φοβηθέντας ἢ δυσωπηθέντας τὴν τῶν πρεσβυτάτων γνώμην σβέσαι τὴν ἐπιβουλήν, καὶ μάλιστα καὶ τοῦ τετάρτου ἀγανακτοῦντος ἐπὶ τοῖς γινομένοις, καὶ αὐτοῦ τοῦ πράγματος ἔχοντος πολλὴν τὴν ῥοπὴν πρὸς τὸ μὴ πραχθῆναι. Ἐπεὶ τοίνυν οὐδὲ ῥῆξαι φωνὴν ὑπὲρ τοῦ δικαίου ἐτόλμησεν, ἐκέλευσεν αὐτὸν δεθῆναι, ὡς ὑπὲρ τῶν ἀδελφῶν ὁμηρεύσοντα, οὐ τιμωρούμενος αὐτὸν τοσοῦτον (μετ' οὐ πολὺ γὰρ εὐηργέτησεν), ὅσον παιδεύων μηκέτι τοῖς αὐτοῖς ἐπιχειρεῖν. Εἰς γὰρ ἀγῶνα αὐτὸν τοιοῦτον καταστήσας καὶ εἰς ἔννοιαν ἀγαγὼν τῶν οὐ δεόντως πεπραγμένων, ὕστερον ἀκέραιον τῷ πατρὶ πέπομφε.

ΡΙΣ'.– ΜΑΡΩΝΙ ΠΡΕΣΒΥΤΕΡΩ

Ὅτι ἄξιοι ἐπαίνων οἱ τὰς φιλίας ἀσπαζόμενοι ὑπὲρ τῆς εὐσεβείας καὶ τῆς ἀρετῆς, τοὺς δὲ ταῦτα πάντα καταβλάπτοντας αἰσχροὺς νομίζειν καὶ φεύγειν.

Οὐ χρή, ὦ πρὸς μὲν τὰς ἐνδόξους πράξεις ἀχρηστότατε, πρὸς δὲ τὰς αἰσχίστας πρακτικώτατε, καλοὺς ἅπαντας ἡγεῖσθαι τοὺς ὑπὲρ τῶν τυχόντων κινδύνους, ἀλλὰ τοὺς μὲν ὑπὲρ τῆς εὐσεβείας καὶ τῆς ἀρετῆς καὶ τῶν δι' ἀρετὴν τὰς φιλίας ἀσπασαμένων ἐπαίνων ἀξίους, τοὺς δὲ ταῦτά τε πάντα καταβλάπτοντας καὶ τὰς πράξεις τὰς πρότερον κατωρθωμένας καταρρυπαίνοντας, αἰσχροὺς νομίζειν καὶ προτροπάδην φεύγειν, ὡς ἀδοξίας αἰτίους. Οὐ γὰρ τοὺς κινδύνους τοσοῦτον, ὅσον τὰς αἰτίας ἐξετάζειν εἰώθασιν οἱ ἄνθρωποι, οὐ τὰ φύντα, ἀλλὰ τὰ σπέρματα, οὐ τοὺς κλάδους, ἀλλὰ τὰς ῥίζας τῶν πραγμάτων. Πολλοὶ γοῦν λῃσταὶ καὶ ἀνδροφόνοι ὑπὲρ τῶν ὁμοτρόπων ἀγωνιζόμενοι τεθνήκασι, καὶ οὐκ ἄν τις τούτους ἐπαινέσειεν· ὑπὲρ γὰρ τῆς κακίας ἠγωνίσαντο. Πολλοὶ ὑπὲρ πατρίδος καὶ γονέων καὶ παίδων ἐπέδωκαν ἑαυτούς, καὶ οὐκ ἄν τις αὐτοὺς μέμψοιτο, ἀλλὰ καὶ ἐπαινέσειεν· ὑπὲρ γὰρ τῶν τῆς φύσεως δικαίων ἐτελεύτησαν. Διὸ ἐκείνους μὲν κακίζουσι, τούτους δὲ ἀναρρήσεων καὶ στηλῶν ἀξιοῦσι.

τοὺς ἄλλους. Καὶ ἦταν φυσικὸ καὶ οἱ ἄλλοι, ἢ ἀπὸ φόβο ἢ ἀπὸ σεβασμὸ τῆς γνώμης τῶν μεγαλυτέρων, νὰ ἀκυρώσουν τὴν ἀπόφαση, ἀφοῦ μάλιστα καὶ ὁ τέταρτος ἀγανακτοῦσε γι' αὐτὰ ποὺ γίνονταν καὶ ἔκλινε πολὺ στὸ νὰ μὴ πραγματοποιηθεῖ αὐτὴ ἡ πράξη. Ἐπειδὴ λοιπὸν δὲν τόλμησε οὔτε φωνὴ νὰ βγάλει γιὰ τὸν δίκαιο, διέταξε αὐτὸς νὰ δεθεῖ, γιὰ νὰ γίνει ὅμηρος γιὰ τοὺς ἀδελφούς του, χωρὶς νὰ τιμωρηθεῖ τόσο πολὺ (ἀφοῦ μετὰ ἀπὸ λίγο τὸν εὐεργέτησε), ὅσο γιὰ νὰ τὸν διδάξει νὰ μὴ κάνει τὰ ἴδια ποτέ. Γιατί, ἀφοῦ τὸν ἔφερε σὲ τέτοια ἀγωνία καὶ τὸν ὁδήγησε στὴ σκέψη ἐκείνων ποὺ δὲν ἔπρεπε νὰ κάνει, ὕστερα τὸν ἔστειλε σῶον στὸν πατέρα του.

116.– ΣΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟ ΜΑΡΩΝΑ

Ὅτι εἶναι ἀξιέπαινοι ὅσοι ἀσπάζονται τὶς φιλίες ἐξαιτίας τῆς εὐσέβειας καὶ τῆς ἀρετῆς, ἐνῶ ἐκείνους ποὺ τὰ βλάπτουν ὅλα αὐτὰ νὰ τοὺς θεωροῦμε αἰσχροὺς καὶ νὰ τοὺς ἀποφεύγουμε.

Δὲν πρέπει, σὺ ὁ ἀχρηστότατος γιὰ τὶς ἔνδοξες πράξεις καὶ ἱκανώτατος γιὰ αἰσχρότατες, νὰ θεωρεῖς καλοὺς ὅλους τοὺς κινδύνους γιὰ τὰ τυχαῖα πράγματα, ἀλλὰ αὐτοὺς ποὺ γίνονται γιὰ τὴν πίστη καὶ τὴν ἀρετή, καὶ ἐκείνους ποὺ ἐξαιτίας τῆς ἀρετῆς παραδέχονται τὶς φιλίες, νὰ τοὺς θεωρεῖς ἄξιους ἐπαίνων, ἐνῶ ἐκείνους ποὺ καὶ ὅλα αὐτὰ τὰ βλάπτουν, καὶ τὶς πράξεις ποὺ προηγουμένως εἶχαν κατορθωθεῖ τὶς καταρρυπαίνουν, νὰ τοὺς θεωρεῖς αἰσχροὺς καὶ νὰ τοὺς ἀποφεύγεις βάζοντάς το στὰ πόδια, ἐπειδὴ εἶναι αἴτιοι τῆς κακῆς φήμης. Γιατὶ οἱ ἄνθρωποι δὲν συνηθίζουν νὰ ἐξετάζουν τόσο πολὺ τοὺς κινδύνους, ὅσο τὶς αἰτίες, ὄχι τὰ φυτά, ἀλλὰ τοὺς σπόρους, ὄχι τὰ κλαδιά, ἀλλὰ τὶς ρίζες τῶν πραγμάτων. Πολλοὶ λοιπὸν ληστὲς καὶ δολοφόνοι πέθαναν ἀγωνιζόμενοι γιὰ τοὺς ὁμοίους τους, καὶ κανένας δὲν θὰ μποροῦσε νὰ τοὺς ἐπαινέσει αὐτούς, γιατὶ ἀγωνίσθηκαν γιὰ τὴν κακία. Πολλοὶ ἐπίσης θυσίασαν τοὺς ἑαυτούς τους γιὰ τὴν πατρίδα καὶ τοὺς γονεῖς καὶ γιὰ τὰ παιδιά τους, καὶ δὲν θὰ μποροῦσε αὐτοὺς νὰ τοὺς κατηγορήσει κανείς, ἀλλὰ καὶ θὰ τοὺς ἐπαινέσει, γιατὶ πέθαναν γιὰ τὰ δίκαια τῆς φύσεως. Γι' αὐτὸ ἐκείνους βέβαια τοὺς κακίζουν, ἐνῶ αὐτοὺς τοὺς τιμοῦν μὲ ἀνακηρύξεις καὶ ἀναμνηστικὲς στῆλες.

ΡΙΖ'.– ΙΣΧΥΡΙΩΝΙ

Εἰς τό, «Εἰ οὖν ὑμεῖς πονηροὶ ὄντες...».

Μεγάλη τοῦ Θεοῦ ἡ ἀγαθότης καὶ τῶν ἀνθρώπων ἡ ὠμότης. Ὁ γὰρ ἀναβολὴν αἰτησάμενος καὶ ἄφεσιν κομισάμενος, οὗτος ἀναβολὴν αἰτηθείς, οὐ μόνον οὐκ ἔδωκεν, ἀλλὰ καὶ εἰς δεσμωτήριον καθεῖρξε τὸν σύνδουλον, καὶ ταῦτα μηδὲ τοσαῦτα χρεωστοῦντα, ὅσα αὐτὸς ἐχρεώστησεν. Ὁ μὲν γὰρ μύρια τάλαντα εἶχεν, ὁ δὲ πεντήκοντα δηνάρια. Εἰκότως τοιγαροῦν τῇ θείᾳ χρηστότητι τὴν τῶν ἀνθρώπων ἀγαθότητα παραβάλλων ὁ εὐαγγελικὸς χρησμός, πονηρίαν αὐτὴν ἐκάλεσε, λέγων· «Εἰ οὖν ὑμεῖς, πονηροὶ ὄντες, οἴδατε δόματα ἀγαθὰ διδόναι τοῖς τέκνοις ὑμῶν», οὐ πάσης τῆς φύσεως πονηρίαν καταγινώσκων (ἄπαγε. γέγραπται γάρ· «Ἀγάθυνον, Κύριε, τοῖς ἀγαθοῖς», καί, «Ὁ ἀγαθὸς ἄνθρωπος ἐκφέρει ἐκ τοῦ θησαυροῦ αὐτοῦ τὰ ἀγαθά»), ἀλλὰ πρὸς τὴν θείαν ἀγαθότητα τὴν ἀνθρωπίνην παραβάλλων, πονηρίαν αὐτὴν ἐκάλεσε, πόσῳ γὰρ μᾶλλον ὁ Πατὴρ ὑμῶν», φησί, «δώσει ἀγαθὰ τοῖς αἰτοῦσιν αὐτόν;».

ΡΙΗ'.– ΙΣΙΔΩΡΩ ΔΙΑΚΟΝΩ

Περὶ τοῦ λόγου, τῆς ἀρετῆς καὶ τῆς εὐσεβείας.

Θεῖον μέν τι χρῆμα ὁ λόγος, θειότερον δὲ ἡ ἀρετή, θειότατον δὲ ἡ εὐσέβεια. Ὁ μὲν οὖν καὶ λόγῳ καὶ ἔργῳ καὶ πίστει κεκοσμημένος, ἀνυπέρβλητος καὶ ἀοίδιμος καὶ τῆς ἀκροτάτης μακαριότητος ἄξιος, ὁ δὲ καθ' ὁπότερον τούτων λειπόμενος, τοσοῦτον ἐλαττοῦται, ὅσον ἡ ἀναλογία τοῦ ἐλλειφθέντος ἀπαιτεῖ.

ΡΙΘ'.– ΠΑΥΛΩ

Εἰς τό, «Πάντες ὅσοι ἦλθον πρὸ ἐμοῦ, κλέπται ἦσαν καὶ λῃσταί».

Τό, «Πάντες, ὅσοι ἦλθον πρὸ ἐμοῦ, κλέπται ἦσαν καὶ λῃσταί», οὐ περὶ τῶν προφητῶν καὶ τοῦ νόμου εἴρηται, ὡς οἱ

---

103. Ματθ. 7, 11.
104. Ματθ. 18, 23-30.
105. Ματθ. 7, 11.
106. Ψαλμ. 124, 4.

117.- ΣΤΟΝ ΙΣΧΥΡΙΩΝΑ

Στὴ ρήση· «Ἐὰν σεῖς ποὺ εἴσαστε κακοὶ ...»[103].

Εἶναι μεγάλη ἡ ἀγαθότητα τοῦ Θεοῦ καὶ ἡ ὠμότητα τῶν ἀνθρώπων. Γιατὶ αὐτὸς ποὺ ζήτησε ἀναβολὴ καὶ ἔλαβε καὶ ἐξόφληση, ὁ ἴδιος, ὅταν τοῦ ζητήθηκε ἀναβολή, ὄχι μόνο δὲν ἔδωσε, ἀλλὰ καὶ ἔκλεισε στὴ φυλακὴ τὸν σύνδουλό του, καὶ αὐτό, ἐνῶ δὲν τοῦ χρεωστοῦσε τόσα, ὅσα χρεωστοῦσε ἐκεῖνος. Γιατὶ ὁ πρῶτος χρεωστοῦσε δέκα χιλιάδες τάλαντα, ἐνῶ ὁ ἄλλος πεντήντα δηνάρια[104]. Δικαιολογημένα λοιπὸν ὁ εὐαγγελικὸς λόγος, παραβάλλοντας μὲ τὴ χρηστότητα τοῦ Θεοῦ, τὴν ἀγαθότητα τῶν ἀνθρώπων, τὴν ὀνόμασε πονηρία, λέγοντας· «Ἐὰν λοιπὸν σεῖς ποὺ εἶστε κακοί, ξέρετε νὰ δίνετε ὠφέλιμα πράγματα στὰ παιδιά σας»[105], χωρὶς νὰ κατηγορεῖ γιὰ πονηρία ὅλη τὴ φύση (μακριὰ μιὰ τέτοια σκέψη, γιατὶ ἔχει γραφεῖ· «Εὐεργέτησε, Κύριε, τοὺς ἀγαθούς»[106], καί, «Ὁ ἀγαθὸς ἄνθρωπος βγάζει ἀπὸ τὸ θησαυροφυλάκιό του τὰ ἀγαθά»[107]), ἀλλὰ παραβάλλοντας πρὸς τὴ θεία ἀγαθότητα τὴν ἀνθρώπινη, τὴν ὀνόμασε πονηρία· γιατὶ λέγει· «Πόσο μᾶλλον ὁ Πατέρας σας ὁ οὐράνιος θὰ δώσει ἀγαθὰ σ' ἐκείνους ποὺ τὸν παρακαλοῦν;»[108].

118.- ΣΤΟΝ ΔΙΑΚΟΝΟ ΙΣΙΔΩΡΟ

Γιὰ τὸν λόγο, τὴν ἀρετὴ καὶ τὴν εὐσέβεια.

Ὁ λόγος βέβαια εἶναι ἕνα θεῖο πρᾶγμα, θεϊκώτερο ὅμως εἶναι ἡ ἀρετή, καὶ θεϊκώτατο ἡ εὐσέβεια. Αὐτὸς λοιπὸν ποὺ εἶναι στολισμένος καὶ μὲ λόγο καὶ μὲ ἔργο καὶ μὲ πίστη, εἶναι ἀνυπέρβλητος καὶ ἀείμνηστος καὶ ἄξιος τῆς στὸ ἔπακρον μακαριότητας, ἐνῶ ἐκεῖνος ποὺ στερεῖται ὁποιοδήποτε ἀπὸ αὐτά, εἶναι τόσο κατώτερος, ὅσο ἀπαιτεῖ ἡ ἀναλογία αὐτοῦ ποὺ τοῦ λείπει.

119.- ΣΤΟΝ ΠΑΥΛΟ

Στὴ ρήση· «Ὅλοι ὅσοι ἦρθαν πρὶν ἀπὸ μένα,
ἦταν κλέφτες καὶ ληστές»[109].

Τό, «Ὅλοι ὅσοι ἦρθαν πρὶν ἀπὸ μένα ἦταν κλέφτες καὶ ληστές», δὲν εἰπώθηκε γιὰ τοὺς προφῆτες καὶ τὸν νόμο, ὅπως θέλουν αὐτοὶ

107. Ματθ. 12, 35. 108. Ματθ. 7, 11. 109. Ἰω. 10, 8.

τὴν Παλαιὰν ἀθετοῦντες βούλονται (δι' αὐτῆς γὰρ καὶ εἰς τὴν πίστιν ἐχειραγωγήθημεν οἱ πιστεύσαντες, ἀκούσαντες τοῦ Χριστοῦ τὰς Γραφὰς ἄνω καὶ κάτω προτεινομένου ὡς μαρτυρούσας περὶ αὐτοῦ), ἀλλὰ περὶ τῶν ψευδοπροφητῶν, περὶ ὧν αὐτὸς ἔφη· «Οὐκ ἀπέστελλον αὐτούς, καὶ αὐτοὶ ἔτρεχον». Οὐ γὰρ εἶπε, Πάντες ὅσοι ἀπεστάλησαν, ἀλλ', «ὅσοι ἦλθον». Οἱ μὲν γὰρ προφῆται ἀπεστάλησαν (Μωσῆς μὲν γὰρ ἤκουσε, «Δεῦρο, ἀποστελῶ σε εἰς Αἴγυπτον», Ἡσαΐας δὲ ἤκουε τοῦ Θεοῦ λέγοντος, «Τίνα ἀποστείλω καὶ τίς πορεύσεται πρὸς τὸν λαὸν τοῦτον;», καὶ ἔλεγεν, «Ἰδοὺ ἐγώ, ἀπόστειλόν με»), οἱ δὲ ψευδοπροφῆται καὶ οἱ εἰς ἄρχοντας καὶ προστάτας ἀναδραμόντες (οἷοι ἦσαν καὶ οἱ περὶ Θευδᾶν καὶ Ἰούδαν τὸν Γαλιλαῖον καὶ τὸν Αἰγύπτιον τὸν τῶν Σικαρίων προστάντα, οὐκ ἀποστελλόμενοι, ἀλλὰ φανητιῶντες καὶ αὐτοχειροτόνητοι καὶ σπουδαρχίδαι τυγχάνοντες, οἴκοθεν ηὐτομόλησαν. Ὅτι δὲ περὶ αὐτῶν τούτων ἐρρέθη, τὸ ἑπόμενον δηλοῖ· «Ὁ κλέπτης», γάρ φησιν, «οὐκ ἔρχεται, εἰ μὴ ἵνα θύσῃ καὶ κλέψῃ καὶ ἀπολέσῃ». Πάντες γάρ, ὅσοι αὐτοῖς ἐπείσθησαν, κατεσφάγησαν καὶ ἀπώλοντο, παραβραβεῦσαι τὴν ἀλήθειαν ἐγχειρήσαντες, καὶ λόγου θᾶττον εἰς τὸ παντελὲς ἀποσβεσθέντες.

ΡΚ'.– ΙΣΙΔΩΡΩ ΔΙΑΚΟΝΩ
Περὶ τοῦ ποιεῖν τε καὶ διδάσκειν.

Τὸ μὲν ποιεῖν καὶ διδάσκειν ἀνυπέρβλητον τυγχάνει, τὸ δὲ ποιεῖν μέν, μὴ διδάσκειν δέ, ἔλαττόν ἐστι. Χωλεύει γὰρ καθ' ἓν μέρος. Διὸ καὶ λογικός ἐστιν ὁ ἄνθρωπος. Εἰ γὰρ τὸ ποιῆσαι διδάξαι ἦν, οὐκ ἂν ἐρρέθη, «Ὃς δ' ἂν ποιήσῃ καὶ διδάξῃ, οὗτος μέγας κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν». Τί γὰρ τοσοῦτον ἰσχύει βίος ἄριστος, ὅταν περὶ δογμάτων ἀγὼν προκήται καὶ ὁ τοῖς νόθοις συνηγορῶν, πολὺς κατὰ τῶν ὀρθῶν δογμάτων φέρηται; Τὸ δὲ μὴ ποιεῖν μέν, διδάσκειν δέ, εἰ καὶ φύλ-

110. Ἱερ. 23, 21.
111. Ἐξ. 3, 10.

πού δὲν δέχονται τὴν Παλαιὰ Διαθήκη (γιατὶ μὲ αὐτὴν χειραγωγηθήκαμε στὴν πίστη ὅσοι πιστέψαμε, ἀκούοντας τὸν Χριστὸ νὰ παρουσιάζει τὶς Γραφὲς ἀπὸ τὴν ἀρχὴ ὡς τὸ τέλος, ὅτι μαρτυροῦν γι᾽ αὐτόν), ἀλλὰ γιὰ τοὺς ψευτοπροφῆτες, γιὰ τοὺς ὁποίους ὁ ἴδιος εἶπε· «Δὲν τοὺς ἔστελνα, καὶ αὐτοὶ ἔτρεχαν»[110]. Δὲν εἶπε δηλαδή, ὅλοι ὅσοι στάλθηκαν, ἀλλ᾽ «ὅσοι ἦρθαν». Οἱ προφῆτες δηλαδὴ στάλθηκαν (γιατὶ ὁ Μωϋσῆς ἄκουσε· «Ἔλα νὰ σὲ στείλω στὴν Αἴγυπτο»[111]. Καὶ ὁ Ἡσαΐας ἄκουσε τὸν Θεὸ νὰ τοῦ λέγει· «Ποιὸν νὰ στείλω, καὶ ποιὸς θὰ πάει στὸν λαὸ αὐτόν;»[1], καὶ ἀπάντησε· «Νά, θὰ πάω ἐγώ· στεῖλε με»), ἐνῶ οἱ ψευδοπροφῆτες, οἱ ὁποῖοι ἔτρεξαν καὶ σὲ ἄρχοντες καὶ σὲ προστάτες (τέτοιοι ἦταν οἱ γύρω ἀπὸ τὸν Θευδᾶ καὶ τὸν Ἰούδα τὸν Γαλιλαῖο, καὶ τὸν Αἰγύπτιο, ὁ ὁποῖος ἦταν ἀρχηγὸς τῶν Σικαρίων[1α]), οἱ ὁποῖοι δὲν ἀποστέλλονταν, ἀλλά, ὄντας ἐπιδεξίες καὶ αὐτοχειροτόνητοι, πού ἐπιδίωκαν μὲ κάθε τρόπο νὰ καταλάβουν ἀξιώματα, πήγαιναν μόνοι τους. Ὅτι βέβαια γι᾽ αὐτοὺς ἀκριβῶς εἰπώθηκε, τὸ φανερώνει τὸ ἑπόμενο χωρίο· γιατὶ λέγει· «Ὁ κλέφτης δὲν ἔρχεται γιὰ τίποτε ἄλλο, παρὰ μόνο γιὰ νὰ σφάξει, νὰ κλέψει καὶ νὰ καταστρέψει»[2]. Πράγματι ὅλοι ὅσοι πίστεψαν σ᾽ αὐτοὺς σφάχθηκαν καὶ χάθηκαν, ἐπειδὴ ἐπιχείρησαν νὰ παραχαράξουν τὴν ἀλήθεια, καὶ ἐξαφανίσθηκαν μιὰ γιὰ πάντα πιὸ γρήγορα καὶ ἀπὸ τὸν λόγο.

120.– ΣΤΟΝ ΔΙΑΚΟΝΟ ΙΣΙΔΩΡΟ.

Γιὰ τὴν ἔμπρακτη ἐφαρμογὴ τῶν λόγων καὶ τὴ διδασκαλία.

Τὸ νὰ κάνεις βέβαια καὶ νὰ διδάσκεις εἶναι ἀνυπέρβλητο, ἐνῶ τὸ νὰ κάνεις, ἀλλὰ νὰ μὴ διδάσκεις, εἶναι κατώτερο, γιατὶ χωλαίνει κατὰ ἕνα μέρος. Γι᾽ αὐτὸ καὶ ὁ ἄνθρωπος εἶναι λογικός. Γιατί, ἂν ἡ πράξη ἦταν διδασκαλία, δὲν θὰ λεγόταν· «Ὅποιος ὅμως ἐφαρμόσει καὶ διδάξει, αὐτὸς θὰ ὀνομασθεῖ μεγάλος στὴ βασιλεία τῶν οὐρανῶν»[3]. Τί δηλαδὴ τὸ τόσο μεγάλο κατορθώνει ὁ ἄριστος βίος, ὅταν γίνεται ἀγώνας γιὰ τὴ διδασκαλία, καὶ αὐτὸς πού ὑπερασπίζεται τὰ νόθα, καταφέρεται μὲ τόση σφοδρότητα ἐναντίον τῶν ὀρθῶν δογμάτων; Ἐνῶ τὸ νὰ μὴ κάνει βέβαια αὐτὰ πού λέγει, ἀλλὰ νὰ διδάσκει, ἂν καὶ φαίνεται

1. Ἡσ. 6, 8.
2. Ἰω. 10, 10.
1α. Μία ἀπὸ τὶς πιὸ ριζοσπαστικὲς τάξεις τῶν Ζηλωτῶν.
3. Ματθ. 5, 19.

λα δοκεῖ ἔχειν, καρποῦ ἐστέρηται, καὶ γέλωτος καὶ κωμῳδίας καὶ κατακρίσεως οὐκ ἀμοιρεῖ.

ΡΚΑ'.– ΕΥΤΟΝΙΩ ΔΙΑΚΟΝΩ
Περὶ τοῦ παρρησιάζεσθαι καὶ μή.

Ὥσπερ ὀξὺ μὲν ἢ βαρὺ κομιδῇ φθέγξασθαι ῥᾴδιον, τοῦ δὲ μέσου τυχεῖν μουσικῆς ἐστιν ἕξεως, οὕτω καὶ περὶ τὸ παρρησιάζεσθαι καὶ μὴ λογιστέον. Οἱ μὲν γὰρ οὐ τοῦ ὠφελῆσαι, ἀλλὰ τοῦ ὑβρίσαι γίνονται μόνον, οἱ δὲ τοῦ κολακεύειν καὶ τὰ μὴ προσόντα ἐγκώμια ὑφαίνειν, οἱ δὲ μέτρῳ ἀρίστῳ χρώμενοι, οὔτε ὑβρίζουσιν οὔτε θωπεύουσιν, ἀλλὰ κεράσαντες τῇ παρρησίᾳ τὴν αἰδὼ καὶ τῇ ἐπιτιμήσει τὴν προσήνειαν, οὕτως ἐπὶ τὸ ἰατρεύειν τοὺς ἑαυτοὺς ἀγνοοῦντας ἔρχονται. Οὐκοῦν καὶ αὐτός, ταύτῃ τῇ ἀγωγῇ χρησάμενος, ἦκε ἐπὶ τὴν θεραπείαν Ἡσαΐου, τοῦ ἐκ τῆς ἄγαν ἀλαζονείας, καὶ τὸ ἄνθρωπον ἑαυτὸν νομίζειν ἀπολωλεκότος.

ΡΚΒ'.– ΠΑΥΛΩ
Εἰς τὸ γεγραμμένον, «Ὅτι οὐδεὶς ἁρπάζει αὐτὰ ἐκ τῆς χειρὸς αὐτοῦ».

Ἐπειδὴ γέγραφας, Εἰ γέγραπται, «Οὐδεὶς ἁρπάζει αὐτὰ ἐκ τῆς χειρὸς τοῦ Πατρός μου», πῶς πολλοὶ ἀπόλλυνται; φημί, ὅτι ἁρπάσαι μὲν οὐδεὶς δύναται ἐκ τῆς ἀμάχου καὶ ἀηττήτου δεξιᾶς τοὺς διὰ πίστεως ὀρθῆς καὶ πολιτείας ἀρίστης ἑαυτοὺς οἰκείους αὐτῆς εἶναι παρασκευάσαντας, ἀπατῆσαι δὲ δυνήσεται. Τοῦτ' ἔστι, βίᾳ μὲν καὶ τυραννίδι ἀποσπάσαι οὐδεὶς δυνήσεται, παραλογισμοῖς δὲ καὶ ἀπάταις ἀποπλανῆσαι δυνήσεται. Ἀλλ' οὐ παρὰ τὴν ἀήττητον δεξιὰν γίνεται τοῦτο, ἀλλὰ παρὰ τὴν τῶν αὐτεξουσίων ἀνθρώπων ῥᾳθυμίαν. Οὐ γὰρ ἐκ τῆς τοῦ φυλάττοντος ἀσθενείας, ἀλλ' ἐκ τῆς τῶν φυλαττομένων εὐχερείας ἡ ἀπώλεια συμβαίνει.

πὼς ἔχει φύλλα, δὲν ἔχει καρπό, καὶ εἶναι ἄξιος γιὰ γέλια καὶ διακωμώδηση καὶ κατάκριση.

121.– ΣΤΟΝ ΔΙΑΚΟΝΟ ΕΥΤΟΝΙΟ
Γιὰ τὴν παρρησία στὸ λόγο ἢ μή.

Ὅπως τὸ νὰ ποῦμε κάτι πολὺ μεγάλο ἢ βαρὺ εἶναι εὔκολο, ἐνῶ τὸ νὰ ἐπιτύχουμε τὸ μέσον εἶναι γνώρισμα ἁρμονικῆς συνήθειας, ἔτσι πρέπει νὰ σκεφθοῦμε καὶ γιὰ τὸ ἂν πρέπει νὰ μιλᾶμε μὲ παρρησία ἢ ὄχι. Γιατὶ ἄλλοι μιλοῦν ὄχι βέβαια γιὰ νὰ ὠφελήσουν, ἀλλὰ γιὰ νὰ χλευάσουν μόνο, ἄλλοι πάλι γιὰ νὰ κολακέψουν καὶ νὰ πλέξουν ἐγκώμια γιὰ ἀνύπαρκτα προσόντα, ἐνῶ ἐκεῖνοι ποὺ ἐφαρμόζουν ἄριστο μέτρο, οὔτε βρίζουν, οὔτε χαϊδεύουν, ἀλλὰ συνδυάζοντας μὲ τὴν παρρησία τὴ ντροπὴ καὶ μὲ τὴν ἐπίπληξη τὴν πραότητα, ἐπιδιώκουν μὲ τὸν τρόπον αὐτὸν νὰ θεραπεύσουν αὐτοὺς ποὺ ἀγνοοῦν τοὺς ἑαυτούς τους. Λοιπὸν καὶ σύ, χρησιμοποιώντας αὐτὴ τὴ θεραπευτικὴ μέθοδο, φρόντισε γιὰ τὴ θεραπεία τοῦ Ἡσαΐα, ὁ ὁποῖος μὲ τὴ μεγάλη ἀλαζονεία του ἔχει χάσει καὶ τὸ νὰ θεωρεῖ ὅτι εἶναι ἄνθρωπος.

122.– ΣΤΟΝ ΠΑΥΛΟ
Σ' αὐτὸ ποὺ ἔχει γραφεῖ· «Κανένας δὲν μπορεῖ νὰ ἁρπάξει αὐτὰ ἀπὸ τὰ χέρια τοῦ Πατέρα μου»[4].

Ἐπειδὴ μοῦ ἔγραψες, Ἐφόσον ἔχει γραφεῖ ὅτι, «Κανεὶς δὲν ἁρπάζει αὐτὰ ἀπὸ τὰ χέρια τοῦ Πατέρα μου», τότε γιατί πολλοὶ χάνονται; σοῦ ἀπαντῶ, ὅτι κανένας βέβαια δὲν μπορεῖ νὰ ἁρπάξει ἀπὸ τὴν ἀκαταμάχητη καὶ ἀνίκητη δεξιὰ αὐτοὺς ποὺ μὲ τὴν ὀρθὴ πίστη τους καὶ τὸν ἄριστο τρόπο τῆς ζωῆς τους ἔχουν κάνει τοὺς ἑαυτούς τους φίλους μὲ αὐτήν, θὰ μπορέσει ὅμως νὰ τοὺς ἐξαπατήσει. Δηλαδὴ μὲ τὴ βία καὶ τὸν ἐξαναγκασμὸ δὲν θὰ μπορέσει κανένας νὰ τοὺς ἀποστάσει, θὰ μπορέσει ὅμως νὰ τοὺς παραπλανήσει μὲ παραλογισμοὺς καὶ ἀπάτες. Αὐτὸ ὅμως δὲν γίνεται ἀπὸ τὴν ἀκατανίκητη δύναμή του, ἀλλὰ ἀπὸ τὴ ραθυμία τῶν αὐτεξούσιων ἀνθρώπων. Ἡ ἀπώλεια δηλαδὴ γίνεται ὄχι ἐξαιτίας τῆς ἀδυναμίας τοῦ φύλακα, ἀλλ' ἐξαιτίας τῆς ἐπιπόλαιας συμπεριφορᾶς αὐτῶν ποὺ φυλάσσονται.

---

4. Ἰω. 10, 29.

ΡΚΓ'.– ΠΕΤΡΩ

Ὅτι ἀμείνων τοῦ αἰσχρῶς μὲν βεβιωκότος, λέγειν δὲ εἰς ὑπερβολὴν δυνατοῦ, ὁ λέγειν μὲν οὐκ εὐφυής, τὰ δὲ κατὰ τὸν βίον λαμπρὸς καὶ πρὸς δικαιοσύνην καὶ ἐγκράτειαν διαφέρων.

Ἀμείνων τοῦ αἰσχρῶς μὲν βεβιωκότος, λέγειν δὲ εἰς ὑπερβολὴν δυνατοῦ, ὁ λέγειν μὲν οὐκ εὐφυής, τὰ δὲ κατὰ τὸν βίον λαμπρὸς καὶ πρὸς δικαιοσύνην καὶ ἐγκράτειαν διαφέρων. Εἰ δέ τις καὶ λόγῳ καὶ βίῳ διαλάμποι, οὗτος ἀπαράβλητος τυγχάνει, διὰ πραγμάτων κρίσιν εἶναι ὁμολογῶν, καὶ τοὺς ἐκ τοῦ πρὸς τὴν ἐκπλήρωσιν ἐκλελῦσθαι τῶν ἐντολῶν τὰ πάντως ἐκβησόμενα ὑπερβολικῶς εἰρῆσθαι νομίζοντας, παραγραφόμενος.

ΡΚΔ'.– ΠΑΥΛΩ

Ὅτι χρὴ μήθ' ὑπονοεῖσθαι ποιεῖν, ἃ ποιεῖν αἰσχρόν, μήτε τοῖς διαπραττομένοις αὐτὰ ἐπιτηδείοις χρῆσθαι.

Εἰ μήτε τοῖς αἰσχροῖς ἐπιτηδεύμασι, μήτε τοῖς χρωμένοις αὐτοῖς χρῷο, λαμπράν σοι παρὰ πάντων εὐφημίαν θήσει. Τὸ μὲν γὰρ χρῆσθαι αὐτοῖς ἀνελεύθερον, τὸ δὲ μὴ χρῆσθαι μὲν αὐτοῖς, τοῖς δὲ χρωμένοις χρῆσθαι τὴν δόξαν λυμαίνεται. Χρὴ γὰρ μήθ' ὑπονοεῖσθαι ποιεῖν, ἃ ποιεῖν αἰσχρόν, μήτε τοῖς διαπραττομένοις αὐτὰ ἐπιτηδείοις χρῆσθαι. Δεῖ γὰρ φοβεῖσθαι τὰς κακηγορίας, κἂν μὴ ἀληθεῖς ὦσιν, ἐπειδὴ πολλοί, τὴν ἀκρίβειαν ἀγνοοῦντες, πρὸς τὴν δόξαν ἀποβλέπουσι, καὶ τοιοῦτον ἕκαστον εἶναι κρίνουσιν, οἵους ἂν τοὺς συνόντας θεάσωνται, οὐκ ἀπὸ τῶν πραγμάτων μόνον, ἀλλὰ καὶ ἀπὸ τῶν συνδιατριβόντων φέροντες τὴν ψῆφον. Εἰ γὰρ ἀρετήν, φασίν, ἀσκεῖς, τί σοι βούλεται ἡ μετὰ τῶν κακίστων συνουσία;

123.– Στὸν Πέτρο

"Οτι εἶναι προτιμότερος, ἀπὸ ἐκεῖνον ποὺ κάνει αἰσχρὴ ζωὴ καὶ εἶναι πολὺ δυνατὸς στὸ λόγο, ἐκεῖνος ποὺ δὲν εἶναι εὐφυὴς στὸ λόγο, ἀλλ' εἶναι λαμπρὸς στὴ ζωή του καὶ διακρίνεται γιὰ τὴ δικαιοσύνη καὶ τὴν ἐγκράτειά του.

Ἀπὸ αὐτὸν ποὺ ἔχει κάνει αἰσχρὴ ζωὴ καὶ εἶναι πολὺ δυνατὸς στὸ νὰ ὁμιλεῖ, εἶναι προτιμώτερος ἐκεῖνος ποὺ δὲν εἶναι ἐπιτήδειος βέβαια στὸ νὰ ὁμιλεῖ, ἀλλὰ εἶναι λαμπρὸς στὴ ζωή του, καὶ διακρίνεται γιὰ τὴ δικαιοσύνη καὶ τὴν ἐγκράτειά του. Ἐὰν ὅμως κάποιος διαπρέπει καὶ στὸν λόγο καὶ στὴ ζωή του, αὐτὸς εἶναι ἀνυπέρβλητος, ὁμολογώντας ἔμπρακτα ὅτι ὑπάρχει κρίση, καὶ κατηγορώντας αὐτοὺς ποὺ νομίζουν ὅτι ἔχουν παραλύσει ὡς πρὸς τὴν ἐκτέλεση τῶν ἐντολῶν, ἐπειδὴ εἶναι ὑπερβολικὰ αὐτὰ ποὺ ὁπωσδήποτε θὰ συμβοῦν.

124.– ΣΤΟΝ ΠΑΥΛΟ

"Οτι πρέπει οὔτε νὰ σκέπτεται κανεὶς νὰ κάνει αὐτὰ ποὺ εἶναι αἰσχρὸ νὰ τὰ κάνει, οὔτε νὰ σχετίζεται μὲ ἐκείνους ποὺ εἶναι ἐπιτήδειοι στὸ νὰ τὰ κάνουν αὐτά.

Ἐὰν οὔτε μὲ τὰ αἰσχρὰ ἐπαγγέλματα ἀσχολεῖσαι, οὔτε συναναστρέφεσαι αὐτοὺς ποὺ τὰ ἀσκοῦν, θὰ ἔχεις λαμπρὴ φήμη ἀπὸ ὅλους. Γιατί, τὸ νὰ ἀσκεῖς αὐτὰ εἶναι κακό, ἐνῶ τὸ νὰ μὴ τὰ ἀσκεῖς βέβαια αὐτά, ἀλλὰ νὰ συνδέεσαι μὲ αὐτοὺς ποὺ τὰ ἀσκοῦν, καταστρέφει τὴ φήμη γιὰ σένα. Πρέπει δηλαδὴ οὔτε νὰ σκέπτεσαι νὰ κάνεις αὐτὰ ποὺ εἶναι αἰσχρὸ νὰ τὰ κάνει κανείς, οὔτε νὰ σχετίζεσαι μὲ αὐτοὺς ποὺ εἶναι ἐπιτήδειοι στὸ νὰ τὰ κάνουν αὐτά. Γιατὶ πρέπει νὰ φοβόμαστε τὶς κατηγορίες, ἔστω καὶ ἂν δὲν εἶναι ἀληθινές, ἐπειδὴ πολλοί, ἀγνοώντας τὴν ἀλήθεια, προσέχουν αὐτὸ ποὺ φαίνεται, καὶ τὸν καθένα τὸν θεωροῦν ἴδιον μὲ ἐκείνους ποὺ θὰ τὸν δοῦν νὰ συναναστρέφεται, βγάζουν τὸ συμπέρασμα ὄχι μόνο ἀπὸ τὰ πράγματα, ἀλλὰ καὶ ἀπὸ αὐτοὺς ποὺ περνοῦν τὸν καιρό τους μαζί τους. Γιατὶ λένε, ἐὰν ἀσκεῖς τὴν ἀρετή, τί σοῦ χρειάζεται ἡ συναναστροφὴ μὲ τοὺς πάρα πολὺ κακούς;

ΡΚΕ'.– ΙΣΙΔΩΡΩ ΔΙΑΚΟΝΩ

Εἰς τὸ γεγραμμένον, «Οἱ κάπηλοί σου τὸν οἶνον σμίγουσιν ὕδατι».

Πολλάκις ἐθαύμασα τῶν τὰς θείας παρερμηνευόντων Γραφάς, καὶ τὸ οἰκεῖον μᾶλλον βούλημα, ἢ τὸ ἐν αὐταῖς κείμενον παριστᾶν πειρωμένων. Τὸ γὰρ ἄκρατον αὐτῶν καὶ εἰλικρινὲς καὶ εὐφράναι ψυχὴν δυνάμενον βούλημα, τῷ φαύλῳ καὶ ἐξιτήλῳ τῶν οἰκείων δογμάτων παρακιρνῶντες ὕδατι, τὰ θεῖα καπηλεύειν τολμῶσι. Καὶ τοῦτό ἐστι τό, «Οἱ κάπηλοί σου μίσγουσι τὸν οἶνον ὕδατι». Εἰ γὰρ καὶ δοκεῖ τισι περὶ τῶν καπηλευόντων τὸν ἐκ τοῦ προχείρου νοούμενον οἶνον λελέχθαι (ἄτοπον γὰρ κἀκεῖνο), ἀλλά γε ἀληθείας δικαζούσης, μᾶλλον περὶ τῶν καπηλευόντων τὰ θεῖα λόγια δοκεῖ μοι εἰρῆσθαι. Οὐ γὰρ ἐρρέθη, "Οἱ κάπηλοί σου μίσγουσιν ὕδωρ οἴνῳ", ὅπερ ποιεῖν εἰώθασιν οἱ καπηλεύοντες, ἀλλὰ «τὸν οἶνον ὕδατι». Τὰς γὰρ ἀκραιφνεῖς καὶ εἰλικρινεῖς τῆς ἱερᾶς Γραφῆς ἐννοίας τοῖς ἐξιτήλοις ἑαυτῶν παρακιρνῶντες δόγμασι, νοθεύουσι τὴν διδασκαλίαν.

ΡΚς'.– ΑΜΜΩΝΙΩ

Εἰς τὸ εἰρημένον, «Τῷ τύπτοντί σε ἐπὶ τὴν δεξιὰν σιαγόνα, πάρεχε αὐτῷ καὶ τὴν ἄλλην».

Ὁ τῶν ὑπερκοσμίων καὶ τῶν ἐπιγείων βασιλεὺς ἦκεν οὐρανόθεν οὐρανίου πολιτείας φέρων ἡμῖν σύμβολα, ἃ καὶ ἀγῶνα προὔθηκεν ἐναντίον τῷ Ὀλυμπικῷ. Ἐκεῖ μὲν γὰρ ὁ τύπτων καὶ περιγενόμενος στεφανοῦται, ἐνταῦθα δὲ ὁ τυπτόμενος καὶ φέρων ἀναρρήσεως ἀξιοῦται. Ἐκεῖ ὁ ἀντιπλήττων, ἐνταῦθα δὲ ὁ καὶ τὴν ἄλλην παρέχων σιαγόνα, ἐν τῷ τῶν ἀγγέλων θεάτρῳ ἀνακηρύττεται. Οὐ γὰρ ἐν τῷ ἀμύνασθαι, ἀλλὰ ἐν τῷ φιλοσοφεῖν ἡ νίκη κρίνεται. Καινὸς γὰρ οὗτος τῶν στεφάνων ὁ νόμος, ἐπειδὴ καινὸς τῶν παλαισμάτων ὁ τρόπος.

---

5. Ἡσ. 1, 21.

125.- ΣΤΟΝ ΔΙΑΚΟΝΟ ΙΣΙΔΩΡΟ

Σ' αὐτὸ ποὺ ἔχει γραφεῖ· «Οἱ κάπηλοί σου νοθεύουν τὸ κρασὶ μὲ τὸ νερό»[5].

Πολλὲς φορὲς ἔμεινα κατάπληκτος μὲ ἐκείνους ποὺ παρερμηνεύουν τὶς ἅγιες Γραφές, καὶ προσπαθοῦν νὰ παρουσιάσουν τὸ δικό τους μᾶλλον θέλημα, παρὰ ἐκεῖνο ποὺ ὑπάρχει σ' αὐτές. Γιατί, ἀναμιγνύοντας τὸ ἀνόθευτο καὶ εἰλικρινὲς θέλημα τῶν Γραφῶν, τὸ ὁποῖο μπορεῖ νὰ εὐφράνει τὴν ψυχή, μὲ τὸ ἄχρηστο καὶ χαλασμένο νερὸ τῶν δικῶν τους δογμάτων, τολμοῦν νὰ νοθεύουν τὰ θεῖα διδάγματα. Καὶ αὐτὸ σημαίνει τό, «Οἱ κάπηλοί σου νοθεύουν τὸ κρασὶ μὲ νερό». Γιατί, ἂν καὶ μερικοὶ νομίζουν ὅτι ἔχει εἰπωθεῖ γι' αὐτοὺς ποὺ νοθεύουν τὸ συνηθισμένο κρασὶ (γιατὶ καὶ ἐκεῖνο εἶναι παράλογο), ἀλλά, ἐπειδὴ δικάζει ἡ ἀλήθεια, μοῦ φαίνεται ὅτι μᾶλλον ἔχει εἰπωθεῖ γι' αὐτοὺς ποὺ νοθεύουν τὰ λόγια τοῦ Θεοῦ . Γιατὶ δὲν λέχθηκε, "Οἱ κάπηλοί σου ἀναμιγνύουν νερὸ στὸ κρασὶ", πρᾶγμα ποὺ συνηθίζουν νὰ κάνουν οἱ κάπηλοι, ἀλλὰ «τὸ κρασὶ στὸ νερό». Γιατί, ἀναμιγνύοντας τὶς καθαρὲς καὶ εἰλικρινεῖς ἔννοιες τῆς ἁγίας Γραφῆς μὲ τὰ δικά τους διεφθαρμένα δόγματα, νοθεύουν τὴ διδασκαλία.

126.- ΣΤΟΝ ΑΜΜΩΝΙΟ

Σ' αὐτὸ ποὺ ἔχει γραφεῖ· «Σ' αὐτὸν ποὺ σὲ χτυπᾶ στὸ δεξιὸ σαγόνι, στρέψε του καὶ τὸ ἄλλο»[6].

Ὁ βασιλιὰς τῶν ὑπερκόσμιων καὶ ἐπίγειων ἦρθε ἀπὸ τὸν οὐρανό, φέρνοντας σὲ μᾶς γνωρίσματα οὐράνιας συμπεριφορᾶς, τὰ ὁποῖα πρόβαλε ὡς ἀγωνίσματα ἐναντίον ἐκείνων τῶν Ὀλυμπιακῶν. Γιατὶ ἐκεῖ αὐτὸς ποὺ χτυπᾶ καὶ νικᾶ στεφανώνεται, ἐνῶ ἐδῶ αὐτὸς ποὺ δέχεται χτύπημα καὶ τὸ ἀνέχεται, ἀνακηρύσσεται νικητής. Ἐκεῖ αὐτὸς ποὺ ἀνταποδίδει τὰ χτυπήματα, ἐνῶ ἐδῶ αὐτὸς ποὺ προσφέρει καὶ τὸ ἄλλο σαγόνι του ἀνακηρύσσεται στὸ θέατρο τῶν ἀγγέλων. Γιατὶ ἡ νίκη δὲν κρίνεται ἀπὸ τὴν ἄμυνα, ἀλλὰ ἀπὸ τὴ φιλοσοφικὴ ἀντιμετώπιση τοῦ πράγματος ἐκ μέρους τοῦ ἀγωνιστῆ. Ὁ νόμος δηλαδὴ αὐτὸς τῶν στεφάνων εἶναι νέος, ἐπειδὴ νέος εἶναι καὶ ὁ τρόπος τῶν ἀγωνισμάτων.

---

6. Ματθ. 5, 39.

ΡΚΖ'.– ΘΕΟΔΟΣΙΩ ΕΠΙΣΚΟΠΩ

Ὅτι πολλῷ κρείττων ἐστὶ βασιλείας ἡ ἱερωσύνη.

Ὅτι μὲν βασιλείας ἡ ἱερωσύνη πολλῷ κρείττων ἐστὶ καὶ μείζους ἔχει πόνους (πόνῳ γὰρ λήγοντι, πόνος νέος ἀντανατέλλει) καὶ περὶ τῶν ἀναγκαιοτέρων ὁ κίνδυνος (ἡ μὲν γὰρ τὰ θεῖα, ἡ δὲ τὰ θνητὰ ἐμπεπίστευται), οἶμαι μηδένα ἀγνοεῖν. Ὅτι δὲ πολλοί, ἀπερισκέπτως παντὸς ἀνδρὸς τὸ ἄρχειν ἢ ψυχῶν ἢ σωμάτων νομίσαντες, ἔρριψαν ἑαυτοὺς εἰς τοῦτο, καὶ μυρίων κακῶν καὶ ἑαυτοὺς καὶ τοὺς ὑπηκόους ἐμπλήσαντες, ὕστερον εἰς βάραθρον ἀπωλείας δυσκλεῶς κατήντησαν, οὐδὲ τοῦτ' οἶμαί τινα ἀγνοεῖν. Τούτων τοίνυν οὕτω τυγχανόντων, λίαν θαυμάζω, πῶς τινὲς μὲν μηδ' αὐτὸ τοῦτο τὰ καθ' ἑαυτοὺς εὖ διαθέμενοι, ἀλλὰ πολλῶν γέμοντες πραγμάτων καὶ μηδὲ ἐν τοῖς ὑπηκόοις τετάχθαι ὀφείλοντες (ὧν εἷς ἐστι καὶ Ζώσιμος ὁ πρεσβύτερος, οὗ τῷ βίῳ, ὡς φῄς, σκανδαλιζόμενος γέγραφας), τῇ ἱερωσύνῃ τῇ τοσοῦτον τῆς βασιλείας ὑψηλοτέρᾳ ἐπιπηδῆσαι ἐτόλμησαν, καὶ χρήμασιν ὠνήσασθαι πρᾶγμα, ὃ μηδὲ μετὰ πολλῶν χρημάτων καταδέξασθαι ἐχρῆν τοιούτους ὄντας. Ἀλλ' ἴσως τὰ καθ' ἑαυτοὺς ἀγνοοῦντες καὶ μηδὲ τῷ καλῶς παρὰ τῶν ἔξωθεν εἰρημένῳ ἀκολουθήσαντες, τῷ «Γνῶθι σαυτόν», ἀγνοοῦντες δὲ καὶ τὴν τῆς ἱερωσύνης ἀξίαν, ὅτι πρὸς τὸ ὕψος καὶ τὸν κίνδυνον ἔχει, νομίζοντες ἀρχὴν εἶναι ἀνεξέταστον, ἀλλ' οὐ λειτουργίαν ὑπεύθυνον, ἐνεχείρησαν πράγματι ἀβάτῳ αὐτοῖς εἶναι ὀφείλοντι.

ΡΚΗ'.– ΙΣΙΔΩΡΩ ΔΙΑΚΟΝΩ

Περὶ τῆς τῶν Ἰουδαίων αἰχμαλωσίας.

Εἰ καὶ μὴ ἀξίαν, ὧν εἰς τὸν Δεσπότην Χριστὸν ἔδρασαν, ἔδοσαν ἐνταῦθα δίκην Ἰουδαῖοι, ἔδοσαν γοῦν ὅμως. Ἃ γὰρ ὡς διαφευξόμενοι ἔδρασαν, φήσαντες, «Ἐὰν ἀφῶμεν αὐτόν, ἐλεύσονται οἱ Ῥωμαῖοι καὶ ἀροῦσιν ἡμῶν καὶ τὴν πόλιν καὶ τὸ ἔθνος», ταῦτ' ἐπειδὴ ἔπραξαν οὐ διέφυγον. Τῆς γὰρ πόλεως

127.- ΣΤΟΝ ΕΠΙΣΚΟΠΟ ΘΕΟΔΟΣΙΟ

Ὅτι ἡ ἱερωσύνη εἶναι κατὰ πολὺ ἀνώτερη ἀπὸ τὴ βασιλεία.

Ὅτι βέβαια ἡ ἱερωσύνη εἶναι πολὺ ἀνώτερη ἀπὸ τὴ βασιλεία, καὶ ἔχει μεγαλύτερους κόπους (γιατὶ ὅταν ὁ ἕνας κόπος τελειώνει, ἐμφανίζεται νέος), καὶ ὁ κίνδυνος εἶναι γιὰ τὰ πιὸ ἀναγκαῖα (γιατὶ ἡ ἱερωσύνη ἔχει τὴν εὐθύνη τῶν θεϊκῶν, ἐνῶ ἡ βασιλεία τῶν θνητῶν), νομίζω ὅτι κανένας δὲν τὸ ἀγνοεῖ. Ὅτι ὅμως πολλοί, νομίζοντας ἀπερίσκεπτα ὅτι κάθε ἄνδρας μπορεῖ νὰ ἀναλάβει τὴν ἐξουσία ψυχῶν ἢ σωμάτων, ἐπιδόθηκαν σ' αὐτό, καὶ ἀφοῦ γέμισαν μὲ μύρια κακὰ τοὺς ἑαυτούς τους καὶ τοὺς ὑπηκόους τους, ὕστερα κατάντησαν ἄδοξα στὸ βάραθρο τῆς ἀπώλειας, οὔτε αὐτὸ νομίζω πὼς τὸ ἀγνοεῖ κανείς. Ἐφόσον λοιπὸν αὐτὰ ἔτσι ἔχουν, ἀπορῶ πολὺ πῶς μερικοί, χωρὶς νὰ γνωρίζουν οὔτε τὸν ἑαυτό τους καλά, γεμᾶτοι μὲ πολλὰ ἐλαττώματα, ποὺ δὲν ἔπρεπε νὰ συγκαταλέγονται οὔτε μεταξὺ τῶν ὑπηκόων (ἕνας ἀπὸ τοὺς ὁποίους εἶναι καὶ ὁ πρεσβύτερος Ζώσιμος, ἀπὸ τὴ ζωὴ τοῦ ὁποίου, ὅπως λές, σκανδαλιζόμενος μοῦ ἔγραψες), τόλμησαν νὰ εἰσπηδήσουν στὴν πολὺ ὑψηλότερη ἀπὸ τὴ βασιλεία ἱερωσύνη, καὶ νὰ ἀγοράσουν μὲ χρήματα ἕνα τέτοιο ἀξίωμα, τὸ ὁποῖο οὔτε μὲ πολλὰ χρήματα ἔπρεπε νὰ δεχθοῦν τέτοιοι ποὺ ἦταν. Ἀλλ' ἴσως ἀγνοώντας τὴν κατάστασή τους, καὶ χωρὶς νὰ ἀκολουθήσουν οὔτε αὐτὸ ποὺ καλῶς εἰπώθηκε ἀπὸ τοὺς μὴ χριστιανούς, τὸ «Γνώρισε τὸν ἑαυτό σου», καὶ ἀγνοώντας καὶ τὸ ἀξίωμα τῆς ἱερωσύνης, ὅτι δηλαδὴ ἔχει ἀνάλογα πρὸς τὸ ὕψος της καὶ τὸν κίνδυνο, νομίζοντας ὅτι εἶναι ἐξουσία ἀνεξέλεγκτη, καὶ ὄχι λειτούργημα ὑπεύθυνο, ἀνέλαβαν ἀξίωμα ποὺ ἔπρεπε νὰ εἶναι γι' αὐτοὺς ἀπλησίαστο.

128.- ΣΤΟΝ ΔΙΑΚΟΝΟ ΙΣΙΔΩΡΟ

Γιὰ τὴν αἰχμαλωσία τῶν Ἰουδαίων.

Ἂν καὶ οἱ Ἰουδαῖοι δὲν τιμωρήθηκαν ὅσο τοὺς ἄξιζε, γιὰ ὅσα ἔκαναν στὸν Δεσπότη Χριστό, ὁπωσδήποτε ὅμως τιμωρήθηκαν. Γιατὶ αὐτὰ ποὺ ἔκαναν γιὰ νὰ διαφύγουν πράγματα ποὺ δὲν τὰ ἤθελαν, λέγοντας, «Ἐὰν τὸν ἀφήσουμε αὐτόν, θὰ ἔρθουν οἱ Ρωμαῖοι καὶ θὰ μᾶς πάρουν καὶ τὴν πόλη καὶ τὸ ἔθνος»[7], ἐπειδὴ τὰ ἔκαναν, δὲν τὰ διέ-

7. Ἰω. 11, 48.

αὐτῶν ἁλούσης ὑπὸ Ῥωμαίων καὶ τοῦ ναοῦ καθαιρεθέντος, αὐτοὶ ὥσπερ μαστιγίαι τινὲς καὶ δραπέται, ἄτιμοί τε καὶ ἀλῆται πανταχοῦ διεσπάρησαν. Δώσουσι δὲ κἀκεῖσε τὴν ἀξίαν. Μὴ ἐπιγνόντες γὰρ τὴν φιλανθρωπίαν, εἴσονται τὴν ἐξουσίαν, ἧς κἀνταῦθα πεῖραν βραχεῖαν εἰλήφασι.

ΡΚΘ΄.– ΤΩ ΑΥΤΩ

Εἰς τό, «Ἀπηνήνατο παρακληθῆναι ...».

Τὴν ὑπὸ λύπης βεβαπτισμένην ψυχὴν οὐδὲν οὕτως εὐφράναι δύναται, ὡς ἡ θεία μνήμη. Καὶ τοῦτ᾽ ἐστὶν ἄρα ὅπερ ἠθέλησας μαθεῖν, «Ἀπηνήνατο παρακληθῆναι ἡ ψυχή μου. Ἐμνήσθην τοῦ Θεοῦ καὶ εὐφράνθην». Ὥσπερ γὰρ τὸ ἀκένωτον καὶ δυσμεταχείριστον ἰατροῖς τῆς αἱμορροούσης πάθος ἐν ἀκαριαίᾳ ῥοπῇ ἀπηλάθη (ἡ μὲν γὰρ ἥψατο, ὁ δὲ ἠνέσχετο, τὸ δὲ ἐδραπέτευσεν), οὕτω καὶ ἡ λύπη ἀνθρωπίνη παράκλησιν ἀπωθουμένη, ἅτε πάσῃ παραμυθίᾳ δυσμεταχείριστος, ὑπὸ τῆς θείας μνήμης μόνης ῥᾳδίως οἴχεται καὶ εἰς τὸ μὴ ὂν χωρεῖ.

ΡΛ΄.– ΕΡΜΟΓΕΝΕΙ ΕΠΙΣΚΟΠΩ

Εἰ «Ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων» ὁ Κύριος ἐν τῷ Δαβὶδ λέγεται, πῶς λέγει πάλιν Ἡσαΐας, «Εἴδομεν αὐτόν, καὶ οὐκ εἶχεν κάλλος οὐδὲ εἶδος»;

Οὐ τἀναντία ἑαυτῇ, ὦ ἱερὰ κεφαλή, δογματίζει ἡ θεία Γραφὴ περὶ τοῦ Σωτῆρος διδάσκουσα, ἀλλ᾽ ἑκάστῳ πράγματι τὸ οἰκεῖον καὶ πρέπον νέμει. Τὰ μὲν γὰρ πρὸς τὴν θεότητα βλέπει, τὰ δὲ πρὸς τὴν ἐνανθρώπησιν, τὰ δὲ πρὸς τὰ ἑκούσια πάθη. Φῶς μὲν γὰρ αὐτὸν ἀληθινὸν εἶπε, καὶ ἀπαύγασμα τῆς δόξης, χαρακτῆρά τε τῆς πατρικῆς ὑποστάσεως. Τὸ μὲν διὰ τὸ φαιδρὸν τῆς οὐσίας, τὸ δὲ διὰ τὸ αἴδιον, μᾶλλον δὲ συναΐδιον, τὸ δὲ διὰ τὸ ἐνυπόστατον καὶ διὰ τὸ γνησίοις χαρακτῆρσιν ἐμπρέ-

8. Ψαλμ. 76, 3.
9. Ματθ. 9, 20.

φυγαν. Γιατὶ καὶ ἡ πόλη τους κυριεύθηκε ἀπὸ τοὺς Ρωμαίους, καὶ ὁ ναὸς καταστράφηκε, καὶ οἱ ἴδιοι διασκορπίσθηκαν παντοῦ, σὰν κάποιοι ἐλεεινοὶ καὶ δραπέτες, καὶ ἄτιμοι καὶ ἀλῆτες. Θὰ πληρώσουν ὅμως καὶ ἐκεῖ αὐτὸ ποὺ τοὺς ἀξίζει. Ἐπειδὴ δηλαδὴ δὲν κατανόησαν τὴν φιλανθρωπία, θὰ γνωρίσουν τὴν ἐξουσία, τῆς ὁποίας καὶ ἐδῶ ἔλαβαν μικρὴ γνώση.

129.- ΣΤΟΝ ΙΔΙΟ

Στὴ ρήση· «Ἀρνήθηκε ἐπίμονα νὰ παρηγορηθεῖ»[8].

Τὴν ψυχὴ ποὺ εἶναι βουτηγμένη στὴ λύπη τίποτε δὲν μπορεῖ νὰ τὴν εὐχαριστήσει, ὅσο ἡ μνήμη τοῦ Θεοῦ. Καὶ αὐτὸ εἶναι προφανῶς ἐκεῖνο ποὺ θέλησες νὰ μάθεις· «Ἡ ψυχή σου ἀρνήθηκε ἐπίμονα νὰ παρηγορηθεῖ, θυμήθηκε τὸν Θεὸ καὶ δοκίμασε εὐφροσύνη»[8]. Γιατί, ὅπως τὸ ἀτελείωτο καὶ δυσκολομεταχείριστο ἀπὸ τοὺς γιατροὺς πάθος τῆς αἱμορροούσης[9] διώχθηκε μέσα σὲ μιὰ στιγμὴ (γιατὶ ἐκείνη ἔπιασε τὴν ἄκρη τοῦ ἐνδύματός του, ἐκεῖνος τὸ ἀνέχθηκε, καὶ τὸ πάθος δραπέτευσε), ἔτσι καὶ ἡ λύπη, ἐνῶ ἀρνεῖται τὴν ἀνθρώπινη παρηγοριά, ἐπειδὴ δύσκολα ἀντιμετωπίζεται μὲ ὁποιαδήποτε παρηγοριά, μόνο ἀπὸ τὴ μνήμη τοῦ Θεοῦ φεύγει εὔκολα καὶ ἐξαφανίζεται.

130.- ΣΤΟΝ ΕΠΙΣΚΟΠΟ ΕΡΜΟΓΕΝΗ

Ἐφόσον ὁ Κύριος χαρακτηρίζεται ἀπὸ τὸν Δαβὶδ «ὡραῖος ὡς πρὸς τὴν ὁμορφιά του περισσότερο ἀπὸ τοὺς υἱοὺς τῶν ἀνθρώπων»[10], πῶς πάλι ὁ Ἡσαΐας λέγει, «Τὸν εἴδαμε αὐτὸν καὶ δὲν εἶχε οὔτε ὁμορφιά, οὔτε ἐξωτερικὴ ὄψη»[11];

Ἡ ἁγία Γραφή, ἱερὴ κεφαλή μου, μιλώντας γιὰ τὸν Χριστὸ δὲν λέγει πράγματα ἀντίθετα πρὸς τὸν ἑαυτό της, ἀλλὰ στὸ κάθε πρᾶγμα δίνει αὐτὸ ποὺ τοῦ ἀνήκει καὶ τοῦ πρέπει. Γιατὶ ἄλλα ἀναφέρονται στὴ θεότητα, ἄλλα στὴν ἀνθρωπότητα, καὶ ἄλλα στὰ ἑκούσια πάθη. Τὸν ὀνόμασε δηλαδὴ φῶς ἀληθινό, καὶ ἀκτινοβολία τῆς δόξας, καὶ εἰκόνα τῆς πατρικῆς ὑποστάσεως, τὸ ἕνα ἐξαιτίας τῆς λαμπρότητας τῆς οὐσίας του, τὸ ἄλλο ἐξαιτίας τῆς αἰωνιότητας αὐτοῦ, ἢ καλύτερα τῆς συναιωνιότητας μὲ τὸν Πατέρα, καὶ τὸ ἄλλο ἐξαιτίας τοῦ ἐνυπό-

10. Ψαλμ. 44, 3. 11. Ἡσ. 53, 3.

πειν. Ἵνα γὰρ μὴ τὸ ἀπαύγασμα ἀνυπόστατον νομισθῇ, ὁ χαρακτὴρ τὴν ὑπόστασιν ἐγγυᾶται. Ὡραῖον δὲ παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων καὶ ὡραῖον ἐν στολῇ διὰ τὴν τῆς ἐνανθρωπήσεως ἔνθεον καὶ ἄπταιστον ἀρετήν· οὐκ ἔχοντα εἶδος οὐδὲ κάλλος, δυοῖν ἕνεκεν· ἑνός μέν, ἐπειδή, τὴν Δεσποτικὴν μορφὴν κρύψας, τὴν τοῦ δούλου ἐπεδείκνυτο, ἑτέρου δέ, διὰ τὸ ἐν τῷ πάθει, ὃ ἑκουσίως ὑπέστη, πᾶσαν παροινίαν κεκινῆσθαι. Ἐκρέματο γὰρ ἐπὶ τοῦ ἰκρίου ἐν ἡμέρᾳ μέσῃ καὶ ἐν μητροπόλει καὶ ἐν ἑορτῇ μεγίστῃ, καὶ ἐν ᾗ οὐδένα εἰκὸς ἦν ἀπολειφθῆναι. Καὶ οἱ μὲν ἐκωμῴδουν, οἱ δὲ ἐχλεύαζον· οἱ μὲν ὠνείδιζον, οἱ δὲ ὄξος προσέφερον· οἱ μὲν ὕβριζον, οἱ δὲ λόγχῃ τὴν πλευρὰν ἔνυττον. Καὶ περὶ μὲν τοὺς συσταυρωθέντας λῃστὰς οὐδὲν τοιοῦτον ἔδρων, εἰς αὐτὸν δὲ παρῴνουν, ἃ μηδ' εἰς τοὺς ὑπευθύνους παροινεῖν θέμις.

ΡΛΑ'.– ΛΑΜΠΕΤΙΩ ΕΠΙΣΚΟΠΩ

Πῶς νοητέον τὸ τῷ Ἐκκλησιαστικῷ γεγραμμένον, «Μὴ γίνου δίκαιος πολύ».

Ὥσπερ τοῦ σωματικοῦ κάλλους ὅρος ἡ τῶν μερῶν συμμετρία, οὕτω καὶ τοῦ ψυχικοῦ κάλλους ἔσχατος ὅρος ἡ τῶν ἀρετῶν συμμετρία. Εἰ γὰρ αἱ ἀκρότητες εἰς κακίαν ἐκπίπτουσιν, ὥς τινες τῶν σοφῶν ἀπεφήνατο (θέλων γὰρ εἶναί τις οἰκονομικὸς εἰς φειδωλίαν ἐκπίπτει, καὶ θέλων εἶναι μεγαλόψυχος εἰς ἀσωτίαν), διὸ καὶ μεσότητας εἶναι τὰς ἀρετὰς ὡρίσαντο (ἀσεβείας γὰρ καὶ δυσσεβείας μέσον ἐστὶ ἡ εὐσέβεια), εἰκότως καὶ ὁ σοφὸς παρῄνεσε· «Μὴ γίνου δίκαιος πολύ». Εἰ δὲ καὶ τοῦτο παραινεῖ, μὴ ἐν τοῖς εἰς σὲ παρὰ τῶν πέλας πλημμελουμένοις πικρὸς γίνου καὶ ἀκριβὴς δικαστής, ἀλλ' ὑπέρβαινε τὸ δίκαιον

12. Ἐκκλ. 7, 16.

στατου αὐτοῦ καὶ ἐπειδὴ διακρίνεται γιὰ τὰ γνήσια χαρακτηριστικά του. Γιὰ νὰ μὴ νομισθεῖ δηλαδὴ ἡ ἀκτινοβολία χωρὶς ὑπόσταση, ἡ σφραγίδα βεβαιώνει τὴν ὑπόσταση. Τὸν ὀνόμασε καὶ ὡραῖον περισσότερο ἀπὸ τοὺς υἱοὺς τῶν ἀνθρώπων, καὶ ὡραῖον ὡς πρὸς τὴν φορεσιά, ἐξαιτίας τῆς θεϊκῆς καὶ χωρὶς πταίσματα ἀρετῆς τῆς ἐνανθρώπησης. Τὸν παρουσιάζει νὰ μὴ ἔχει ἐξωτερικὴ ὄψη, οὔτε ὀμορφιά, γιὰ δυὸ λόγους· ὁ ἕνας, ἐπειδὴ ἔκρυψε τὴ δεσποτικὴ μορφὴ καὶ ἔδειχνε τὴ μορφὴ τοῦ δούλου, καὶ ὁ ἄλλος, ἐπειδὴ κατὰ τὸ πάθος, τὸ ὁποῖο ὑπέστη μὲ τὴ θέλησή του, κινήθηκε ἐναντίον του κάθε μορφὴ μανιακῆς συμπεριφορᾶς. [3]Ηταν δηλαδὴ κρεμασμένος πάνω στὸν σταυρὸ μεσημεριάτικα, καὶ αὐτὸ γινόταν στὴ μητρόπολη καὶ κατὰ τὴν πιὸ μεγάλη γιορτή, κατὰ τὴν ὁποία ἦταν φυσικὸ νὰ μὴ λείπει κανένας. Καὶ ἄλλοι τὸν κορόϊδευαν, ἄλλοι τὸν περιγελοῦσαν, ἄλλοι πάλι τὸν κατηγοροῦσαν, ἄλλοι τοῦ πρόσφεραν ξύδι, ἄλλοι τὸν ἔβριζαν, καὶ ἄλλοι τοῦ τρυποῦσαν τὴν πλευρὰ μὲ λόγχη. Καὶ στοὺς ληστὲς βέβαια ποὺ εἶχαν σταυρωθεῖ μαζί του δὲν ἔκαναν τίποτε τέτοιο, ἐνῶ σ' αὐτὸν ἔκαναν αὐτὰ ποὺ οὔτε στοὺς μεθυσμένους ἐπιτρέπεται νὰ γίνονται.

131.- ΣΤΟΝ ΕΠΙΣΚΟΠΟ ΛΑΜΠΕΤΙΟ

Πῶς πρέπει νὰ ἐννοεῖται αὐτὸ ποὺ εἶναι γραμμένο στὸν Ἐκκλησιαστή· «Νὰ μὴ εἶσαι πολὺ δίκαιος»[12].

Ὅπως κανόνας τῆς σωματικῆς ὀμορφιᾶς εἶναι ἡ συμμετρία τῶν μελῶν, ἔτσι καὶ τῆς ψυχικῆς ὀμορφιᾶς ἔσχατος κανόνας εἶναι ἡ συμμετρία τῶν ἀρετῶν. Γιατί, ἐὰν οἱ ἀκρότητες καταλήγουν στὴν κακία, ὅπως εἶπαν μερικοὶ ἀπὸ τοὺς σοφοὺς (πράγματι, θέλοντας κάποιος νὰ εἶναι οἰκονόμος, καταλήγει σὲ τσιγγουνιά, καὶ θέλοντας νὰ γίνει μεγαλόψυχος, ξεπέφτει σὲ ἀσωτία), γι' αὐτὸ καὶ ὅρισαν ὅτι οἱ ἀρετὲς εἶναι μεσότητες (γιατὶ τῆς ἀσέβειας καὶ τῆς δυσσέβειας μέση εἶναι ἡ εὐσέβεια), εὔλογα λοιπὸν καὶ ὁ σοφὸς συμβούλεψε· «Νὰ μὴ εἶσαι πολὺ δίκαιος»[13]. Ἐφόσον καὶ αὐτὸ τὸ συμβουλεύει, νὰ μὴ γίνεσαι σκληρὸς καὶ αὐστηρὸς δικαστὴς γιὰ τὰ σφάλματα ποὺ κάνουν οἱ συνάνθρωποί σου σὲ σένα, ἀλλὰ νὰ ξεπερνᾶς τὸ δίκαιο μὲ τὴν ἀγαθό-

13. Ἐκκλ. 7, 17.

τῇ ἀγαθότητι, συγγνώμην νέμων τοῖς συγγνώμης μείζονα εἰς σὲ πταίουσι.

ΡΛΒ'.– ΤΩ ΑΥΤΩ
Περὶ τῶν ἐγκωμίων τοῦ ἐπισκόπου Ἑρμογένους.

Ἐπειδὴ ἡ ἡμετέρα διάνοια τὴν ὑπόθεσιν τῶν ἐγκωμίων τοῦ παναρίστου Ἑρμογένους τοῦ ἐπισκόπου οὐ δύναται δέξασθαι, οὐδὲ τὴν τῶν κατορθωμάτων περιουσίαν ἡ γνώμη χωρεῖ, συγγνώμην μοι νεῖμαι μὴ παραιτήσῃ. Ὧ γὰρ μηδὲ πρὸς μέρος ἐπαρκέσαι ῥᾴδιον, πῶς πᾶσιν ἐπεξελθεῖν δυνατόν;

ΡΛΓ'.– ΠΕΤΡΩ ΣΧΟΛΑΣΤΙΚΩ
Περὶ τῆς ἀρχῆς, καὶ ὅτι μήτε ἀρχὴν μήτε πλοῦτον μήτε τι τοιοῦτον μακαριστὸν νομίζειν καὶ περιμάχητον, ἀλλὰ τὸ τῶν παθῶν ἀπηλλάχθαι μόνον.

Χρή, ὦ φίλος, τὰ ὀνόματα ἀφέντας τῶν ἀγαθῶν, ἐπὶ τὰ πράγματα βαδίζειν. Βασιλεία μὲν γὰρ καὶ πλοῦτος καὶ δόξα, ὀνόματα μὲν παρὰ τοῖς ἔξωθεν, πράγματα δὲ παρὰ τοῖς Χριστιανοῖς. Ὥσπερ οὖν καὶ τἀναντία, ἀδοξία καὶ θάνατος καὶ πενία, ὀνόματα μὲν παρ' ἡμῖν, πράγματα δὲ παρ' ἐκείνοις. Καὶ εἰ βούλει, τὴν ἀρχὴν εἰς μέσον ἀγαγόντες, τὴν πᾶσι ποθεινὴν καὶ περιμάχητον, ἀπὸ ταύτης καὶ τὰ ἄλλα πάντα ἐλέγξωμεν, καὶ μὴ φράσαντες, ὅτι ὀλιγοχρόνιος, μηδ' ὅτι ταχέως σβέννυται (πολλοὶ γὰρ ἐξ αὐτῶν τῶν ἀρχικῶν θρόνων εἰς τοὺς τάφους ἀπηνέχθησαν, καὶ ὁ θρῆνος τὰς τῶν κηρύκων φωνὰς διεδέξατο), ἀλλὰ κἀκεῖνο παρέντες, ὅτι πολλοὶ καὶ τῶν προγονικῶν ὑπαρχόντων ἐστερήθησαν, δημεύσει καθυποβληθέντες, ὅτε ἀνθεῖ, τότε μάλιστα αὐτὴν δοκιμάσωμεν, μὴ περιέλωμεν τῆς πόρνης τὰ ἐπιτρίμματα καὶ τὰς ὑπογραφάς, ἀλλὰ κεκαλλωπισμένην αὐτὴν εἰς μέσον ἀγάγωμεν, ἵνα τότε αὐτῆς ἐλεγχθῇ τὸ εἰδεχθές.

Οὐκοῦν προσάγωμεν τὸ σχῆμα, καὶ τοὺς ῥαβδούχους, καὶ τοῦ κήρυκος τὴν φωνήν, καὶ τῶν δημίων τὴν ὑπακοήν, καὶ τὸ ὑπὸ πάντων ἀποβλέπεσθαι, καὶ βασανίσωμεν, εἰ μὴ τὰ δοκοῦν-

τητα, δίνοντας συγγνώμη σ' αὐτοὺς ποὺ τὰ πταίσματά τους πρὸς ἐσένα εἶναι ἀνώτερα συγγνώμης.

132.– ΣΤΟΝ ΙΔΙΟ

Σχετικὴ μὲ τὰ ἐγκώμια τοῦ ἐπισκόπου Ἑρμογένους.

Ἐπειδὴ ὁ δικός μου νοῦς δὲν μπορεῖ νὰ δεχθεῖ τὴν ὑπόθεση τῶν ἐγκωμίων τοῦ πανάριστου Ἐπισκόπου Ἑρμογένη, οὔτε ἡ σκέψη μου χωρεῖ τὸ πλῆθος τῶν ἀρετῶν του, μὴ παραλείψεις νὰ μὲ συγχωρήσεις. Γιατὶ αὐτὸς ποὺ δὲν μπορεῖ οὔτε ἕνα μέρος νὰ χωρέσει, πῶς εἶναι δυνατὸν νὰ τὰ χωρέσει ὅλα.

133.– ΣΤΟΝ ΣΧΟΛΑΣΤΙΚΟ ΠΕΤΡΟ

Γιὰ τὴν ἐξουσία, καὶ ὅτι οὔτε ἡ ἐξουσία οὔτε ὁ πλοῦτος οὔτε κάτι παρόμοιο πρέπει νὰ θεωρεῖται ἀξιομακάριστο καὶ περιζήτητο, ἀλλὰ ἡ ἀπαλλαγὴ μόνο ἀπὸ τὰ πάθη.

Πρέπει, φίλε μου, ἀφήνοντας τὰ ὀνόματα τῶν ἀρετῶν, νὰ ἔρθουμε στὰ πράγματα. Γιατὶ ἡ βασιλεία καὶ ὁ πλοῦτος καὶ ἡ δόξα, γιὰ τοὺς μὴ χριστιανοὺς βέβαια εἶναι ὀνόματα, ἐνῶ γιὰ τοὺς Χριστιανοὺς πραγματικότητες. Ὅπως καὶ τὰ ἀντίθετα, ἡ ντροπὴ καὶ ὁ θάνατος καὶ ἡ φτώχεια, γιὰ μᾶς εἶναι ὀνόματα, ἐνῶ γιὰ ἐκείνους εἶναι πραγματικότητες. Καὶ ἂν θέλεις, φέρνοντας στὴ μέση τὴν ἐξουσία, ἡ ὁποία εἶναι σὲ ὅλους ἐπιθυμητὴ καὶ περιζήτητη, μὲ αὐτὴν ἂς ἐλέγξουμε καὶ ὅλα τὰ ἄλλα, καὶ ἂς μὴ ποῦμε, ὅτι διαρκεῖ λίγο χρονικὸ διάστημα, οὔτε ὅτι γρήγορα σβήνει (γιατὶ πολλοὶ ἀπὸ αὐτοὺς ἀπὸ τοὺς θρόνους τῆς ἐξουσίας μεταφέρθηκαν στοὺς τάφους, καὶ ὁ θρῆνος διαδέχθηκε τὶς φωνὲς τῶν κηρύκων), ἀλλὰ παρατρέχοντας καὶ ἐκεῖνο, τὸ ὅτι πολλοὶ ἔχασαν καὶ τὰ ὑπάρχοντα τῶν προγόνων τους, ἐπειδὴ ὑποβλήθηκαν σὲ δήμευση, ὅταν βρίσκεται στὸ ἄνθος της, τότε κυρίως νὰ τὴν ἐξετάσουμε, χωρὶς νὰ ἀφαιρέσουμε τὰ ἐρεθιστικὰ ἀρώματα καὶ τὰ βαψίματα τῆς πόρνης, ἀλλὰ νὰ τὴν φέρουμε μπροστά μας καλλωπισμένη, γιὰ νὰ ἀποδειχθεῖ τότε ἡ ἀποκρουστική της ὄψη.

Ἂς φέρουμε λοιπὸν μπροστά μας τὴ μορφή της, καὶ τοὺς ραβδούχους, καὶ τὴ φωνὴ τοῦ κήρυκα, καὶ τῶν δημίων τὴν πειθαρχία, καὶ τὸ ὅτι θαυμάζεται ἀπὸ ὅλους, καὶ ἂς ἐξετάσουμε μὲ προσοχὴ

τα λαμπρὰ ταῦτα καὶ ποθεινά, οὐ μόνον περιττά, οὐδ' ὑπόληψις ἀνόνητος, ἀλλὰ καὶ ἐπιβλαβῆ. Τί γὰρ ἀπὸ τούτων ἐκεῖνος ἀμείνων γίνεται, ἢ τὸ σῶμα ἢ τὴν ψυχήν; Τοῦτο γὰρ ἄνθρωπος. Ἆρ' οὖν ὑψηλότερος ἢ ὑγιεινότερος ἢ ταχύτερος ἢ τὰς αἰσθήσεις τρανοτέρας κεκτήσεται; Ἀλλ' οὐκ ἄν τις φαίη. Ἴωμεν τοίνυν καὶ ἐπὶ τὴν ψυχήν. Ἆρ' οὖν σωφρονέστερος ἢ ἐπιεικέστερος ἢ συνετώτερος ἀπὸ ταύτης γενήσεται τῆς φαντασίας; Οὐ μὲν οὖν, ἀλλὰ καὶ τοὐναντίον ἅπαν. Οὐ γὰρ ὅπερ ἐπὶ τοῦ σώματος, τοῦτο καὶ ἐπὶ τῆς ψυχῆς συμβαίνειν εἴωθεν. Ἐκεῖνο μὲν γὰρ οὐδὲν εἰς τὴν οἰκείαν προσείληφεν ἀρετήν, αὕτη δὲ καὶ κακίαν προσείληφεν. Καὶ γὰρ ἄνοιαν καὶ κενοδοξίαν καὶ ἀπόνοιαν καὶ θυμὸν καὶ μυρία ἐξ αὐτῆς προστρίβεται πλημμελήματα. Εἰ δὲ χαίρει καὶ μέγα φρονεῖ καὶ φυσᾶται καὶ κατὰ πάντων ἐπαίρεται, οὗτος μάλιστα τῆς κακίας ὁ κολοφών, ὅτι οὔτε ἀλγεῖ οὔτε αἰσθάνεται, ἀλλὰ καὶ χαίρει τῶν νοσημάτων αὐξομένων αὐτῷ. Οὐδὲ γὰρ πάντῃ τὸ χαίρειν καλόν. Ἐπεὶ καὶ ὁ λῃστὴς χαίρει μετὰ τὴν κλοπήν, καὶ ὁ ἅρπαξ μετὰ τὴν πλεονεξίαν, καὶ ὁ μοιχὸς μετὰ τὸ διορύξαι τὸν τοῦ πέλας γάμον, καὶ ὁ ἀνδροφόνος μετὰ τὴν σφαγήν. Μὴ τοίνυν τοῦτο λεγέτω, ὅτι χαίρει, ἀλλ' εἰ ἐπὶ χρησίμῳ δεικνύτω, καὶ συγχαρήσομαι.

Ἐπεὶ τοίνυν μόνος ἐστὶν ἐλευθεριώτατος καὶ ἀρχικώτατος (καὶ αὐτῶν γὰρ τῶν βασιλέων βασιλικώτερος) ὁ τῶν παθῶν ἀπηλλαγμένος, ἀσπασώμεθα τὴν ἀρετήν, καὶ τῆς πονηρᾶς ἐκείνης δουλείας ἀπαλλάξωμεν ἑαυτούς, μήτε ἀρχὴν μήτε πλοῦτον μήτε τι τοιοῦτον μακαριστὸν νομίζοντες καὶ περιμάχητον, ἀλλὰ τὸ τῶν παθῶν ἀπηλλάχθαι μόνον.

ΡΛΔ'.– ΖΩΣΙΜΩ ΠΡΕΣΒΥΤΕΡΩ

Προτρεπτικὴ πρὸς ἀποφυγὴν τῆς κακίας.

Ἧπέπαυσο τρυφῶν ἐκ τῶν ἀλλοτρίων συμφορῶν, κεκοιμημένον διεγείρων καὶ παρακαλῶν τὸ ἀκόλαστον, ἤ, ταῦτα δρῶν, τῷ σεπτῷ θυσιαστηρίῳ μὴ πρόσιθι. Πολλοὺς γὰρ σκανδαλίζων

μήπως αὐτὰ ποὺ φαίνονται λαμπερὰ καὶ ἐπιθυμητά, δὲν εἶναι μόνο περιττά, οὔτε ἐκτίμηση ἀνώφελη, ἀλλὰ καὶ βλαβερά. Ὡς πρὸς τί δηλαδὴ ἀπὸ αὐτὰ ἐκεῖνος γίνεται καλύτερος στὸ σῶμα ἢ στὴν ψυχή; Γιατὶ αὐτὸ εἶναι ὁ ἄνθρωπος. Γίνεται ἄραγε ψηλότερος ἢ πιὸ ὑγιὴς ἢ γρηγορώτερος ἢ ἀποκτᾶ δραστικότερες αἰσθήσεις; Ἀλλὰ δὲν θὰ τὸ ἔλεγε κανεὶς αὐτό. Ἂς πᾶμε λοιπὸν καὶ στὴν ψυχή του. Μήπως λοιπὸν γίνεται ἀπὸ αὐτὴ τὴ φαντασία πιὸ σώφρων ἢ πιὸ πρᾶος ἢ πιὸ συνετός; Ὄχι βέβαια, ἀλλὰ τὸ ἐντελῶς ἀντίθετο. Γιατὶ αὐτὸ ποὺ γίνεται στὸ σῶμα, δὲν γίνεται συνήθως καὶ στὴν ψυχή. Ἐκεῖνο δηλαδὴ δὲν ἔλαβε τίποτε γιὰ τὴ δική του ἀρετή, ἐνῶ αὐτὴ ἀπέκτησε καὶ κακία. Γιατὶ ἀπὸ τὴν ἐξουσία προσάπτονται σ᾽ αὐτὴν καὶ μωρία καὶ κενοδοξία καὶ ἀπελπισία καὶ θυμὸς καὶ ἄπειρα ἄλλα ἁμαρτήματα. Ἂν μάλιστα χαίρεται καὶ ἀλαζονεύεται καὶ φουσκώνει ἀπὸ ἔπαρση καὶ ὑπερηφανεύεται ἐναντίον ὅλων, αὐτὸ προπάντων εἶναι τὸ ἀποκορύφωμα τῆς κακίας, γιατὶ οὔτε πονεῖ οὔτε αἰσθάνεται, ἀλλὰ καὶ χαίρεται ἐνῶ αὐξάνονται οἱ ἀρρώστιες του. Καθόσον οὔτε ἡ χαρὰ εἶναι πάντοτε καλή, ἀφοῦ καὶ ὁ ληστὴς χαίρεται μετὰ τὴν κλοπή, καὶ ὁ ἅρπαγας μετὰ τὴν πλεονεξία του, καὶ ὁ μοιχὸς μετὰ τὴν ὑπονόμευση τοῦ γάμου τοῦ πλησίον του, καὶ ὁ δολοφόνος μετὰ τὴ σφαγή. Ἂς μὴ λέγει λοιπὸν αὐτό, ὅτι χαίρεται, ἀλλὰ ἂς δείξει ὅτι ἡ χαρὰ γίνεται γιὰ κάτι χρήσιμο, καὶ θὰ χαρῶ κι᾽ ἐγὼ μαζί του.

Ἐπειδὴ λοιπὸν ὁ μόνος ποὺ εἶναι ἐλεύθερος καὶ ἐξουσιαστικώτερος (καὶ βέβαια βασιλικώτερος καὶ ἀπὸ τοὺς ἴδιους τοὺς βασιλεῖς) εἶναι αὐτὸς ποὺ εἶναι ἀπαλλαγμένος ἀπὸ τὰ πάθη, ἂς ἐπιζητοῦμε πρόθυμα τὴν ἀρετή, καὶ ἂς ἀπαλλάξουμε τοὺς ἑαυτούς μας ἀπὸ αὐτὴν τὴν κακὴ δουλεία, μὴ θεωρώντας οὔτε τὴν ἐξουσία, οὔτε τὸν πλοῦτο, οὔτε κάτι τέτοιο ἀξιομακάριστο καὶ ἀξιοζήλευτο, ἀλλὰ μόνο τὸ νὰ ἀπαλλαχθοῦμε ἀπὸ τὰ πάθη.

134.– ΣΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟ ΖΩΣΙΜΟ

Προτρεπτικὴ πρὸς ἀποφυγὴ τῆς κακίας.

Ἢ πᾶψε νὰ χαίρεσαι μὲ τὶς ξένες συμφορές, διεγείροντας αὐτὸ ποὺ εἶναι ἀποκοιμισμένο καὶ προτρέποντας αὐτὸ ποὺ εἶναι ἀκόλαστο, ἢ, κάνοντάς τα αὐτά, μὴ πλησιάζεις στὸ ἅγιο θυσιαστήριο. Γιατὶ πολ-

ἀπελαύνεις τοῦ προσιέναι, μὴ ὑπομένοντας ἰδεῖν τοσαύτην κηλῖδα τῷ ἁμιάντῳ θυσιαστηρίῳ παρεφεδρεύουσαν.

ΡΛΕ'.– ΠΑΥΛΩ

Κατὰ τῶν λεγόντων εἶναι γένεσιν, ἤτοι εἱμαρμένην, ἢ τὴν λεγομένην τύχην.

Εἰ πάντα, ὡς φῄς, ὦ σοφέ, καθ' εἱμαρμένην γίνεταί τε καὶ λέγεται, εἰπὲ πῶς νῦν δι' ἡμῶν ἑαυτὴν ἀνατρέπει. Εἰ γὰρ αὐτὴ πάντα ποιεῖ, αὕτη ἂν εἴη νῦν δι' ἡμῶν κηρύττουσα μὴ εἶναι γένεσιν. Πῶς οὖν αὕτη, ἥν φατε εἶναι, φάσκουσα μὴ εἶναι, οὐ πιστεύεται παρ' ὑμῶν;

ΡΛΣ'.– ΩΡΙΩΝΙ

Περὶ τῆς ἑρμηνείας τῶν ἱερῶν ῥήσεων.

Μὴ ἁπλῶς προφέρων τινὰς ῥήσεις τῶν ἱερῶν χρησμῶν διὰ στόματος σπάραττε (ἀπαιδευσίας γὰρ ὀφλήσεις καὶ ἀνοίας γέλωτα· διὸ καί τινες φεύγουσι, λαβὴν φιλομαχοῦντι ἀνθρώπῳ δοῦναι δεδιότες), ἀλλά, τὰς ὑποθέσεις ἀκριβῶς ζητήσας, ἔξεις τὰς λύσεις. Τυφλώττουσι γὰρ αἱ ἑρμηνεῖαι τῶν ὑποθέσεων χηρεύουσαι.

ΡΛΖ'.– ΑΠΟΛΛΩΝΙΩ ΕΠΙΣΚΟΠΩ

Περὶ κολακείας.

Ἐγὼ τοῦ φόβου τὴν κολακείαν δυνατωτέραν καὶ ἀργαλεωτέραν εἶναι φημί. Ὅσα γὰρ μὴ δύναται ἀνάγκη, δύναται θεραπεία. Καὶ τοὺς μὴ χειρωθέντας ὑπὸ φόβου, κολακεία πολλάκις κατεδουλώσατο. Χρὴ οὖν καὶ πρὸς φόβον καὶ πρὸς θωπείαν μὲν ἀνδρίζεσθαι (ἑκάτερον δὲ ἀνελεύθερον τὸ πάθος), τὴν δ' ἀλήθειαν μόνην τιμᾶν.

ΡΛΗ'.– ΤΩ ΑΥΤΩ

Ὅτι χρὴ τὸν εὐδόκιμον, καὶ φιλόθεον εἶναι καὶ φιλάνθρωπον.

Χρὴ τὸν εὐδόκιμον, καὶ φιλόθεον εἶναι καὶ φιλάνθρωπον,

λοὺς σκανδαλίζοντάς τους τοὺς ἀποτρέπεις νὰ προσέρχονται, ἐπειδὴ δὲν ἀνέχονται νὰ βλέπουν τόση βρωμιὰ νὰ εἶναι ἐγκατεστημένη στὸ ἁμόλυντο θυσιαστήριο.

135.- ΣΤΟΝ ΠΑΥΛΟ

Ἐναντίον αὐτῶν ποὺ λένε, ὅτι ὑπάρχει γένεση, δηλαδὴ μοῖρα, ἤτοι ἡ λεγόμενη τύχη.

Ἐὰν ὅλα, ὅπως λές, σοφέ, λέγονται καὶ γίνονται σύμφωνα μὲ τὴ μοῖρα, πές μου πῶς τώρα μὲ μᾶς ἀνειρεῖ τὸν ἑαυτό της. Γιατί, ἂν αὐτὴ τὰ κάνει ὅλα, θὰ εἶναι ἡ ἴδια ποὺ τώρα μὲ μᾶς κηρύττει ὅτι δὲν ὑπάρχει γένεση. Πῶς λοιπὸν αὐτή, ποὺ λέτε ὅτι ὑπάρχει, ὅταν λέγει ὅτι δὲν ὑπάρχει, δὲν πιστεύεται ἀπὸ σᾶς;

136.- ΣΤΟΝ ΩΡΙΩΝΑ

Γιὰ τὴν ἑρμηνεία τῶν ἱερῶν ρήσεων.

Μὴ κατασπαράσσεις τὶς ἅγιες Γραφὲς προφέροντας ἁπλῶς μὲ τὸ στόμα σου μερικὰ λόγια αὐτῶν (γιατὶ θὰ προκαλέσεις γέλια ἀγραμματοσύνης καὶ μωρίας· γι᾽ αὐτὸ καὶ μερικοὶ φεύγουν, ἐπειδὴ φοβοῦνται μήπως δώσουν ἀφορμὴ σὲ ἄνθρωπο ποὺ ἀγαπᾶ τὶς φιλονεικίες), ἀλλά, ἀφοῦ ἐρευνήσεις μὲ ἀκρίβεια τὶς ἀπορίες, θὰ βρεῖς τὶς λύσεις. Γιατὶ οἱ ἑρμηνεῖες τῶν ἀποριῶν εἶναι τυφλὲς χωρὶς ἔρευνα.

137.- ΣΤΟΝ ΕΠΙΣΚΟΠΟ ΑΠΟΛΛΩΝΙΟ

Γιὰ τὴν κολακεία.

Ἐγὼ λέγω, ὅτι ἡ κολακεία εἶναι πιὸ δυνατὴ καὶ πιὸ ἀνυπόφορη ἀπὸ τὸν φόβο. Γιατί, ὅσα δὲν μπορεῖ νὰ τὰ κάνει ἡ ἀνάγκη, τὰ κάνει ἡ θεραπεία. Καὶ αὐτοὺς ποὺ δὲν νικήθηκαν ἀπὸ τὸ φόβο, τοὺς ὑποδούλωσε πολλὲς φορὲς ἡ κολακεία. Πρέπει λοιπὸν καὶ στὸν φόβο καὶ στὴν κολακεία νὰ φερόμαστε σὰν ἄνδρες (γιατὶ καθένα ἀπὸ τὰ πάθη εἶναι δουλικό), καὶ νὰ τιμᾶμε μόνο τὴν ἀλήθεια.

138.- ΣΤΟΝ ΙΔΙΟ

Ὅτι πρέπει, αὐτὸς ποὺ εὐδοκιμεῖ στὴ ζωή, νὰ εἶναι καὶ φιλόθεος καὶ φιλάνθρωπος.

Αὐτὸς ποὺ εὐδοκιμεῖ στὴ ζωὴ πρέπει νὰ εἶναι καὶ φιλόθεος καὶ

ἵνα μήτε διὰ τὸ ὕψος τῆς ἀρετῆς καὶ τῷ ἀνακεῖσθαι τῷ Θείῳ τῶν ἀνθρώπων καταφρονοίη, μήτε διὰ τοὺς ἀνθρώπους τοῦ Θείου ἀμελοίη. Ἡ γὰρ ἀγάπη ἡ πρὸς τὸ Θεῖον, εἰ καὶ μείζων ἐστὶ πολλῷ, τῇ πρὸς ἀνθρώπους συμπλεκομένη, λαμπροτέρα γίνεται.

ΡΛΘ΄.– ΝΕΙΛΩ

Περὶ τῆς σοφίας Δανιὴλ καὶ τῶν τριῶν παίδων.

Οὐ τὴν παρὰ Χαλδαίοις περίεργον παίδευσιν ἔμαθον οἱ παῖδες οἱ τρεῖς καὶ ὁ Δανιήλ, μὴ τοῦτο νομίσῃς. Οἱ γὰρ τοσαύτην τῆς εἰς τὸ Θεῖον εὐσεβείας τὴν ἐμμέλειαν ποιησάμενοι, ὡς μηδὲ βρωμάτων βασιλικῶν μεταλαβεῖν, πότε ἂν ἠνέσχοντο, εἰ καὶ μυρίοι ἠπειλήθησαν θάνατοι, εἰς ἀνελεύθερον παίδευσιν ἐκκυλισθῆναι; Ὅτι ταῦθ' οὕτως ἔχει, μάρτυς ἀξιόχρεως ἡ Γραφή, λέγουσα· «Δέδωκεν αὐτοῖς ὁ Θεὸς σύνεσιν καὶ φρόνησιν ἐν πάσῃ γραμματικῇ καὶ σοφίᾳ», τοῦτ' ἔστι πάσης προσδοκίας ὀξύτερον καὶ ἐλπίδος ὠκύτερον ἐδέχοντο τὴν ἐν γράμμασι παίδευσιν. Γραμματικὴν γὰρ λέγει, τὴν ἐν γράμμασι σοφίαν. Ὅτι δὲ τοῦτό ἐστιν ἀληθές, δῆλον μέν ἐστι καὶ ἐκ τοῦ μὴ προσκεκυνηκέναι τὴν βασιλικὴν εἰκόνα, δῆλον δὲ καὶ ἐκ τοῦ τὸν μὲν τοὺς λέοντας αἰδεσθῆναι, τοὺς δὲ τὸ πῦρ. Εἰ δὲ φαῖεν, Ἐκ παιδεύσεως περσικῆς, ἀποκρινάσθωσαν, Πῶς οὖν τῶν ἐν τοῖς μεγίστοις αὐτῶν ὄντων ἀξιώμασι καὶ πάσῃ τῇ κατ' αὐτοὺς σοφίᾳ πεπαιδευμένων, τοὺς μὲν οἱ λέοντες, πρὶν τοῦ ἐδάφους ἅψασθαι, κατειργάσαντο, τοὺς δὲ τὸ πῦρ;

ΡΜ΄.– ΠΑΛΛΑΔΙΩ ΕΠΙΣΚΟΠΩ

Ὅτι οὐ χρὴ καταφρονεῖν τῶν εὐτελεῖ σχήματι προσιόντων.

Μὴ καταφρόνει τῶν εὐτελεῖ σχήματι προσιόντων σοι, ἀλλὰ θαύμαζε τὴν ὑπομονὴν καὶ οἰκτειρον τὴν μεταβολήν, λογιζόμενος, ὡς πολλοί, βασιλικοῦ γένους τυγχάνοντες, τὴν τῶν θητευόντων ἔλαχον τάξιν. Εἰ δὲ καὶ ἀφανεῖς εἶεν ἐξ ἀφανῶν, μηδ'

φιλάνθρωπος, ὥστε, οὔτε λόγω τοῦ ὕψους τῆς ἀρετῆς του καὶ τῆς ἀναπαύσεώς του κοντὰ στὸν Θεό, νὰ περιφρονεῖ τοὺς ἀνθρώπους, οὔτε λόγω τῶν ἀνθρώπων νὰ παραμελεῖ τὸν Θεό. Γιατὶ ἡ ἀγάπη πρὸς τὸν Θεό, ἂν καὶ εἶναι πολὺ μεγαλύτερη, συνδυασμένη μὲ τὴν ἀγάπη πρὸς τοὺς ἀνθρώπους, γίνεται λαμπρότερη.

139.- ΣΤΟΝ ΝΕΙΛΟ
Γιὰ τὴ σοφία τοῦ Δανιὴλ καὶ τῶν τριῶν παίδων.

Νὰ μὴ νομίσεις, ὅτι οἱ τρεῖς παῖδες καὶ ὁ Δανιὴλ ἔμαθαν τὴν ἀλλόκοτη ἐκπαίδευση τῶν Χαλδαίων. Γιατὶ αὐτοὶ ποὺ ἔδειξαν τόσο μεγάλη ἀφοσίωση στὸν σεβασμὸ τοῦ Θεοῦ, ὥστε οὔτε τὰ βασιλικὰ φαγητὰ νὰ τρῶνε, πῶς θὰ δέχονταν, ἔστω καὶ ἂν τοὺς ἀπειλοῦσαν μύριοι θάνατοι, νὰ κυλισθοῦν σὲ δουλικὴ παίδευση; Ὅτι βέβαια αὐτὰ ἔτσι ἔχουν, ἀξιόπιστος μάρτυρας εἶναι ἡ ἁγία Γραφή, ἡ ὁποία λέγει· «Τοὺς ἔδωσε ὁ Θεὸς σύνεση καὶ φρονιμάδα στὰ γράμματα καὶ στὴ σοφία»[14], δηλαδὴ δέχονταν περισσότερο ἀπὸ κάθε προσδοκία καὶ ἐλπίδα καὶ ταχύτερα τὴν πρόοδο στὰ γράμματα. Γιατὶ γραμματικὴ ἐννοεῖ τὴ σοφία ποὺ προσφέρουν τὰ γράμματα. Ὅτι πάλι αὐτὸ εἶναι ἀληθινό, εἶναι φανερὸ βέβαια ἀπὸ τὸ ὅτι δὲν προσκύνησαν τὸ ἄγαλμα τοῦ βασιλιᾶ, ἀλλὰ φαίνεται καὶ ἀπὸ τὸ ὅτι τὸν Δανιὴλ τὸν σεβάσθηκαν τὰ λιοντάρια, καὶ τοὺς τρεῖς παῖδες ἡ φωτιά. Ἐὰν ὅμως ποῦν, ὅτι αὐτὸ ἔγινε ἀπὸ τὴν περσικὴ ἐκπαίδευση, ἂς μᾶς ἀπαντήσουν· Πῶς λοιπὸν ἐκείνους ποὺ βρίσκονταν στὰ ἀνώτατα ἀξιώματα καὶ ἦταν ἐκπαιδευμένοι σὲ ὅλη τὴ δική τους σοφία, ἄλλους τοὺς ἔφαγαν τὰ λιοντάρια πρὶν ν' ἀγγίξουν τὸ ἔδαφος, καὶ ἄλλους ἡ φωτιά;

140.- ΣΤΟΝ ΕΠΙΣΚΟΠΟ ΠΑΛΛΑΔΙΟ.
Ὅτι δὲν πρέπει νὰ περιφρονοῦμε αὐτοὺς ποὺ μᾶς πλησιάζουν μὲ εὐτελῆ ἐμφάνιση.

Νὰ μὴ περιφρονεῖς ἐκείνους ποὺ μὲ εὐτελῆ ἐμφάνιση ἔρχονται σὲ σένα, ἀλλὰ νὰ θαυμάζεις τὴν ὑπομονή τους, καὶ νὰ δείχνεις εὐσπλαγχνία γιὰ τὴ μεταβολή τους, σκεπτόμενος, ὅτι πολλοί, ἐνῶ εἶναι βασιλικῆς καταγωγῆς ἐξέπεσαν στὴν τάξη τῶν μισθωτῶν. Ἀλλὰ καὶ

14. Δαν. 1, 17.

οὕτως ἀποστρέφου, ἀλλ' ὄρεγε, ἐν οἷς ἂν δύναιο, χεῖρα, λογιζόμενος, ὅτι καὶ ἡ δοκοῦσα δυσγένεια ἀκούσιός ἐστι καὶ οὐ μεμπτή· ἡ γὰρ ἀπὸ τῶν τρόπων ἐστὶν ἡ μιαρά. Εἰ δὲ καὶ δύστροποι εἶεν, τροφῆς ἀναγκαίας ἀπολαυέτωσαν, καὶ διὰ τὸ ἀνθρώπινον καὶ διὰ τὸ θεῖον πρόσταγμα, τὸ μὴ μόνον παρακελευόμενον, παντὶ τῷ αἰτοῦντι διδόναι, ἀλλὰ καὶ τὸ διδόμενον οἰκειούμενον.

ΡΜΑ'.– ΑΕΤΙΩ ΚΟΜΗΤΙ
Κατὰ Σαβελλιανῶν.

Θειότατος καὶ ἄρρητος τοῦ Πατρὸς Υἱός, ὁ παρ' ἡμῶν προσκυνούμενος, εἰκότως Λόγος προσαγορεύεται, οὐχ ὅτι Λόγος μόνον ἐστὶ καὶ τοῦ Πατρὸς ἑρμηνεύτης, ὥς τινες οἴονται, ἀλλ' ὅτι καὶ θᾶττον ἢ λόγος δημιουργεῖ, καὶ ἀπαθῶς ἐτέχθη. Λόγος δ' ἂν, ἐνυπόστατός ἐστι καὶ οἰκείαν ἰδιότητα ἔχει. Ὅτι δ' οὐκ ἔστιν ἀνυπόστατος, αὐτὸς ὁ Λόγος λόγους ἔχειν φράζει, λέγων· «Ὁ ἀκούων τοὺς λόγους καὶ ποιῶν αὐτούς». Εἰ οὖν ὁ Λόγος λόγους ἔχει, οὐκ ἔστιν ἀνυπόστατος, ἀλλ' ἐνυπόστατος ὢν διὰ τὸ ἀπαθῶς προεληλυθέναι, Λόγος προσαγορεύται.

ΡΜΒ'.– ΘΕΟΔΟΣΙΩ ΕΠΙΣΚΟΠΩ
Εἰς τό, «Λαμψάτω τὸ φῶς ὑμῶν», καὶ ὅτι οὐκ ἔστι τοῦτο ἐναντίον τῷ, «Προσέχετε τὴν ἐλεημοσύνην ὑμῶν», καὶ τὰ ἑξῆς.

Δόξης ἀγαθῆς πανταχοῦ ῥεπούσης καὶ γῆν καὶ θάλατταν περινοστούσης, οὐδέν, ὦ θαυμάσιε, ἄμεινον, οὐδ' ἂν τοὺς Κροίσου τις θησαυροὺς αὐτῇ παραβάλλοι. Διὸ ὁ μὲν Παροιμιαστὴς ἔφη, «Ὄνομα καλὸν ὑπὲρ πλοῦτον πολύν, ὑπὲρ ἀργύριον καὶ χρυσίον χάρις ἀγαθή», ὁ δὲ Χριστὸς παρεκελεύετο· «Λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων». Οὐχ ἵνα πρὸς φιλοτι-

15. Ματθ. 7,24.
16. Ματθ. 5,16.

ἀσήμαντοι ἂν εἶναι καὶ ἀπὸ ἀσήμαντους γονεῖς, οὔτε τότε νὰ τοὺς ἀποστρέφεσαι, ἀλλὰ νὰ ἁπλώνεις τὸ χέρι σου σὲ ὅποιους μπορεῖς, σκεπτόμενος ὅτι καὶ ἡ θεωρούμενη ταπεινὴ καταγωγὴ εἶναι ἀθέλητη καὶ ὄχι ἄξια περιφρόνησης· γιατὶ βδελυρὴ εἶναι ἐκείνη ποὺ προέρχεται ἀπὸ τὸν ταπεινὸ τρόπο ζωῆς. Ἀκόμα καὶ ἂν εἶναι δύστροποι, πρέπει νὰ ἀπολαμβάνουν τὴν ἀναγκαία τροφή, καὶ γιὰ λόγους ἀνθρωπιστικούς, ἀλλὰ καὶ λόγω τῆς θείας ἐντολῆς, ἡ ὁποία ὄχι μόνο διατάζει νὰ δίνουμε στὸν καθένα ποὺ ζητᾶ, ἀλλὰ καὶ αὐτὸ ποὺ δίνεται νὰ γίνεται μὲ ἐγκαρδιότητα.

141.- ΣΤΟΝ ΚΟΜΗΤΑ ΑΕΤΙΟ
Ἐναντίον τῶν Σαβελλιανῶν.

Ὁ θεϊκώτατος καὶ ἀπερίγραπτος Υἱὸς τοῦ Πατέρα, ποὺ προσκυνεῖται ἀπὸ μᾶς, δικαιολογημένα ὀνομάζεται Λόγος. Ὄχι ὅτι εἶναι μόνο Λόγος καὶ ἑρμηνευτὴς τοῦ Πατέρα, ὅπως νομίζουν μερικοί, ἀλλὰ ὅτι καὶ δημιουργεῖ πιὸ γρήγορα ἀπὸ ὅτι ὁ λόγος, καὶ γεννήθηκε ἀπαθῶς. Ὄντας λοιπὸν Λόγος, ἔχει ὕπαρξη καὶ δική του ἰδιότητα. Ὅτι βέβαια δὲν εἶναι χωρὶς ὑπόσταση, ὁ ἴδιος ὁ Λόγος λέγει ὅτι ἔχει λόγους, λέγοντας· «Αὐτὸς ποὺ ἀκούει τοὺς λόγους μου αὐτοὺς καὶ τοὺς ἐφαρμόζει»[15]. Ἐφόσον λοιπὸν ὁ Λόγος ἔχει λόγους, δὲν εἶναι χωρὶς ὑπόσταση, ἀλλά, ὄντας ἐνυπόστατος, ἐπειδὴ προῆλθε ἀπαθῶς, ὀνομάζεται Λόγος.

142.- ΣΤΟΝ ΕΠΙΣΚΟΠΟ ΘΕΟΔΟΣΙΟ
Στὸ χωρίο· «Ἂς λάμψει τὸ φῶς σας»[16], καὶ ὅτι αὐτὸ δὲν εἶναι ἀντίθετο πρὸς τό· «Νὰ προσέχετε τὴν ἐλεημοσύνη σας»[17], καὶ τὰ στὴ συνέχεια.

Δὲν ὑπάρχει, θαυμάσιε, καλύτερο ἀπὸ τὴν καλὴ ὑπόληψη, ἡ ὁποία κυκλοφορεῖ παντοῦ, καὶ περιέρχεται τὴν ξηρὰ καὶ τὴ θάλασσα, οὔτε ἂν αὐτὴν τὴν συγκρίνει κανεὶς μὲ τοὺς θησαυροὺς τοῦ Κροίσου. Γι' αὐτὸ ὁ Παροιμιαστὴς εἶπε, «Τὸ καλὸ ὄνομα εἶναι ἀνώτερο ἀπὸ πολὺν πλοῦτο, ἀνώτερο ἀπὸ τὸ ἀσῆμι καὶ τὸ χρυσάφι, χάρη ἀγαθή»[18], καὶ ὁ Χριστὸς παράγγειλε· «Νὰ λάμψει τὸ φῶς σας μπροστὰ στοὺς

17. Ματθ. 6, 2. 18. Παροιμ. 22, 1.

μίαν ζῶμεν (ἄπαγε! ταύτην γὰρ πανταχοῦ ἐκριζοῖ, κελεύων μήτε τὴν εὐχήν, μήτε τὴν ἐλεημοσύνην δημοσιεύειν, ἀλλὰ καὶ θατέραν χεῖρα λανθάνειν τὸ γενησόμενον), ἵνα δὲ μηδενὶ παρέχωμεν δικαίαν σκανδάλου λαβήν. Οὕτω γὰρ καὶ ἀκόντων ἡμῶν τὸ τῶν πράξεων φῶς περιαστράψει τοὺς θεωμένους, καὶ εἰς τὴν θείαν δοξολογίαν τρέψει. Ὅτι γὰρ τοῦτο μηνύει, οὐκ ἐρρήθη, Ὅπως ἂν ὑμεῖς δοξασθῆτε, ἀλλ' «Ἵνα ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα, καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς».

ΡΜΓ'.– ΖΩΣΙΜΩ ΠΡΕΣΒΥΤΕΡΩ

Ὅτι χρὴ εὐκαταφρόνητον εἶναι πᾶν ὃ τέλος ἔχει, κἂν δοκῇ λαμπρὸν εἶναι καὶ ἐπέραστον.

Εἰ κάλλος θεάσοιο σωματικόν, ἐννόει, ὅτι τὸ ἄνθος τοῦτο τὸ λαμπρὸν αὔριον κόνις γίνεται, καὶ τὸ σήμερον πῦρ, τῇ ἑξῆς εἰς τέφραν ἀποβήσεται. Πᾶν γὰρ ὃ τέλος ἔχει, καὶ τοῦτο τάχιστον, κἂν δοκῇ λαμπρὸν εἶναι καὶ ἐπέραστον, εὐκαταφρόνητον εἶναι ὀφείλει, μάλισθ' ὅταν καὶ κόλασιν τίκτῃ.

ΡΜΔ'.– ΠΑΛΛΑΔΙΩ ΥΠΟΔΙΑΚΟΝΩ

Περὶ τῆς κακίας καὶ τῆς ἀρετῆς.

Οὐκ ἔστι μικρὸν τὸ μικρὸν εἶναι δοκοῦν, τὸ μὴ προστιθέναι ἁμαρτίαν ἐφ' ἁμαρτίᾳ, ἀλλὰ καὶ μέγιστον. Ὁδὸς γάρ ἐστιν ἐπὶ τὴν ἀρίστην φέρουσα μεταβολήν. Εἰ γὰρ τὸ ῥεῦμα τῆς κακίας, τὸ ἐπὶ τὴν ἀπώλειαν τρέχον, ἠρεμήσειεν, ἀρχὴν λήψεται ἡ ἐπὶ τὴν ἀρετὴν κίνησις. Ὥσπερ γὰρ ἡ ἐν τοῖς σταδίοις στάσις καὶ ἐπηρέμησις τὴν ἐναντίον τίκτει κίνησιν (εἰ γὰρ μὴ σταίη, οὐκ ἂν εἰς τοὐναντίον χωρήσειεν), οὕτω καὶ ἐπὶ τῆς κακίας, εἰ μὴ παύσοιτο, οὐκ ἂν τῇ ἀρετῇ χώραν δοίη.

ΡΜΕ'.– ΠΕΤΡΩ ΚΟΡΡΗΚΤΟΡΙ

Περὶ τῆς ἰσότητος καὶ τῆς φιλότητος.

Ἰσότης, φιλότης, ὦ βέλτιστε,. Τὸ γὰρ ἄνισον τὴν φιλίαν

---

19. Ματθ. 5, 16. 20. Ὅπ. π.

ἀνθρώπους»[19]. Ὄχι νὰ ζοῦμε γιὰ ἐπίδειξη (μακριὰ κάτι τέτοιο! γιατὶ αὐτὴν παντοῦ τὴν ξερριζώνει, προστάζοντας οὔτε τὴν προσευχή, οὔτε τὴν ἐλεημοσύνη νὰ τὴν κάνουμε δημοσίως, ἀλλὰ καὶ τὸ κάθε χέρι νὰ μὴ γνωρίζει αὐτὸ ποὺ κάνει τὸ ἄλλο), γιὰ νὰ μὴ δίνουμε σὲ κανένα δίκαιη ἀφορμὴ σκανδάλου. Γιατὶ ἔτσι, καὶ χωρὶς νὰ τὸ θέλουμε, τὸ φῶς τῶν πράξεών μας θὰ ἀστράψει αὐτοὺς ποὺ μᾶς βλέπουν καὶ θὰ τοὺς ὠθήσει στὴ δοξολογία τοῦ Θεοῦ. Ὅτι βέβαια αὐτὸ δηλώνει, δὲν λέχθηκε, "Γιὰ νὰ δοξασθεῖτε ἐσεῖς», ἀλλὰ «Γιὰ νὰ δοῦν τὰ καλά σας ἔργα, καὶ νὰ δοξάσουν τὸν Πατέρα σας ποὺ εἶναι στοὺς οὐρανούς»[20].

143.- ΣΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟ ΖΩΣΙΜΟ

Ὅτι πρέπει νὰ περιφρονεῖται κάθετι ποὺ ἔχει τέλος,
κι' ἂν ἀκόμα θεωρεῖται ὅτι εἶναι λαμπρὸ καὶ ποθητό.

Ὅταν δεῖς σωματικὴ ὀμορφιά, νὰ σκέφτεσαι, ὅτι αὐτὸ τὸ λαμπρὸ ἄνθος αὔριο θὰ γίνει σκόνη, κι' αὐτὸ ποὺ σήμερα εἶναι φωτιά, τὴν ἑπόμενη μέρα θὰ γίνει στάχτη. Γιατὶ κάθετι ποὺ ἔχει τέλος, καὶ αὐτὸ πολὺ γρήγορο, ἀκόμα καὶ ἂν φαίνεται ὅτι εἶναι λαμπρὸ καὶ ἀξιαγάπητο, πρέπει νὰ εἶναι εὐκαταφρόνητο, ἰδιαίτερα ὅταν προκαλεῖ καὶ κόλαση.

144.- ΣΤΟΝ ΥΠΟΔΙΑΚΟΝΟ ΠΑΛΛΑΔΙΟ

Γιὰ τὴν κακία καὶ τὴν ἀρετή.

Δὲν εἶναι μικρὸ αὐτὸ ποὺ φαίνεται ὅτι εἶναι μικρό, δηλαδὴ τὸ νὰ μὴ προσθέτουμε ἁμαρτία πάνω στὴν ἁμαρτία, ἀλλ' εἶναι καὶ πολὺ μεγάλο. Καθόσον εἶναι δρόμος ποὺ ὁδηγεῖ στὴν ἄριστη μεταβολή. Γιατί, ἂν ἠρεμήσει τὸ ρεῦμα τῆς κακίας ποὺ τρέχει πρὸς τὴν καταστροφή, θὰ ἀρχίσει ἡ κίνηση πρὸς τὴν ἀρετή. Ὅπως δηλαδὴ ἡ στάση καὶ ἡ ἠρέμηση στὰ στάδια, γεννᾶ τὴν ἀντίθετη κίνηση (γιατί, ἂν δὲν σταθεῖ, δὲν θὰ μπορέσει νὰ προχωρήσει στὸ ἀντίθετο), ἔτσι καὶ στὴν περίπτωση τῆς κακίας, ἂν δὲν σταματήσει, δὲν θὰ μπορέσει νὰ παραχωρήση θέση στὴν ἀρετή.

145.- ΣΤΟΝ ΣΩΦΡΟΝΙΣΤΗ ΠΕΤΡΟ

Γιὰ τὴν ἰσότητα καὶ τὴ φιλότητα (φιλία).

Ἡ ἰσότητα εἶναι φιλία, φίλε μου. Γιατὶ ἡ ἀνισότητα βλάπτει ἀπὸ

βλάπτειν πέφυκε. Μὴ τοίνυν καὶ αὐτὸς φίλῳ χρῷο τ' ἀνδρὶ καὶ κόλακι. Οὐ γὰρ ἀνέξεται ὁ ἐπὶ ἴσοις καὶ δικαίοις τὴν φιλίαν πηξάμενος.

ΡΜϚ'.– ΘΕΟΓΝΩΣΤΩ ΠΡΕΣΒΥΤΕΡΩ

Ἐπαινετική.

Πολλὰ ἔχων τοῦ ἀοιδίμου Τιμοθέου φράσαι, ἕν, εἰς ὃ πάντα τείνει, λέξω· ὅτι τῆς ἀρετῆς γνήσιος ὢν ἐραστής, ἀεὶ πρὸς τὸ ὑπάρχον αὐτῷ κλέος ἀντηγωνίζετο, τὴν ἐπὶ τοῖς προτέροις ἔκπληξιν τοῖς δευτέροις ἔργοις ἀφανίζων.

ΡΜΖ'.– ΕΥΤΟΝΙΩ ΔΙΑΚΟΝΩ

Εἰς τό, «Ἐγείρεσθε, ἄγωμεν ἐντεῦθεν».

Τῆς κατασχούσης τὸ ἀνθρώπινον γένος προλήψεως τὴν τυραννίδα διακόπτων ὁ Σωτὴρ καὶ ἀπὸ τῶν χαμαιζήλων πραγμάτων εἰς τὴν ὑπερκόσμιον αὐτὸ λῆξιν ἀνάγειν σπουδάζων, ἐβόα· «Ἐγείρεσθε, ἄγωμεν ἐντεῦθεν». Τῇ γὰρ φωνῇ τὴν οἰκείαν κεράσας δύναμιν, τῶν θελόντων ἀναπτῆναι εἰς οὐρανὸν ἀνέρρωσε τὰς δυνάμεις, ὥστε, πολλὰ χαίρειν τῇ προλήψει φράσαντας, τῆς ἄνω πορείας ἔχεσθαι.

ΡΜΗ'.– ΤΩ ΑΥΤΩ

Ὅτι ἀνδρεῖος καὶ τυραννοκτόνος ἐστὶν ὁ τὴν τῶν παθῶν τυραννίδα τυραννικῶς διαζόμενος.

Ὁ τὴν τοῖς πολλοῖς ἀβίαστον εἶναι δοκοῦσαν τῶν παθῶν τυραννίδα τυραννικῶς διαζόμενος, καὶ ὡς ἀνδρεῖος ᾄδεσθαι ὀφείλει, καὶ ὡς τυραννοκτόνος.

ΡΜΘ'.– ΤΩ ΑΥΤΩ

Περὶ τῆς ἁγίας Τριάδος.

Ἡ ἀϊδιότης οἷον ἀειζωότης ἐστί· διὸ καὶ ἐπὶ μόνης τῆς ἀνάρχου φύσεως, τῆς ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἐχούσης λαμβάνεσθαι εἴωθε. Τὸ μὲν γὰρ ἀθάνατον καὶ ἐπὶ τοῦ γενομέ-

τὴ φύση της τὴ φιλία. Καὶ σὺ λοιπὸν μὴ κάνεις φίλο ἄνδρα κόλακα. Γιατὶ δὲν θὰ τὴν ἀνεχθεῖ αὐτὸς ποὺ ἔπηξε τὴ φιλία πάνω σὲ ἴσους καὶ δίκαιους.

146.- ΣΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟ ΘΕΟΓΝΩΣΤΟ
Ἐπαινετική.

Ἔχοντας πολλὰ νὰ σοῦ πῶ γιὰ τὸν ἀείμνηστο Τιμόθεο, θὰ σοῦ πῶ μόνο ἕνα, στὸ ὁποῖο τείνουν ὅλα. Ὅτι, ὄντας γνήσιος ἐραστὴς τῆς ἀρετῆς, πάντοτε ἀνταγωνιζόταν τὴ δόξα ποὺ ὑπῆρχε σ' αὐτόν, ἀφανίζοντας τὴν ἔκπληξη γιὰ τὰ προηγούμενα ἔργα του μὲ τὰ ἑπόμενα.

147.- ΣΤΟΝ ΔΙΑΚΟΝΟ ΕΥΤΟΝΙΟ
Στὴ ρήση· «Σηκωθεῖτε, ἂς φύγουμε ἀπὸ ἐδῶ»[21].

Ὁ Σωτήρας ἀνακόπτοντας τὴν τυραννία τῆς πρόληψης ποὺ εἶχε κυριέψει τὸ ἀνθρώπινο γένος καὶ ἐπιδιώκοντας νὰ τὸ ἀνεβάσει ἀπὸ τὰ χαμηλὰ πράγματα στὴν ὑπερκόσμια κατάληξη, φώναζε· «Σηκωθεῖτε, ἂς φύγουμε ἀπὸ ἐδῶ»[21α]. Γιατί, ἀναμιγνύοντας στὴ φωνὴ καὶ τὴ δύναμή του, ἐνίσχυσε τὶς δυνάμεις αὐτῶν ποὺ ἤθελαν νὰ πετάξουν στὸν οὐρανό, ὥστε, ἀποχαιρετώντας μιὰ γιὰ πάντα τὶς προκαταλήψεις, νὰ προσηλώνονται στὴν οὐράνια πορεία.

148.- ΣΤΟΝ ΙΔΙΟ
Ὅτι εἶναι ἀνδρεῖος καὶ τυραννοκτόνος αὐτὸς ποὺ ἀντιμετωπίζει μὲ βία τὴν τυραννικὴ ἐξουσία τῶν παθῶν.

Αὐτὸς ποὺ βιάζει μὲ τυραννικὸ τρόπο τὴν τυραννικὴ ἐξουσία τῶν παθῶν, ποὺ ἀπὸ τοὺς πολλοὺς θεωρεῖται ὅτι δὲν μπορεῖ νὰ βιαστεῖ, πρέπει νὰ ἐγκωμιάζεται καὶ ὡς ἀνδρεῖος, καὶ ὡς τυραννοκτόνος.

149.- ΣΤΟΝ ΙΔΙΟ
Γιὰ τὴν ἁγία Τριάδα.

Ἡ αἰωνιότητα εἶναι ἕνα εἶδος ἀθανασίας, γι' αὐτὸ συνηθίζεται νὰ χρησιμοποιεῖται μόνο γιὰ τὴν χωρὶς ἀρχὴ φύση, ἡ ὁποία εἶναι πάντοτε ἴδια. Ἡ ἀθανασία βέβαια μπορεῖ ν' ἀποδοθεῖ καὶ σὲ κάτι ποὺ ἔγινε

21. Ματθ. 26, 46. 21α. Ὅπ. π.

νου μέν, μὴ ἀποθνήσκοντος δέ, οἷον ἐπὶ ἀγγέλου καὶ ψυχῆς, κατηγορεῖσθαι δύναται, καὶ τὸ ἄφθαρτον ἐπὶ τῶν πεποιημένων μέν, κρειττόνων δὲ φθορᾶς γεγενημένων. Τὸ δ' ἀΐδιον κυρίως τῆς θείας οὐσίας ἴδιόν ἐστι. Διὸ καὶ τῆς προσκυνητῆς καὶ βασιλικωτάτης Τριάδος μόνον λαμβάνεσθαι πέφυκε, τῆς τοῦ «πρὸ» καὶ «μετὰ» μὴ ἀνεχομένης, μηδὲ τὸ πρῶτον καὶ δεύτερον καὶ τρίτον καταδεχομένης. Ἀριθμοῦ γὰρ τὸ Θεῖον ἀνώτερον, καὶ χρόνων κρεῖττον, καὶ πάσης ἐπινοίας ὑψηλότερον. Εἰ γὰρ καὶ ταῖς ἰδιότησι διαιρεῖται, ἀλλὰ τῇ ἀξίᾳ καὶ τῇ οὐσίᾳ συνάπτεται. Διαιρεῖται μέν, ἵνα Ἰουδαῖοι καὶ Σαβέλλιος ἐλεγχθῶσι, συνάπτεται δέ, ἵνα Ἄρειος καὶ Εὐνόμιος καταισχυνθῶσι. Πλατυνόμενον γὰρ εἰς ὑποστάσεις, συνάπτεται κατὰ τὴν οὐσίαν, ᾗ καὶ ἡ ἀξία πάντως ἕπεται.

ΡΝ'.– ΑΛΦΙΩ ΕΠΙΣΚΟΠΩ

Προτρεπτική, ὅπως μὴ καθυβρίσῃ τὸ τῆς ἱερωσύνης γέρας αὐτῷ πιστευθέν.

Ἐπειδὴ πάντες, οἷς ἀρετῆς καὶ πολὺς καὶ ὀλίγος λόγος, ἐκ θείου νεύματος τὸ γέρας τῆς ἱερωσύνης δεδόσθαι σοι πιστεύουσι, δίκαιος ἂν εἴης πάντα ποιεῖν, ὅπως μὴ τὴν θείαν χειροτονίαν τοῖς μετὰ ταῦτα πραττομένοις καθυβρίσῃς. Εἰ γὰρ τὴν σεμνοτάτου ψυχὴν θεσμῷ ἱερωσύνης διακοσμήσειας, καὶ τὸν μὲν λογισμὸν τὸν ὀρθὸν ἀποδείξεως αὐτοκράτορα, τὸν θυμὸν δὲ αὐτῷ δορυφόρον παραδώσεως, καὶ νομοθετήσεως αὐτῷ μηδὲν πράττειν ὧν ὁ βασιλεὺς οὐ βούλεται, καὶ πᾶν ὅσον ἡδοναῖς τε καὶ λύπαις εἰς κακίαν ἔκδοτον ἐξορίσειας τῆς σαυτοῦ γνώμης, τιμήσειας τὴν ἄνωθεν ψῆφον.

ΡΝΑ'.– ΤΩ ΑΥΤΩ

Περὶ τῶν τῆς ἐλευθερίου καὶ ἀνελευθέρου ψυχῆς χαρακτήρων.

Ἐλευθερίου ψυχῆς χαρακτῆρες τὸ ἄδολον, τὸ ἥμερον, τὸ φιλάνθρωπον, τὸ ἀνδρεῖον, τὸ δίκαιον, τὸ σῶφρον, τὸ συγκαταβατικόν, τὸ ἤπιον, τὸ μεταδοτικόν, τὸ μὴ χάριτι, ἀλλὰ κρίσει

μέν, ἀλλὰ δὲν πεθαίνει, ὅπως γιὰ παράδειγμα ὁ ἄγγελος καὶ ἡ ψυχή, καὶ ἡ ἀφθαρσία ν' ἀποδοθεῖ σ' αὐτὰ ποὺ δημιουργήθηκαν βέβαια, ἀλλὰ ἔγιναν ἀνώτερα ἀπὸ τὴ φθορά, τὸ ἀΐδιο (αἰώνιο) ὅμως εἶναι κυρίως ἰδιότητα τῆς οὐσίας τοῦ Θεοῦ. Γι' αὐτὸ καὶ κατὰ φύση χρησιμοποιεῖται μόνο γιὰ τὴν προσκυνητὴ καὶ βασιλικώτατη Τριάδα, ἡ ὁποία δὲν ἐπιδέχεται τὸ πρὶν καὶ τὸ μετά, οὔτε δέχεται τὸ πρῶτο καὶ τὸ δεύτερο καὶ τὸ τρίτο. Γιατὶ τὸ Θεῖο εἶναι ἀνώτερο ἀπὸ τὸν ἀριθμό, ὑπεράνω τοῦ χρόνου, καὶ ψηλότερο ἀπὸ κάθε σκέψη. Γιατί, ἂν καὶ ὡς πρὸς τὶς ἰδιότητες διαιρεῖται, ὅμως ὡς πρὸς τὴν ἀξία καὶ τὴν οὐσία ἑνώνεται. Διαιρεῖται, γιὰ νὰ κατηγορηθοῦν οἱ Ἰουδαῖοι καὶ ὁ Σαβέλλιος, καὶ ἑνώνεται, γιὰ νὰ καταντροπιαστοῦν ὁ Ἄρειος καὶ ὁ Εὐνόμιος. Γιατί, ἐνῶ διευρύνεται σὲ ὑποστάσεις, ἑνώνεται ὡς πρὸς τὴν οὐσία, στὴν ὁποία ὁπωσδήποτε ἀκολουθεῖ καὶ ἡ ἀξία.

150.– ΣΤΟΝ ΕΠΙΣΚΟΠΟ ΑΛΦΙΟ
Προτρεπτική, ὥστε νὰ μὴ ἀτιμάσει τὸ δῶρο τῆς ἱερωσύνης ποὺ τοῦ ἐμπιστεύθηκε ὁ Θεός.

Ἐπειδὴ ὅλοι ἐκεῖνοι στοὺς ὁποίους γίνεται πολὺς ἢ λίγος λόγος γιὰ τὴν ἀρετή, πιστεύουν ὅτι τὸ βραβεῖο τῆς ἱερωσύνης δόθηκε μὲ θεϊκὴ ἐπίνευση, θὰ ἔπρεπε ὅλα νὰ τὰ κάνεις, ὥστε νὰ μὴν ἀτιμάσεις τὴ θεία χειροτονία μὲ τὰ ὅσα κάνεις μετὰ ἀπὸ αὐτήν. Γιατί, ἂν διακοσμήσεις τὴν ψυχή σου μὲ τὸν θεσμὸ τῆς ἱερωσύνης καὶ καταστήσεις τὸν ὀρθὸ λογισμὸ ἐξουσιαστὴ καὶ τοῦ παραδώσεις τὸν θυμὸ ὡς δορυφόρο του, καὶ νομοθετήσεις γι' αὐτὸν νὰ μὴ κάνει τίποτε ἀπὸ αὐτὰ ποὺ δὲν θέλει ὁ βασιλιάς, καὶ ἀπομακρύνεις ἀπὸ τὴ σκέψη σου κάθετι ποὺ ἔχει παραδοθεῖ μὲ τὶς ἡδονὲς καὶ τὶς λύπες στὴν κακία, θὰ τιμήσεις τὴν οὐράνια ἐκλογή σου.

151.– ΣΤΟΝ ΙΔΙΟ
Γιὰ τὰ χαρακτηριστικὰ τῆς ἐλεύθερης καὶ τῆς ὑποδουλωμένης στὰ πάθη ψυχῆς.

Χαρακτηριστικὰ τῆς ἐλεύθερης ψυχῆς εἶναι ἡ ἀγνότητα, ἡ πραότητα, ἡ φιλανθρωπία, ἡ ἀνδρεία, ἡ δικαιοσύνη, ἡ σωφροσύνη, ἡ μακροθυμία, ἡ ἠπιότητα, ἡ μεταδοτικότητα, τὸ νὰ μὴ χαρίζεται, ἀλλὰ

κρατεῖν καὶ ψηφίζεσθαι, καὶ τὰ ἄλλα τὰ τούτων ἀδελφά. Ἀνελευθέρου δέ, τὸ τοῖς ἐναντίοις πάθεσι κεχειρῶσθαι καὶ πᾶσαν ἀγαθὴν ἔννοιαν ἐξ αὐτῆς ἐξωστρακίσθαι.

PNB'.– ΙΣΙΔΩΡΩ ΔΙΑΚΟΝΩ

Τῶν Ἀριθμῶν. Διά τί, Ἀαρὼν καὶ Μαρίας κατηγορησάντων Μωσέως, ἡ Μαρία μόνη ἐπετιμήθη.

Ἐπειδὴ γέγραφας, δι' ἣν αἰτίαν, Ἀαρὼν καὶ Μαριὰμ κακηγορησάντων Μωσέα, ἡ Μαρία μόνη ἐπετιμήθη, λέπρας αὐτῆς τῷ προσώπῳ, ἔνθα ἡ γλῶσσα λοχᾷ, ἐπανθησάσης, γράφω μὲν καὶ ὃ ἤκουσα παρά τινος σοφοῦ, ὑποτάξω δὲ καὶ τὸ ἐμαυτῷ νενοημένον, ἵν' αὐτὸς δοκιμάσειας τὸ ἀληθέστερον. Ἔφη μὲν οὖν ἐκεῖνος ὅτι, ἐπειδὴ ἀρχὴ ἱερωσύνης ἦν, οὐκ ἠθέλησεν ὁ Θεὸς ὑβρίσαι τὸ προοίμιον, ἵνα μὴ καὶ τὸ τέλος γένηται ἐπονείδιστον. Ἐγὼ δὲ οὐτ' ἀνατρέπειν τοῦτο, οὐτ' ἐγκρίνειν ἔχω. Οὐκ ἀνατρέπω μέν, ἐπειδὴ οὐδὲν οὔτε τὴν ἀρετὴν οὔτε τὴν εὐσέβειαν παραβλάπτει. Οὐκ ἐγκρίνω δέ, ἐπειδὴ πρὸ τοῦ Ἀαρὼν ἱερωσύνη ἦν θειοτέρα καὶ ἀναίμακτος ἡ τοῦ Μελχισεδέκ, καὶ ὅτι οὐ κατὰ ἀδέκαστον κριτήν, διὰ τὸ ἀξίωμα τοῦ πταίσαντος, τὸ δίκαιον παριδεῖν. Ἀλλ' ἐκεῖνο μᾶλλον φημί, ὅτι, ἐπειδὴ ἡ Γραφὴ ἐν τῇ κατηγορίᾳ τὴν Μαριὰμ προέταξε τἀνδρὸς καὶ ἀρχιερέως, οἶμαι, τὸ σπέρμα αὐτὴν δεδωκέναι, κἀκεῖνον ἐπακολουθηκέναι. Ὁ δὲ τὸ σπέρμα παρασχών, τῶν φύντων δηλονότι αἴτιος. Διὸ καὶ πάντων σχεδὸν μοσχοποιησάντων ἐν τῇ ἐρήμῳ, τινὲς μὲν ἔδοσαν δίκην, οἱ κατάρξαντες ἴσως τοῦ πταίσματος, τινὲς δὲ συνεγνώσθησαν, οἱ κατὰ παραλογισμὸν καὶ ἀπάτην ἀκολουθήσαντες ἐκείνοις. Οὐ γὰρ τὸ γεγενημένον τοσοῦτον, ὅσον ἡ γνώμη, μεθ' ἧς γέγηται, βασανίζεται. Χωρεῖ γὰρ ὁ κριτὴς καὶ μέχρις ἐννοιῶν. Οἶμαι οὖν ὅτι τὸ προτετάχθαι μὲν τὴν Μαρίαν, ὑποτετάχθαι δὲ τὸν ἀρχιερέα, ἐν τοῖς ἄλλοις προτάγεντος μὲν τἀνδρός, ὑποτεταγμένης δὲ τῆς γυναικός, οὐ κατὰ

νὰ κυβερνᾶ καὶ νὰ ἀποφασίζει μὲ δικαιοσύνη, καὶ ὅλα τὰ ἄλλα ποὺ εἶναι ἀδέλφια μὲ αὐτά. Ἀντίθετα τῆς μὴ ἐλεύθερης ψυχῆς χαρακτηριστικὰ εἶναι ἡ αἰχμαλωσία στὰ ἀντίθετα πάθη καὶ ὁ ἐξωστρακισμὸς κάθε ἀγαθῆς σκέψης ἀπὸ αὐτήν.

152.– ΣΤΟΝ ΔΙΑΚΟΝΟ ΙΣΙΔΩΡΟ

Ἀπὸ τοὺς Ἀριθμούς· Γιατί, ἐνῶ ὁ Ἀαρὼν καὶ ἡ Μαρία κατηγόρησαν τὸν Μωυσῆ, μόνο ἡ Μαρία τιμωρήθηκε[22].

Ἐπειδὴ μοῦ ἔγραψες, γιὰ ποιὸν λόγο, ἐνῶ ὁ Ἀαρὼν καὶ ἡ Μαρία κατηγόρησαν τὸν Μωυσῆ, τιμωρήθηκε μόνο ἡ Μαρία, μὲ τὴν ἐμφάνιση λέπρας στὸ πρόσωπό της, ὅπου ἔχει τὴν ἕδρα της ἡ γλώσσα, σοῦ γράφω αὐτὸ ποὺ ἄκουσα ἀπὸ κάποιον σοφό, θὰ προσθέσω ὅμως καὶ αὐτὸ ποὺ ἔχω σκεφθεῖ ἐγώ, ὥστε ἐσὺ νὰ κρίνεις ποιὸ εἶναι τὸ πιὸ ἀληθινό. Εἶπε λοιπὸν ἐκεῖνος, ὅτι, Ἐπειδὴ ἦταν ἡ ἀρχὴ τῆς ἱερωσύνης, δὲν θέλησε ὁ Θεὸς νὰ ἀτιμάσει τὴν ἀρχή, γιὰ νὰ μὴ γίνει καὶ τὸ τέλος ἄξιο περιφρόνησης. Ἐγὼ βέβαια οὔτε νὰ τὸ ἀπορρίψω αὐτό, οὔτε νὰ τὸ ἐγκρίνω μπορῶ. Καὶ δὲν τὸ ἀπορρίπτω, γιατὶ δὲν βλάπτει σὲ τίποτε, οὔτε τὴν ἀρετή, οὔτε τὴν εὐσέβεια. Ἀλλ' οὔτε καὶ τὸ ἐγκρίνω, ἐπειδὴ πρὶν ἀπὸ τὸν Ἀαρὼν ὑπῆρχε ἱερωσύνη πιὸ θεϊκὴ καὶ ἀναίμακτη, ἡ ἱερωσύνη τοῦ Μελχισεδέκ, καὶ ἐπειδή, λόγω τοῦ ἀξιώματος αὐτοῦ ποὺ ἔφταιξε, δὲν μπορῶ, σὰν ἀδέκαστος κριτής, νὰ παραβλέψω τὸ δίκαιο. Ἀλλὰ λέγω ἐκεῖνο μᾶλλον, ὅτι, ἐπειδὴ ἡ ἁγία Γραφὴ στὴν κατηγορία της προέταξε, ἀντὶ τοῦ ἄνδρα καὶ ἀρχιερέα Ἀαρών, τὴν Μαρία, νομίζω ὅτι αὐτὴ ἔδωσε τὸ σπέρμα καὶ ἀκολούθησε ἐκεῖνος. Καὶ αὐτὸς ποὺ ἔδωσε τὸ σπέρμα, εἶναι φανερὸ πὼς εἶναι αἴτιος ἐκείνων ποὺ φύτρωσαν. Γι' αὐτό, καὶ ἐνῶ ὅλοι σχεδὸν κατασκεύασαν τὸ μοσχάρι στὴν ἔρημο, μερικοὶ βέβαια τιμωρήθηκαν, ἴσως ἐκεῖνοι ποὺ ἄρχισαν τὸ φταίξιμο, καὶ μερικοὶ συγχωρήθηκαν, ἐπειδὴ ἀπὸ παραλογισμὸ καὶ ἀπάτη ἀκολούθησαν ἐκείνους. Γιατὶ δὲν τιμωρεῖται τόσο πολὺ αὐτὸ ποὺ ἔχει γίνει, ὅσο ἡ πρόθεση μὲ τὴν ὁποία γίνεται. Καθόσον ὁ κριτὴς προχωρεῖ καὶ μέχρι τὶς σκέψεις. Νομίζω λοιπόν, τὸ ὅτι προτάχθηκε ἡ Μαρία, καὶ ὑποτάχθηκε ὁ ἀρχιερέας, ἐνῶ στὰ ἄλλα προτάχθηκε ὁ ἄνδρας καὶ ὑποτάχθηκε ἡ γυναίκα, δὲν ἔγινε κατὰ

22. Ἀριθμ. 12, 10 ἑ.

παραύξησιν γέγονεν, ἀλλὰ κατ' αἰτιολογίαν. Λάλον γάρ, ὡς τὰ πολλά, τὸ γυναικεῖον γένος καὶ περίεργον, διὸ καὶ δίκας ἀπῃτήθη. Ἐπεὶ οὐκ ἄν, ἐν τοῖς ἄλλοις ἅπασι προτάξας τὸν Ἀαρών, ἐνταῦθα αὐτὸν ὑπέταξεν, εἰ μὴ αἰτιολογῆσαι ἠθέλησεν.

ΡΝΓ'.– ΑΛΦΙΩ
Περὶ τῆς τῶν Ζωσίμου, Παλλαδίου καὶ Μάρωνος κακίας.

Εἰ καί, ὡς γέγραφας, Ζώσιμος τοῦ ληστρικοῦ στίφους ἐστὶ κορυφαῖος καὶ τῶν δημοβόρων ἔξαρχος καὶ τῶν ῥᾳθύμως βιούντων συνήγορος καὶ τῶν ὀρθῶς πολιτευομένων κατήγορος, ἀλλ' ἐγὼ οὐκ αὐτὸν μόνον αἰτιῶμαι, ἀλλὰ καὶ Παλλάδιον καὶ Μάρωνα, τούς, ὥς φασι, συνασπίζοντας αὐτῷ καὶ τὴν σφῶν δύναμιν κατὰ τῆς τῶν ἐπιεικῶν πραότητος ὁπλίζοντας. Ἐκεῖνοι γάρ εἰσιν οἱ τούτου ῥωννύντες τὴν κακίαν καὶ σβεσθῆναι μὴ συγχωροῦντες, ἀλλὰ τὴν ἐπάρατον ταύτην ἀντίδοσιν παρέχοντές τε καὶ λαμβάνοντες. Τῷ γὰρ συγκροτεῖν τοὺς φαύλους, συγκροτεῖσθαι νομίζουσι, καὶ τῷ ἐκπεπολεμῶσθαι τοῖς φιλαρέτοις, περιέσεσθαι προσδοκῶσιν. Ἀλλ' οὐκ οἴσει ταῦτα ὁ Θεὸς ὁ μισοπόνηρος καὶ φιλάγαθος.

ΡΝΔ'.– ΑΡΠΟΚΡΑ ΣΟΦΙΣΤΗ
Κατὰ λεγόντων εἶναι γένεσιν, ἤτοι εἱμαρμένην, ἢ τὴν λεγομένην τύχην.

Εὖ γε πεποίηκας, καίτοι τῶν τῆς ἀρρωστίας λειψάνων ἔτι ἡμᾶς κατασφενδονώντων, τὴν λύραν ἀραχνιῶσαν μεταχειρίσασθαι ἀναγκάσας καὶ μέλος ᾆσαι, εἰ καὶ μὴ γεγωνὸς καὶ ἐξάκουστον, ἀλλ' ἀμυδρὸν καὶ ἡσύχιον. Οὐκοῦν ἀκόνα σαυτοῦ τὰς ἀκοὰς καὶ θῆγε τὸν νοῦν πρὸς εὐαισθησίαν. Ἠρέμα γὰρ ᾄδοντος, οὐ ῥᾴδιον ἀκοῦσαι. Πόθεν οὖν ἄρα, πόθεν ἄρξομαι τοῦ μέλους; Ἐντεῦθεν ὅθεν καὶ χρή. Φημὶ τοίνυν, ὅτι ἀνθρώπων ἐστίν, ὡς οἶμαι, μηδὲν καλὸν μήτε νυνὶ πραττόντων μήτε μετὰ ταῦτα προσδοκώντων, ἡ περὶ τῆς εἱμαρμένης ψῆφος. Καὶ ἵνα

παραύξηση, ἀλλὰ πρὸς δικαιολογία. Γιατὶ τὸ γυναικεῖο φῦλο ὡς ἐπὶ τὸ πλεῖστον εἶναι φλύαρο καὶ περίεργο. Γι' αὐτὸ καὶ τιμωρήθηκε. Γιατί, ἐνῶ σὲ ὅλα τὰ ἄλλα προέταξε τὸν Ἀαρών, δὲν θὰ ὑπέτασσε ἐδῶ αὐτόν, ἐὰν δὲν ἤθελε νὰ τὸν δικαιολογήσει.

153.- ΣΤΟΝ ΑΛΦΙΟ
Γιὰ τὴν κακία τοῦ Ζωσίμου, τοῦ Παλλαδίου καὶ τοῦ Μάρωνα.

Ἂν καί, ὅπως μοῦ ἔγραψες, ὁ Ζώσιμος εἶναι καὶ ὁ ἐπικεφαλῆς τοῦ ληστρικοῦ πλήθους, καὶ ἀρχηγὸς αὐτῶν ποὺ κατασπαταλοῦν αὐτὰ ποὺ ἀνήκουν στὸ δημόσιο, καὶ συνήγορος αὐτῶν ποὺ ζοῦν ράθυμα, καὶ κατήγορος αὐτῶν ποὺ συμπεριφέρονται σωστά, ἐγὼ ὅμως δὲν κατηγορῶ μόνο αὐτόν, ἀλλὰ καὶ τὸν Παλλάδιο καὶ τὸν Μάρωνα, οἱ ὁποῖοι, ὅπως λένε, τὸν ὑπερασπίζονται, καὶ τὴ δύναμή τους τὴν ὁπλίζουν ἐναντίον τῆς πραότητας τῶν ἐπιεικῶν. Γιατὶ ἐκεῖνοι εἶναι ποὺ ἐνισχύουν τὴν κακία αὐτοῦ, καὶ δὲν τὴν ἀφήνουν νὰ σβηστεῖ, ἀλλὰ δίνουν καὶ παίρνουν αὐτὴν τὴν καταραμένη συναλλαγή. Γιατί, μὲ τὸ νὰ ἐπιδοκιμάζουν τοὺς διεφθαρμένους, νομίζουν ὅτι ἐπιδοκιμάζονται, καὶ μὲ τὸ νὰ πολεμοῦν τοὺς φίλους τῆς ἀρετῆς, περιμένουν νὰ ἐπικρατήσουν. Ἀλλ' ὅμως ὁ Θεὸς ποὺ μισεῖ τὸ κακὸ καὶ ἀγαπᾶ τὸ καλὸ δὲν θὰ τὰ ἐπιτρέψει αὐτά.

154.- ΣΤΟΝ ΣΟΦΙΣΤΗ ΑΡΠΟΚΡΑ.
Ἐνατίον ἐκείνων ποὺ λένε, ὅτι ὑπάρχει γέννηση, δηλαδὴ μοῖρα, ἤτοι ἡ λεγόμενη τύχη.

Ἔκανες καλὰ πού, ἂν καὶ τὰ ὑπολείμματα τῆς ἀρρώστιας, ποὺ ἀκόμα μὲ χτυποῦν μὲ τὴν σφενδόνα, μὲ ἀνάγκασες νὰ χρησιμοποιήσω τὴν ἀραχνιασμένη λύρα καὶ νὰ ψάλω ἕνα μέλος, ἂν καὶ δὲν εἶναι περιβόητο καὶ ξεκάθαρα ἀκουστό, ἀλλὰ ἄτονο καὶ ἥσυχο. Ἀκόνισε λοιπὸν τὰ αὐτιά σου καὶ ἐνθάρρυνε τὸν νοῦ σου νὰ δείξει εὐαισθησία. Γιατί, ἐπειδὴ ψάλλω μὲ ἠρεμία, δὲν εἶναι εὔκολο νὰ μὲ ἀκούσεις. Ἀπὸ ποῦ λοιπὸν ἄραγε, ἀπὸ ποῦ νὰ ἀρχίσω τὸ μέλος; Ἀπὸ ἐκεῖ, ἀπὸ ὅπου καὶ πρέπει. Λέγω λοιπόν, ὅτι ἡ ἐπινόηση τῆς μοίρας, ὅπως νομίζω, εἶναι τῶν ἀνθρώπων, οἱ ὁποῖοι οὔτε τώρα κάνουν κανένα καλό, οὔτε

μὴ ἀπόφασις εἶναι δόξῃ τὸ εἰρημένον, δι' ἀποδείξεων ἐναργῶν καὶ ἀναγκαστικῶν καὶ ἀδιάστων ὁ λόγος βαδιζέτω, βασανίζων τὰ πράγματα καὶ τ' ἀληθὲς εἰς τοὐμφανὲς ἄγων. Θέα γὰρ πόσοις ἀντίκεινται, καὶ ὅσα καλὰ ἐκ τῆς ἑαυτῶν ἐξοστρακίσαι φίλονεικοῦσι προαιρέσεως, καὶ φρίξον τὴν ἐμβροτησίαν. Θεὸν ἢ μὴ εἶναι ὁρίζονται, ἢ εἶναι μέν, μὴ πεποιηκέναι δὲ τὸν κόσμον· ἢ πεποιηκέναι μέν, μὴ προνοεῖν δέ· ἢ προνοεῖν μέν, τρέπεσθαι δὲ τοῖς κακίαν ἀσπαζομένοις· ἢ μὴ τρέπεσθαι μέν, παρακεχωρηκέναι δ' ἄλλοις τὸ κράτος· ἢ μὴ παρακεχωρηκέναι μέν, ἄκοντα δ' ἀφῃρῆσθαι· ἢ μὴ ἀφῃρῆσθαι μέν, μὴ βούλεσθαι δὲ ἐπεξιέναι· ἢ βούλεσθαι μέν, μὴ δύνασθαι δέ· ἢ δύνασθαι μέν, ῥᾳστώνην δὲ προτετιμηκέναι· ἢ ῥᾳστώνην μὲν μὴ προτετιμηκέναι, νικᾶσθαι δὲ ὑπὸ τῆς τῶν ἄστρων κινήσεως· ἢ μὴ νικᾶσθαι μέν, ἄπρακτον δὲ καὶ ἀνενέργητον ἐθέλειν εἶναι· καὶ ἄλλα πολλά, ἵνα μή, τὸ καθὲν λέγοντες, εἰς μῆκος ἐκτείνωμεν τὸ λογίδιον, ὧν ἕκαστον καὶ ἀλογίας καὶ ἀσεβείας πνεῖ τῆς ἐσχάτης. Καὶ διὰ τούτων μὲν τὴν γλῶτταν ὁπλίζουσι κατὰ τῆς θείας προνοίας καὶ εἰς οὐρανὸν τὰ βέλη πέμπουσι, διὰ δὲ τῶν αὐτῶν καὶ τὰ ἐπὶ γῆς ἐξορίζουσι καλά, φιλοσοφίαν, ἰατρικήν, πάσας τε τὰς ἐπιστήμας καὶ τὰς τέχνας καὶ τὰς μελέτας, τῆς ἀρετῆς τὰ γέρα, τῆς κακίας ταπίχειρα. Εἰ γὰρ γένεσις κρατεῖ, ἡ ὑπὸ τῶν οὐ δεόντως προσκυνουμένων παρ' αὐτῶν θεῶν (τὰ γὰρ ἄστρα οὐκ οἶδ' ὅπως θεοὺς ἡγοῦνται) ἀδίκως κατασκευαζομένη, οὔτε φιλοσοφητέον, οὔτε νομοθετητέον, οὔτε δικαστέον, οὔτε ἰατρευτέον, οὔτε ἐπιστήμην ἢ τέχνην μετελευστέον, οὔτε μελετητέον, οὔτε ἀρετῆς ἀνθεκτέον, οὔτε κακίας ἀφεκτέον.

Ταῦτ' οὖν πάντα, ὦ μακάριε, ὁ θρυλούμενος τῆς τύχης λόγος ἀνατρέψει, καὶ πάντα ἐκ βάθρων ἀνασπάσει τὰ καλά, καὶ τίς ἀνέξεται τῶν νοῦ καὶ φρονήσεως οὐκ ἀμοιρούντων; Τίς δὲ τούτων ἁπάντων ἑαυτὸν ὑπεξαγαγών, ἐπιτρέψει τὰ καθ' ἑαυτὸν τῇ λεγομένῃ τύχῃ, ἧς τὴν μοχθηρίαν δηλῶσαι ἐθελήσαντες,

στὴ συνέχεια περιμένουν νὰ κάνουν. Καὶ γιὰ νὰ μὴ θεωρηθεῖ αὐτὸ ποὺ εἶπα ὅτι εἶναι γνώμη δική μου, ἂς προχωρήσει ὁ λόγος μὲ ἀποδείξεις ὁλοκάθαρες καὶ ἀναγκαστικὲς καὶ ἀβίαστες, ἐρευνώντας τὰ πράγματα καὶ φέροντας στὸ φῶς αὐτὸ ποὺ εἶναι ἀληθινό. Πρόσεχε λοιπὸν σὲ πόσα ἀντιτίθενται, καὶ πόσα καλὰ ἀγωνίζονται νὰ ἀποβάλουν ἀπὸ τὴ δική τους θέληση, καὶ φρίξε γιὰ τὴ μωρία τους. Ὁρίζουν ἢ ὅτι δὲν ὑπάρχει Θεός, ἢ ὑπάρχει βέβαια, ἀλλὰ δὲν ἔχει κάνει τὸν κόσμο· ἢ τὸν ἔκανε βέβαια, ἀλλὰ δὲν φροντίζει γι᾽ αὐτόν· ἢ τὸν φροντίζει βέβαια, ἀλλὰ εὐχαριστεῖται μὲ αὐτοὺς ποὺ ἀσπάζονται τὴν κακία· ἢ δὲν εὐχαριστεῖται βέβαια, ἀλλὰ παραχώρησε σὲ ἄλλους τὴ δύναμη· ἢ δὲν τὴν παραχώρησε βέβαια, ἀλλὰ τοῦ ἀφαιρέθηκε χωρὶς τὴ θέλησή του· ἢ δὲν τοῦ ἀφαιρέθηκε βέβαια, ἀλλὰ δὲν θέλει νὰ κινηθεῖ ἐναντίον τους· ἢ θέλει βέβαια, ἀλλὰ δὲν μπορεῖ· ἢ μπορεῖ βέβαια, ἀλλὰ ἔχει προτιμήσει τὴ ραθυμία· ἢ δὲν προτίμησε τὴ ραθυμία, ἀλλὰ νικιέται στὴν κίνηση τῶν ἄστρων· ἢ δὲν νικιέται βέβαια, ἀλλὰ θέλει νὰ μένει ἄπρακτος καὶ χωρὶς ἐνέργεια. Καὶ ἄλλα πολλά, γιὰ νὰ μὴ τὰ ἀπαριθμήσω ὅλα καὶ ἐπεκτείνω τὸν σύντομο λόγο μὲ αὐτὰ ποὺ τὸ καθένα ἀποπνέει τὴ χειρότερη καὶ ἀλογία καὶ ἀσέβεια. Καὶ μὲ αὐτὰ βέβαια ἀκονίζουν τὴ γλώσσα τους ἐναντίον τῆς θείας πρόνοιας, καὶ στέλνουν τὰ βέλη τους στὸν οὐρανό, μὲ αὐτὰ τὰ ἴδια ὅμως ἀπομακρύνουν καὶ αὐτὰ ποὺ πάνω στὴ γῆ εἶναι καλά, τὴ φιλοσοφία, τὴν ἰατρική, καὶ ὅλες τὶς ἐπιστῆμες καὶ τὶς τέχνες καὶ τὶς μελέτες, τὰ βραβεῖα τῆς ἀρετῆς, καὶ τὴν τιμωρία τῆς κακίας. Γιατί, ἐὰν ἐξουσιάζει ἡ γένεση, ποὺ δημιουργεῖται ἄδικα ἀπὸ τοὺς θεοὺς ποὺ προσκυνοῦνται ἀπὸ αὐτοὺς ὄχι ὅπως πρέπει (γιατὶ δὲν ξέρω πῶς θεωροῦν τὰ ἄστρα θεούς), δὲν πρέπει οὔτε νὰ φιλοσοφοῦμε, οὔτε νὰ νομοθετοῦμε, οὔτε νὰ δικάζουμε, οὔτε νὰ θεραπεύουμε, οὔτε νὰ ἀσχολούμαστε μὲ τὴν ἐπιστήμη ἢ τὴν τέχνη, οὔτε νὰ μελετοῦμε, οὔτε τὴν ἀρετὴ νὰ ἐπιδιώκουμε, οὔτε τὴν κακία νὰ τὴν ἀποφεύγουμε.

Ὅλα αὐτὰ λοιπόν, μακάριε, ὁ λόγος τῆς τύχης ποὺ διαδίδεται παντοῦ θὰ τὰ ἀναντρέψει, καὶ θὰ ξερριζώσει ὅλα τὰ καλὰ ἀπὸ τὰ βάθρα τους, καὶ ποιὸς θὰ τὰ ἀνεχθεῖ ἀπὸ αὐτοὺς ποὺ δὲν στεροῦνται νοῦ καὶ φρόνηση; Καὶ ποιὸς ἀπομακρύνοντας τὸν ἑαυτό του ἀπὸ ὅλα, θὰ ἀναθέσει τὰ προβλήματά του στὴ λεγόμενη τύχη, τῆς ὁποίας τὴν

οἱ γράφοντές τε καὶ πλάττοντες, οὐ μόνον εἴδει γυναικὸς ἠρκέσθησαν (καίτοι καὶ τοῦθ' ἱκανὸν ἦν ἀλογιστίας καὶ ἀνοίας τεκμήριον), ἀλλὰ καὶ πηδάλιον ἔδοσαν ἐν χεροῖν ἔχειν αὐτήν, καὶ τοῖν ποδοῖν ὑπέθεσαν βάσιν σφαιρικήν, ἐστέρησαν δὲ καὶ τοῖν ὀφθαλμοῖν, διὰ τούτων ἁπάντων ἐνδεικνύμενοι τὸ ἀνόητον καὶ ἔμπληκτον καὶ τυφλὸν καὶ ἄστατον αὐτῆς; Τίς οὖν, τῆς κατὰ πάντα κυβερνώσης δεξιᾶς καταφρονήσας, ἐμπιστεύσει ἑαυτὸν τυφλῇ καὶ ἀστάτῳ καὶ μοχθηρᾷ φαντασίᾳ; Ἐπειδὴ δὲ λέγουσι, Πῶς οὖν τινες παραλόγως πλουτοῦσιν; εἰπάτωσαν καί, Πῶς τινες καὶ κατὰ λόγον; Εἰ δὲ φαῖεν, Πῶς τινες ἀδίκως κολάζονται; φρασάτωσαν, Πῶς τινες καὶ δικαίως; Ἡ γὰρ ἡ ἀδικία ἐν πᾶσι κρατείτω, καὶ πιστευέσθω ὁ ἄλογος αὐτῶν λόγος, ἢ τὰ κατὰ λόγον γινόμενα, καὶ ὑπὲρ τῶν παραλόγως γινομένων ἀπολογείσθω. Ἄμεινον γὰρ καὶ πολλῷ πρεπωδέστερον καὶ δικαιότερον εἰπεῖν, ὅτι οἱ κάκιστοι, εἰ καὶ τὰ ἐνταῦθα διέφυγον, ἐκεῖ πάντως δώσουσι δίκην, ἢ τὸ φρᾶσαι, ὅτι οἱ φιλάρετοι ἠδικήθησαν ἐνταῦθα κολασθέντες, καὶ οὐδεμία ἔσται μετὰ ταῦτα ἐπεξέλευσις. Ἐκεῖνο μὲν γὰρ καὶ ἀληθές ἐστι καὶ εὔλογον, καὶ πάσας τὰς ψυχὰς εἰς ἀρετὴν καὶ εὐσέβειαν διεγείρει, τοῦτο δὲ καὶ ἄλογον καὶ ἀσεβὲς καὶ πάντα τὸν ὀρθὸν ἀνατρέπει βίον.

Οἱ μὲν οὖν ταῦτα λέγοντες μήτε ἐναρμόνιον μήτε μουσικὴν καλείτωσαν τὴν τῶν ἄστρων κίνησιν, ἄμουσον, ὥς φασι, καὶ ἀνάρμοστον καὶ ἀνώμαλον βίον (καὶ τί γὰρ οὐχὶ τῶν ἀτόπων κατασκευάζουσαν), καὶ μήτε γεωργείτωσαν, μήτε δικαστηρίοις προσίτωσαν βοήθειαν αἰτοῦντες, μήτε ἰατρικῆς ἀπολαυέτωσαν, μήτε φιλοσοφίαν ἐπαινείτωσαν, μήτε κακίαν ψεγέτωσαν, μήτε μελέτῃ βελτιούσθωσαν, μήτ' ἄλλῃ ἀρετῇ κοσμεῖν ἑαυτοὺς φιλονεικείτωσαν, ἀλλ' ἐμπιστευέτωσαν ἑαυτοὺς τῇ θρυλουμένῃ παρ' αὐτῶν τύχῃ, ἵνα διὰ τῶν πραγμάτων γνοῖεν αὐτῆς τὴν ἀσθένειαν, ὅτι οὐ μόνον πλοῦτον οὐκ ὀρέξει, ἀλλὰ καὶ ὡς ἀλάστορας καὶ τῆς κοινῆς φύσεως ἐχθροὺς ἐξοστρακισθῆναι παρὰ πάντων παρασκευάζει. Εἰ δὲ ταῦτα πάντα ποιοῦντες (αἰσχύνονται γὰρ

κακία θέλοντας νὰ τὴν φανερώσουν, αὐτοὶ ποὺ ζωγραφίζουν καὶ πλάθουν, δὲν ἀρκέστηκαν μόνο στὴ μορφὴ τῆς γυναίκας (ἂν καὶ μόνο αὐτὴ ἦταν ἀρκετὴ ἀπόδειξη τῆς ἀπερισκεψίας καὶ μωρίας τους), ἀλλ᾽ ἔδωσαν νὰ κρατᾶ αὐτὴ καὶ πηδάλιο στὰ χέρια της, καὶ στὰ πόδια της τοποθέτησαν βάση σφαιρική, τῆς ἔβγαλαν μάλιστα καὶ τὰ μάτια, δείχνοντας μὲ ὅλα αὐτὰ τὴν ἀνοησία, τὴν ἠλιθιότητα, τὴν τύφλωση καὶ τὴν ἀστάθειά της. Ποιὸς λοιπόν, περιφρονώντας τὴ δύναμη τοῦ Θεοῦ ποὺ κυβερνᾶ τὰ πάντα, θὰ ἐμπιστευθεῖ τὸν ἑαυτό του στὴν τυφλὴ καὶ ἄστατη καὶ μοχθηρὴ φαντασία; Ἐπειδὴ ὅμως λένε, Πῶς ὅμως μερικοὶ πλουτίζουν παράλογα; ἂς μᾶς ποῦν καί· Πῶς μερικοὶ πλουτίζουν λογικά; Καὶ ἐὰν ποῦν, Πῶς μερικοὶ τιμωροῦνται ἄδικα; ἂς μᾶς ποῦν· Πῶς μερικοὶ τιμωροῦνται καὶ δίκαια; Γιατί, ἢ ἡ ἀδικία ἂς ἐπικρατεῖ σὲ ὅλα, καὶ ἂς πιστεύεται ὁ παράλογος λόγος τους, ἤ, αὐτὰ ποὺ γίνονται λογικά, ἂς ἀπολογοῦνται καὶ γι᾽ αὐτὰ ποὺ γίνονται παράλογα. Γιατὶ εἶναι προτιμώτερο καὶ πολὺ πιὸ ταιριαστὸ καὶ δικαιότερο νὰ ποῦμε, ὅτι οἱ πολὺ κακοί, ἂν καὶ ἐδῶ διέφυγαν, ἐκεῖ ὁπωσδήποτε θὰ τιμωρηθοῦν, παρὰ νὰ ποῦμε ὅτι οἱ ἐνάρετοι ἐδῶ ἀδικήθηκαν ἔχοντας τιμωρηθεῖ, καὶ καμμιὰ ἀκριβὴς καὶ δίκαια ἐξέταση τῶν πραχθέντων δὲν θὰ γίνει στὴ συνέχεια. Γιατὶ ἐκεῖνο καὶ ἀληθινὸ εἶναι καὶ δικαιολογημένο, καὶ παρακινεῖ ὅλες τὶς ψυχὲς στὴν ἀρετὴ καὶ στὴν εὐσέβεια, ἐνῶ αὐτὸ καὶ παράλογο εἶναι καὶ ἀσεβὲς καὶ ἀνατρέπει ὁλόκληρο τὸν σωστὸ βίο.

Αὐτοὶ λοιπὸν ποὺ τὰ λένε αὐτά, ἂς μὴ ὀνομάζουν τὴν κίνηση τῶν ἄστρων οὔτε ἁρμονική, οὔτε μουσική, ἀφοῦ, ὅπως λένε, κάνει τὴ ζωὴ παράφωνη καὶ ἀνάρμοστη καὶ ἀνώμαλη (καὶ τί ἄλλο ἀπὸ τὰ ἄτοπα δὲν κάνει), καὶ οὔτε νὰ καλλιεργοῦν τὴ γῆ, οὔτε στὰ δικαστήρια νὰ πηγαίνουν ζητώντας βοήθεια, οὔτε νὰ δέχονται ἰατρικὴ βοήθεια, οὔτε νὰ ἐπαινοῦν τὴν φιλοσοφία, οὔτε νὰ κατηγοροῦν τὴν κακία, οὔτε μὲ τὴ μελέτη νὰ βελτιώνονται, οὔτε νὰ ἐπιδιώκου νὰ βελτιώσουν τὸν ἑαυτό τους μὲ ἄλλη ἀρετή, ἀλλὰ ἂς ἐμπιστεύονται τὸν ἑαυτό τους στὴ θρυλούμενη ἀπὸ αὐτοὺς τύχη, γιὰ νὰ μάθουν ἀπὸ τὰ πράγματα τὴν ἀδυναμία της, ὅτι δηλαδὴ ὄχι μόνο πλοῦτο δὲν θὰ τοὺς δώσει, ἀλλὰ καὶ σὰν μισμένους καὶ ἐχθροὺς τῆς κοινῆς φύσεως τοὺς κάνει νὰ ἀπομακρυνθοῦν ἀπὸ ὅλους. Καὶ ἄν, κάνοντας ὅλα αὐτὰ (γιατὶ

τοῖς πρόδηλον ἔχουσι τὴν ὠφέλειαν ἀντιστρατεῦσαι τὴν γλῶτταν), ἐν ταῖς ἀποτυχίαις τῶν πραγμάτων δυσχαιρένουσι, μανθανέτωσαν, ὅτι πολλάκις πρὸς κακοῦ γέγονε τὸ ἐν πολλοῖς ἐπιτυχεῖν. Πλοῦτος μὲν γὰρ πολλοὺς ἔβλαψε, καὶ ξίφος κατ αὐτῶν ἀκονήσας, εἰς τὰς τῶν ἐχθρῶν μετεπήδησε χεῖρας, ἀρχὴ δὲ καὶ βασιλεία, ἡ πᾶσι περιμάχητος, οὐ μόνον τὸ εὖ ζῆν, ἀλλὰ καὶ αὐτὸ τὸ ζῆν πολλάκις προσαφείλετο.

Μὴ τοίνυν τοῦτο μόνον σκοπείτωσαν, εἰ ἀποτυχία πρόσεστι τοῖς πράγμασι, ἀλλ' εἰ μὴ πολλάκις πενία πλούτου χρησιμωτέρα τοῖς ἔχουσι γέγονε, τῆς Προνοίας καταβοάτωσαν, μηδὲ ἑαυτοῖς παρεχέτωσαν τῆς κρίσεως τὴν ἐξουσίαν, ἀλλὰ τοῖς σοφοῖς τοῖς παρ' αὐτοῖς ᾄδομένοις. Δι' ἣν γὰρ αἰτίαν, Σωκράτης μὲν κωνείῳ κατακριθείς, οὐκ ἐνόμισεν ἀδικεῖσθαι, Πλάτων δὲ ἀπεμποληθεὶς οὐχ ἡγεῖτο ἐκπεπτωκέναι τῆς ἐλευθερίας, Διογένης δὲ ἐν ῥακίοις ζῶν, τοῦ Περσῶν βασιλέως ἡγεῖτο ἑαυτὸν πλουσιώτερον, Ἀντισθένης δὲ ῥυπῶν καὶ αὐχμῶν ἔχαιρε καὶ κατὰ τῶν τρυφόντων ὥπλιζε τὴν γλῶτταν, Φωκίων δὲ ἀπαγόμενος μετὰ φίλων τινῶν, καί τινος ἐξ αὐτῶν δακρύσαντος καὶ ὀλοφυρμῶν τὴν ὁδὸν ἐμπλήσαντος, ἔλεγεν, Οὐκ ἀγαπᾷς μετὰ Φωκίωνος ἀποθανούμενος; Εἰ τοίνυν τοὺς σοφοὺς οὔτε θάνατος οὔτε δουλεία οὔτε πενία ἐθορύβησεν, ἀλλὰ καὶ ἐνεκαλλωπίζοντο τούτοις (ἦδεσαν γὰρ στάδιον μὲν εἶναι τὸν τῇδε βίον, τὸν δὲ μέλλοντα τῶν ἐπάθλων τίκτοντα τὸ γέρας), δι' ἣν αἰτίαν οὗτοι, τρυφῇ καὶ πλούτῳ καὶ ἀρχῇ τὴν μακαριότητα ὁριζόμενοι, ἀπὸ τῶν τἀναντία ὑπομενόντων ὁπλίζουσι κατὰ τῆς Προνοίας τὴν γλῶτταν, τῆς τὸ συμφέρον ἐπισταμένης καὶ ἑκάστῳ ἢ συγχωρούσης ἢ ἀπονεμούσης, ἵνα καὶ ὁ πλούσιος δοκίμια τῆς οἰκείας προαιρέσεως δοίη, καὶ ὁ πένης, ὥσπερ ἐν πυρὶ χρυσός, τῇ πενίᾳ βασανιζόμενος στεφθείη; Εἰ δὲ λέγοιεν, Ἐχρῆν καὶ διὰ πλούτου καὶ διὰ πενίας πάντας δοκιμασθῆναι, φήσομεν, ὅτι μάλιστα μὲν

ντρέπονται νὰ ἐπιστρατεύσουν τὴ γλώσσα τους ἐναντίον ἐκείνων ἀπὸ τοὺς ὁποίους ἔχουν ὁλοφάνερη τὴν ὠφέλεια), δυσανασχετοῦν μὲ τὶς ἀποτυχίες τῶν πραγμάτων, ἂς μάθουν, ὅτι πολλοὶ πολλὲς φορὲς τὸ ὅτι πέτυχαν σὲ πολλὰ τοὺς βγῆκε σὲ κακό. Γιατὶ ὁ πλοῦτος πολλοὺς ἔβλαψε, καὶ ἀφοῦ ἀκόνισε ξίφος ἐναντίον τους, μεταπήδησε στὰ χέρια τῶν ἐχθρῶν. Ἐπίσης ἡ ἐξουσία καὶ ἡ βασιλεία, ποὺ εἶναι περιζήτητη ἀπὸ ὅλους, δὲν τοὺς ἀφαίρεσε μόνο τὴν καλοπέραση, ἀλλὰ πολλὲς φορὲς ἀκόμα καὶ τὴν ἴδια τὴ ζωή.

Ἂς μὴ προσέχουν μόνο αὐτό, ἐὰν δηλαδὴ ὑπάρχει ἀποτυχία στὰ πράγματα, ἀλλά, ἐὰν ἡ φτώχεια δὲν ἔγινε πολλὲς φορὲς χρησιμώτερη σ᾽ αὐτοὺς ποὺ ἔχουν, ἂς βάζουν τὶς φωνὲς στὴν Πρόνοια, οὔτε νὰ δίνουν στὸν ἑαυτό τους τὴν ἐξουσία τῆς κρίσεως, ἀλλὰ στοὺς σοφοὺς ποὺ ὑμνοῦνται ἀπὸ αὐτούς. Γιὰ ποιὸν λόγο δηλαδὴ ὁ Σωκράτης, ποὺ καταδικάσθηκε σὲ θάνατο μὲ κώνειο, δὲν θεώρησε ὅτι ἀδικήθηκε, καὶ ὁ Πλάτωνας, ποὺ πουλήθηκε, δὲν θεωροῦσε ὅτι ἐξέπεσε ἀπὸ τὴν ἐλευθερία, καὶ ὁ Διογένης, ποὺ ζοῦσε μὲ ράκη, θεωροῦσε τὸν ἑαυτό του πλουσιώτερο ἀπὸ τὸν βασιλιὰ τῶν Περσῶν, καὶ ὁ Ἀντισθένης, ποὺ ἦταν βρώμικος καὶ ρυπαρός, αἰσθανόταν χαρὰ καὶ ἀκόνιζε τὴ γλώσσα του ἐναντίον αὐτῶν ποὺ κάνουν ζωὴ ἄσωτη, καὶ ὁ Φωκίων, ποὺ ὁδηγοῦνταν μαζὶ μὲ μερικοὺς φίλους γιὰ ἐκτέλεση, ὅταν κάποιος ἀπὸ ἐκείνους δάκρυσε καὶ γέμισε τὸν δρόμο μὲ θρήνους, τοῦ εἶπε· Δὲν χαίρεσαι ποὺ θὰ πεθάνεις μαζὶ μὲ τὸν Φωκίωνα; Ἐφόσον λοιπὸν τοὺς σοφοὺς οὔτε ὁ θάνατος, οὔτε ἡ δουλεία, οὔτε ἡ φτώχεια τοὺς ἔκανε νὰ νοιώσουν ταραχή, ἀλλὰ καὶ καυχόνταν γι᾽ αὐτά (γιατὶ γνώριζαν ὅτι αὐτὴ ἐδῶ ἡ ζωὴ εἶναι στάδιο, ποὺ πρόκειται νὰ τοὺς χαρίσει τὸ βραβεῖο τῶν ἄθλων της), γιὰ ποιὸ λόγο αὐτοί, προσδιορίζοντας τὴν μακαριότητα στὴν ἀπόλαυση, τὸν πλοῦτο καὶ τὴν ἐξουσία, ἀπὸ ἐκείνους ποὺ ὑπομένουν τὰ ἀντίθετα ἀκονίζουν τὴ γλώσσα τους ἐναντίον τῆς Προνοίας, ἡ ὁποία γνωρίζει καλὰ τὸ συμφέρον, καὶ στὸν καθένα ἢ τὸ ἐπιτρέπει ἢ τὸ ἀπονέμει, ὥστε καὶ ὁ πλούσιος νὰ δώσει δείγματα τῆς προαίρεσής του, καὶ ὁ φτωχός, ὅπως τὸ χρυσάφι στὴ φωτιά, δοκιμαζόμενος μὲ τὴ φτώχεια νὰ στεφανωθεῖ; Ἐὰν ὅμως λένε· Ἔπρεπε καὶ μὲ τὸν πλοῦτο καὶ μὲ τὴ φτώχεια νὰ δοκιμαστοῦν ὅλοι, θὰ ἀπαντήσουμε, ὅτι πραγματικὰ πολλοὶ δικιμάστηκαν καὶ μὲ τὸν τρόπο

πολλοὶ καὶ οὕτως ἐδοκιμάσθησαν, καὶ ἐν μὲν πλούτῳ ὑπερήφανοι, ἐν δὲ πενίᾳ ἄνανδροι ὤφθησαν. Εἰ δὲ μὴ πάντες, μάλιστα μὲν διὰ τούτων καὶ περὶ τῶν λοιπῶν ἀπολογήσασθαι οἷόν τε. Πλὴν οὐδὲν τοιοῦτον φήσαιμι, ἀλλ' ἐκεῖνο μᾶλλον εἴποιμι, ὅτι οὐδὲν παραβλάπτονται οἱ τῇδε βασανιζόμενοι φιλάρετοι, ἐκεῖσε τῶν στεφάνων αὐτοῖς ἀποκειμένων, ἀλλὰ μᾶλλον τότε ἐλαττοῦται αὐτῶν ὁ στέφανος, ὅτε ἐνταῦθα ἀμοιβῆς τινος καὶ εὐημερίας τύχοιεν.

Μὴ τοίνυν πάντα ἐνταῦθα ζητείτωσαν, ἀλλ' ἐννοείτωσαν, ὅτι κρίσις ἀδέκαστος ἔσται, ἣν καὶ λογογράφοι καὶ ποιηταὶ καὶ ῥήτορες καὶ συγγραφεῖς ἀνυμνοῦσιν. Εἰ γὰρ τῆς ἀκριβείας οὐκ ἐφίκοντο, ἀλλά γε ὅτι πάντως ἔσται ἐδογμάτισαν.

ΡΝΕ'.– ΗΣΑΪΑ ΣΤΡΑΤΙΩΤΗ

Ὅτι ἡ τρυφὴ εἰς τὸν πυθμένα τῶν κακῶν κατάγει.

Μὴ δίδασκε τρυφᾶν τὸν μετρίᾳ τροφῇ χρῆσθαι πεπαιδευμένον, ἵνα μὴ λάγνον καὶ ἀκόλαστον, ἀντὶ σώφρονος, δημιουργήσας, εἰς τὸν πυθμένα τῶν κακῶν καταγάγοις, ἔνθα διατρίβων σαυτὸν ἴσως λανθάνεις.

ΡΝϚ'.– ΑΡΧΟΝΤΙΩ ΠΡΕΣΒΥΤΕΡΩ

Ὅτι οὐκ ἔχει πρόγνωσιν ὁ διάβολος, ἀλλ' ἐκ τῶν ἐν ἡμῖν κινημάτων στοχάζεσθαι τὰ καθέκαστον.

Οὐ τὰ κατὰ διάνοιαν οἶδεν, ὦ πρᾳότατε, ὁ διάβολος (τῆς γὰρ θείας μόνης ἐστὶ τοῦτο ἐξαίρετον δυνάμεως, τῆς καὶ πλασάσης κατὰ μόνας τὰς καρδίας ἡμῶν), ἀλλ' ἀπὸ τῶν τοῦ σώματος κινημάτων τὰ τῆς ψυχῆς θηρεύει βουλεύματα. Οἷον, εἶδέ τινα περιέργως ὁρῶντα καὶ ἑστιῶντα τοὺς ὀφθαλμοὺς τοῖς ἀλλοτρίοις κάλλεσι· Λαβὼν ἐκείνου τὴν ὁρμήν, εὐθὺς εἰς μοιχείαν ἢ εἰς πορνείαν τοῦτον ἐρεθίζει. Εἶδεν ὀργίλον καὶ θυμώδη; Εὐθὺς τὸ ξίφος ἀκονᾷ καὶ εἰς φόνον παροξύνει. Εἶδεν αἰσχροκερδῆ; Εἰς λῃστείας προτρέπει καὶ ἀδικίας. Εἶδε γαστρὸς ἥττονα; Εὐθὺς καὶ μετὰ γαστέρα αὐτῷ πάθη ὑπογράφει καὶ ὕλας παρέχει, πρὸς τὸ εἰς ἔργον χωρῆσαι τὸν οἰκεῖον σκοπόν.

αὐτόν, καὶ ἀποδείχθηκαν στὸν πλοῦτο ὑπερήφανοι, στὴ φτώχεια ὅμως ἄνανδροι. Καὶ ἂν ὄχι ὅλοι, ὁπωσδήποτε ὅμως θὰ ἦταν δυνατὸν μὲ αὐτοὺς καὶ γιὰ τοὺς ἄλλους νὰ ἀπολογηθῶ. Πλὴν ὅμως δὲν θὰ πῶ τίποτε τέτοιο, ἀλλὰ ἐκεῖνο μᾶλλον θὰ πῶ, ὅτι δὲν βλάπτονται καθόλου οἱ φίλοι τῆς ἀρετῆς ποὺ βασανίζονται σ' αὐτὴ τὴ ζωή, ἀφοῦ ἐκεῖ τοὺς περιμένουν στεφάνια, ἀλλὰ μᾶλλον τότε ἐλαττώνεται τὸ στεφάνι τους, ὅταν συμβεῖ νὰ ἐπιτύχουν ἐδῶ κάποια ἀμοιβὴ καὶ εὐημερία.

Ἂς μὴ τὰ ζητοῦν λοιπὸν ὅλα αὐτὰ ἐδῶ, ἀλλὰ ἂς σκεφθοῦν, ὅτι θὰ γίνει δίκη ἀδέκαστη, τὴν ὁποία καὶ οἱ λογογράφοι καὶ οἱ ποιητὲς καὶ οἱ ρήτορες καὶ οἱ συγγραφεῖς τὴν ἐξυμνοῦν. Ἂν βέβαια δὲν ἔφτασαν στὴν ἀκριβῆ γνώση γι' αὐτήν, ὅμως δίδαξαν ὅτι ὁπωσδήποτε θὰ γίνει.

155.– ΣΤΟΝ ΣΤΡΑΤΙΩΤΗ ΗΣΑΪΑ

Ὅτι ἡ τρυφὴ κατεβάζει στὸν πυθμένα τῶν κακῶν.

Νὰ μὴ διδάσκεις νὰ ζεῖ ἀκόλαστα αὐτὸς ποὺ εἶναι ἀσκημένος νὰ χρησιμοποιεῖ μέτρια τροφή, γιὰ νὰ μὴ τὸν κάνεις, ἀντὶ γιὰ σώφρονα, φιλήδονο καὶ ἀκόλαστο, καὶ τὸν κατεβάσεις στὸν πυθμένα τῶν κακῶν, ὅπου ἴσως δὲν ἀντιλαμβάνεσαι ὅτι ζεῖς ἐσύ.

156.– ΣΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟ ΑΡΧΟΝΤΙΟ.

Ὅτι ὁ διάβολος δὲν ἔχει πρόγνωση, ἀλλὰ ἀπὸ τὶς κινήσεις ποὺ γίνονται μέσα μας εἰκάζει τὶς λεπτομέρειες.

Ὁ διάβολος δὲν γνωρίζει αὐτὰ ποὺ ἔχουμε στὸ νοῦ μας, εὐγενέστατε, γιατὶ αὐτὸ εἶναι ἐξαίρετο προνόμιο μόνο τῆς δύναμης τοῦ Θεοῦ, ἡ ὁποία καὶ ἔπλασε κατὰ τρόπο ξεχωριστὸ τὶς καρδιές μας, ἀλλὰ ἀπὸ τὶς κινήσεις τοῦ σώματός μας ψαρεύει ὁ διάβολος τὶς ἐπιθυμίες τῆς ψυχῆς. Γιὰ παράδειγμα· Εἶδε κάποιον νὰ βλέπει περίεργα καὶ νὰ ἑστιάζει τὰ μάτια του στὰ ξένα κάλλη; Παίρνοντας τὴν ὁρμὴ ἐκείνου, τὸν ἐρεθίζει ἀμέσως νὰ προχωρήσει σὲ μοιχεία ἢ πορνεία. Εἶδε κάποιον ὀργίλο καὶ εὐέξαπτον; Ἀμέσως ἀκονίζει τὸ ξίφος του καὶ τὸν παρακινεῖ σὲ φόνο. Εἶδε αἰσχροκερδῆ; Τὸν προτρέπει σὲ ληστεῖες καὶ ἀδικίες. Εἶδε κατώτερον τῆς κοιλιᾶς; Ἀμέσως τοῦ παρουσιάζει ὅλα τὰ πάθη τῆς κοιλιᾶς, καὶ τοῦ προσφέρει καὶ τὰ ὑλικὰ γιὰ τὸν σκοπό του. Γιατὶ ὅμως δὲν τοῦς ὠθεῖ ὅλους στὰ ἴδια

Διὰ τί γὰρ μὴ πάντας εἰς τὰ αὐτὰ πάθη ὠθεῖ; Ἐπειδὴ ὁ μὲν τοῦτο, ὁ δὲ ἐκεῖνο μᾶλλον προῄρηνται, καὶ τῷ μὲν τοῦτο, τῷ δὲ ἐκεῖνο ἀρέσκει. Ἀπὸ τῶν κινημάτων οὖν τοῦ σώματος, καὶ τὰ τῶν ψυχῶν σαθρὰ τεκμαίρεται, καὶ οὕτω πλέκει τοὺς δόλους.

ΡΝΖ΄.– ΚΑΣΙΩ ΠΟΛΙΤΕΥΟΜΕΝΩ
Περὶ μετανοίας.

Ἄμεινον μὲν ἔχειν τὸ τῆς ψυχῆς κάλλος ἀκέραιον καὶ ἀπαθές, εἰ δὲ τοῦτο φυλαχθῆναι δύσκολον, κἂν ἐν μικροῖς τισι καὶ εὐιάτοις, καὶ μὴ ἐν καιρίοις δέχεσθαι τὴν βλάβην. Μὴ γὰρ δή, ἐπειδὴ ἀκούεις μετάνοιαν δεδόσθαι, ἀδεῶς ἐπὶ τὸ ἁμαρτάνειν χώρει, ὡς πάντως ἰαθησόμενος, ἀλλ' ἴσθι, ὅτι πρῶτον μὲν πολλοὶ οὐδὲ μετανοίας ἔσχον καιρόν, ἐν αὐτοῖς τοῖς πλημμελήμασι δίκην ἀπαιτηθέντες, ἔπειτα δέ, ὅτι ἡ μετάνοια πολλῷ τῷ χρόνῳ θεραπεύειν εἴωθε τὰ πάθη. Καὶ γὰρ πόνων χρεία καὶ νηστείας καὶ ἀγρυπνίας καὶ ἐλεημοσύνης καὶ εὐχῶν καὶ πάντων τῶν τοιούτων, ἵνα θεραπευθῇ τὰ προλαβόντα τραύματα. Τρίτον ἐννοεῖν χρή, ὅτι, κἂν θεραπευθῇ, ἡ οὐλὴ ἐλέγχει τὸ πάθος. Οὐ γὰρ ταυτὸν σῶμα ἀκέραιον καὶ τεθεραπευμένον, οὐδὲ ταυτὸν ἱμάτιον ἀρραγὲς καὶ διερρηγμένον, κἂν δοκῇ τέχνῃ τινὶ εἰς τὸ μὴ ῥᾳδίως ἐλέγχεσθαι ἦχθαι. Εἰ δὲ καὶ εἰς τὸ ἀρχαῖον ἀποκατασταίη κάλλος, οὐχ ἁπλῶς, ὡς ἔφην, ἀποκαθίσταται, ἀλλὰ μετὰ μυρίων πόνων καὶ θρήνων καὶ τιμωριῶν, ὧν ἑαυτῇ ἐπιφέρει ἡ ἁμαρτήσασα ψυχή.

ΡΝΗ΄.– ΤΩ ΑΥΤΩ

Ὅτι ἡ πίστις χωρὶς τῶν ἔργων οὐ σώζει τὸν ἄνθρωπον.

Τὴν πίστιν, ὦ θαυμάσιε, τὰ ἔργα μᾶλλον, ἢ οἱ λόγοι κηρύττειν ὀφείλουσι. Καὶ ὅτι τοῦτ' ἐστὶν ἀληθές, οἱ μὲν ἔξωθέν φασι, Τὰ ἔργα δείξει τῶν λόγων σαφέστερον, ὁ δ' ἀπόστολος δραστικώτερον· «Θεὸν ὁμολογοῦσι εἰδέναι, τοῖς δ' ἔργοις ἀρνοῦν-

πάθη; Ἐπειδὴ φυσικὰ ὁ ἕνας προτιμᾶ περισσότερο αὐτό, καὶ ὁ ἄλλος ἐκεῖνο, καὶ στὸν ἕνα ἀρέσει αὐτό, ἐνῶ στὸν ἄλλο ἐκεῖνο. Ἀπὸ τὶς κινήσεις λοιπὸν τοῦ σώματος, συμπεραίνει καὶ τὰ πάθη τῶν ψυχῶν, καὶ ἔτσι πλέκει τὶς ἀπάτες.

157.- ΣΤΟΝ ΠΟΛΙΤΕΥΟΜΕΝΟ ΚΑΣΙΟ
Γιὰ τὴ μετάνοια.

Εἶναι προτιμότερο βέβαια νὰ ἔχουμε τὴν ὁμορφιὰ τῆς ψυχῆς ἀκέραια καὶ χωρὶς πάθη, ἐὰν ὅμως αὐτὸ εἶναι δύσκολο νὰ διατηρηθεῖ, τοὐλάχιστον τὴ βλάβη νὰ τὴν δεχόμαστε σὲ μερικὰ μικρὰ καὶ εὐκολοθεράπευτα. Μὴ δηλαδή, ἐπειδὴ ἀκοῦς ὅτι δόθηκε μετάνοια, προχωρεῖς ἄφοβα στὴν ἁμαρτία, ἀφοῦ ὁπωσδήποτε θὰ θεραπευθεῖς, ἀλλὰ γνώριζε, ὅτι πρῶτον, πολλοὶ δὲν εἶχαν κἂν εὐκαιρία γιὰ μετάνοια, ἐπειδὴ τιμωρήθηκαν κατὰ τὴ στιγμὴ ποὺ διέπραξαν τὰ ἁμαρτήματά τους, καὶ ἔπειτα ἡ μετάνοια συνηθίζει νὰ θεραπεύει τὰ πάθη ὕστερα ἀπὸ πολὺ χρόνο. Γιατὶ καὶ κόποι χρειάζονται καὶ νηστεῖες καὶ ἀγρυπνίες καὶ ἐλεημοσύνη καὶ προσευχές, καὶ ὅλα τὰ παρόμοια, γιὰ νὰ θεραπευθοῦν τὰ τραύματα ποὺ ἔγιναν. Τρίτον, πρέπει νὰ σκεπτόμαστε ὅτι, καὶ ὅταν θεραπευθοῦν, τὰ σημάδια φανερώνουν τὸ πάθος. Γιατὶ δὲν εἶναι τὸ ἴδιο σῶμα ἀκέραιο καὶ θεραπευμένο, οὔτε εἶναι τὸ ἴδιο ἔνδυμα ἄσχιστο καὶ σχισμένο, ἔστω καὶ ἂν μὲ κάποια τέχνη δίνει τὴν ἐντύπωση ὅτι δὲν φαίνεται εὔκολα. Ἀλλὰ ἀκόμα καὶ ἂν ἐπανέλθει στὴν ἀρχικὴ ὁμορφιά του, δὲν ἀποκαθίσταται, ὅπως εἶπα, εὔκολα, ἀλλὰ μετὰ ἀπὸ μύριους κόπους καὶ θρήνους καὶ τιμωρίες, τὶς ὁποῖες ἐπιβάλλει ἡ ψυχὴ ποὺ ἁμάρτησε στὸν ἑαυτό της.

158.- ΣΤΟΝ ΙΔΙΟ.
Ὅτι ἡ πίστη χωρὶς τὰ ἔργα δὲν σώζει τὸν ἄνθρωπο.

Τὴν πίστη, θαυμάσιε, πρέπει νὰ τὴν κηρύττουν τὰ ἔργα μᾶλλον, παρὰ τὰ λόγια. Καὶ ὅτι αὐτὸ εἶναι ἀληθινό, οἱ ἐκτὸς τοῦ Χριστιανισμοῦ λένε· "Τὰ ἔργα θὰ τὸ δείξουν πιὸ καθαρὰ ἀπὸ τὰ λόγια", ἐνῶ ὁ Ἀπόστολος πιὸ δραστικά· «Ὁμολογοῦν ὅτι γνωρίζουν τὸν Θεό, ἀλλὰ μὲ τὰ ἔργα τους τὸν ἀρνοῦνται»[23]. Καὶ ὁ νόμος τοῦ Θεοῦ

23. Τίτ. 1, 16.

ται». Θεῖος δὲ χρησμὸς βοᾷ· «Ὁ λαὸς οὗτος τοῖς χείλεσί με τιμᾷ, ἡ δὲ καρδία αὐτῶν πόρρω ἀπέχει ἀπ' ἐμοῦ· μάτην δὲ σέβονταί με». Ἐκ γὰρ τῶν ἔργων, ἀλλ' οὐ τῶν λόγων τὰ λανθάνοντα ἐλέγχεσθαι ὀφείλει.

ΡΝΘ΄.– ΑΕΤΙΩ

«Καὶ ἔστη Φινεὲς καὶ ἐξιλάσατο, καὶ ἐκόπασεν ἡ θραῦσις».

Ὁπηνίκα οἱ Μαδιηναῖοι ὑπαντιάσαι τοῖς Ἑβραίοις ὑπὸ θείας συμμαχίας στρατηγουμένοις διέγνωσαν, τότε δὴ ὑπὸ δεινοῦ ἀνδρὸς συμβουλευθέντες, ὅπλοις τε καὶ μηχανήμασιν, ἀλκῇ τε καὶ ῥώμῃ χαίρειν φράσαντες (ἐπυνθάνοντο γὰρ μηδ' Αἰγυπτίοις ταῦτα συντετελεκέναι), κόρας εὐμόρφους οὐχ ὁπλίσαντες, ἀλλὰ καλλωπίσαντες, ἐξέπεμψαν ἐπὶ τὸν πόλεμον. Ἦδεσαν γὰρ ἄλλως τὴν ἄνωθεν ῥοπὴν αὐτῶν οὐκ ἀποστησομένην, εἰ μὴ εἰς πορνείαν, εἶτ' ἐκεῖθεν εἰς εἰδωλολατρίαν ὀλισθήσοιεν. Πέφυκε γὰρ τὰ μέγιστα τῶν πλημμεληµάτων ἐκ βραχυτέρων τίκτεσθαι. Αἱ δ' ἐξελθοῦσαι ἐπὶ τὴν μάχην, ἠκροβολίζοντο πρὸς αὐτούς, ξίφος μὲν μὴ ἐπαγόμεναι μήτε βέλος, τὴν δὲ μορφὴν καὶ τὸν κόσμον ἀντὶ παντὸς πολεμικοῦ μηχανήματος προβαλλόμεναι, καὶ τοσοῦτον αὐτῶν περιῆσαν, ὡς, ῥίψαντας τὰ ὅπλα, παραχωρῆσαι ἐκείναις τὸ τρόπαιον. Ὡς δὲ εἶδεν ὁ τοῦ ἀρχιερέως υἱὸς μὴ μόνον τοὺς ἀγελαίους, ἀλλὰ καὶ τοὺς ἐν τέλει ῥιψάσπιδας γεγενημένους καὶ εἰς πορνείαν ὁρμήσαντας, καὶ τὴν θείαν ῥοπὴν διὰ τοῦτο ἀποπτῆναι μέλλουσαν, περιπαθήσας καὶ δικαίας ὀργῆς ἐμπλησθείς, ξίφος μεταχειρισάμενος, ἕνα τῶν ἐν τέλει μετὰ τῆς πεπορνευμένης γυναικὸς ἀνεῖλε, καὶ οὕτω ἔστησεν οὐ μόνον τοῦ νοσήματος τὴν νομὴν ἐπὶ τὰ καίρια σπεύδουσαν, ἀλλὰ τὴν θείαν ὀργὴν τοὺς ἁμαρτήσαντας ἐπινεμομένην. Ἱερωσύνῃ γοῦν τετίμηται ὁ τὴν ἀκοσμίαν ἐκτεμών, ὡς στρατηγικῆς εὐκοσμίαν πεῖραν δούς. Καὶ

---

24. Ἡσ. 29, 13. καὶ Ματθ. 15, 8-9. 25. Ἀριθμ. 25, 7 ἑ.

φωνάζει· «Ὁ λαὸς αὐτὸς μὲ τιμᾶ μὲ τὰ χείλη του, ἐνῶ ἡ καρδιά τους ἀπέχει πολὺ ἀπὸ μένα. Ἄδικα λοιπὸν μὲ σέβονται»[24]. Γιατὶ ἀπὸ τὰ ἔργα, καὶ ὄχι ἀπὸ τὰ λόγια, πρέπει νὰ γίνονται φανερὰ αὐτὰ ποὺ εἶναι κρυφά.

159.- ΣΤΟΝ ΑΕΤΙΟ

«Σηκώθηκε τότε ὁ Φινεές, τὸν ἐξευμένισε
καὶ σταμάτησε ἡ σφαγή»[25].

Ὅταν οἱ Μαδιανῖτες ἀντιλήφθηκαν ὅτι θὰ συναντήσουν τοὺς Ἑβραίους ποὺ ὁδηγοῦνταν ἐναντίον τους ἔχοντας σύμμαχό τους τὸν Θεό, τότε λοιπόν, ἀφοῦ συμβουλεύθηκαν ἀπὸ ἄνθρωπο πονηρόν, ἀφήνοντας κατὰ μέρος τὰ ὅπλα καὶ τὰ μηχανήματα, καθὼς καὶ τὴν ἀνδρεία καὶ τὴ δύναμη (γιατὶ εἶχαν πληροφορηθεῖ, πὼς οὔτε στοὺς Αἰγυπτίους αὐτὰ ἔφεραν ἀποτέλεσμα), πῆραν ὄμορφα κορίτσια, τὰ ὁποῖα δὲν τὰ ὅπλισαν, ἀλλὰ τὰ καλλώπισαν, καὶ τὰ ἔστειλαν στὸν πόλεμο. Γιατὶ γνώριζαν ὅτι ἡ οὐράνια βοήθεια δὲν θὰ τοὺς ἐγκαταλείψει, ἂν δὲ παρασυρθοῦν στὴν πορνεία καὶ ἀπὸ ἐκεῖ στὴν εἰδωλολατρία. Καθόσον τὰ πολὺ μεγάλα πταίσματα συνήθως γεννιοῦνται ἀπὸ μικρότερα. Βγαίνοντας λοιπὸν ἐκεῖνα γιὰ τὴ μάχη, ἄρχισαν τὶς ἀψιμαχίες μὲ αὐτούς, χωρὶς βέβαια νὰ φέρουν μαζί τους ξίφος, οὔτε βέλος, ἀλλὰ προβάλλοντας τὴν ὀμορφιὰ καὶ τὰ στολίδια τους, ἀντὶ γιὰ ὁποιοδήποτε πολεμικὸ μηχάνημα, καὶ τόσο πολὺ τοὺς σαγήνευσαν, ὥστε, ρίχνοντας τὰ ὅπλα, νὰ παραχωρήσουν σ' ἐκεῖνα τὴ νίκη. Ὅταν ὅμως ὁ υἱὸς τοῦ ἀρχιερέα εἶδε ὄχι μόνο τὸ πλῆθος, ἀλλὰ καὶ τοὺς ἄρχοντες νὰ ἔχουν ρίξει τὶς ἀσπίδες καὶ νὰ ὁρμοῦν στὴν πορνεία, καὶ γι' αὐτὸ ἡ εὔνοια τοῦ Θεοῦ νὰ χάνεται, ταραγμένος καὶ γεμᾶτος δικαιολογημένη ὀργή, παίρνοντας τὸ ξίφος, ἔσφαξε ἕναν ἄρχοντα μαζὶ μὲ τὴν γυναίκα ποὺ πορνευνόταν[26], καὶ ἔτσι σταμάτησε ὄχι μόνο τὴν ἐξάπλωση τῆς ἀρρώστιας, ποὺ γινόταν πληγὴ θανατηφόρα, ἀλλὰ καὶ τὴν θεία ὀργή, ἡ ὁποία κατέτρωγε ἐκείνους ποὺ ἁμάρτησαν. Αὐτὸς λοιπὸν ποὺ σταμάτησε τὴν ἀσχημοσύνη, τιμήθηκε μὲ τὴν ἱερωσύνη, ἐπειδὴ ἔδωσε μάθημα στρατηγικῆς σεμνότητας. Καὶ αὐτὸ εἶναι ἐκεῖνο ποὺ ζήτησες νὰ μάθεις· «Σηκώθηκε ὁ Φινεὲς καὶ ἐξευμένισε

26. Ἀριθμ. 25, 8.

τοῦτ' ἐστὶν ὁ ζητεῖς μαθεῖν· «Ἔστη Φινεὲς καὶ ἐξιλάσατο, καὶ ἐκόπασεν ἡ θραῦσις, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην». Ἐτίμησε γὰρ ἡ θεία φύσις τὸν πρὸ αὐτῆς δικαίως ἀγανακτήσαντα καὶ δύο σφαγαῖς τὴν παρανομίαν στήσαντα.

ΡΞ'.– ΑΓΑΘΩ ΠΡΕΣΒΥΤΕΡΩ
Περὶ ὑπομονῆς διὰ τὴν Σάρραν.

Ὅτε ὁ θεοφιλὴς Ἀβραὰμ διὰ μὲν χρησμὸν ἀπὸ τῆς Περσίδος εἰς τὴν Παλαιστίνην, διὰ δὲ λιμὸν εἰς τὴν Αἴγυπτον ἦκε, θεασάμενοι οἱ ἐν τέλει τὴν σύνευνον αὐτοῦ κάλλει τε καὶ ἀρετῇ γυναικείᾳ ἀστράπτουσαν, ὥς τι φέροντες τῷ βασιλεῖ κειμήλιον τιμαλφέστατον καταμηνύουσιν αὐτήν, καὶ ὃς ἀφαιρεῖται τὴν γυναῖκα σωφροσύνῃ πλέον ἢ κάλλει λάμπουσαν. Ὡς δ' ἀνὴρ, θάνατον δεδιὼς ἀδελφὸς εἶναι αὐτῆς σκηψάμενος, προὔδωκε μὲν τὴν γυναῖκα, τῆς δὲ θείας μακροθυμίας οὐ κατεβόησε, τότε δή, τότε ἡ θεία ἐπικουρία, τὰ οἰκεῖα ὅπλα κινήσασα, τῷ θεοφιλεῖ τὴν σύνευνον ἀνέπαφον καὶ ἀκέραιον ἀποδέδωκε. Νύκτωρ γὰρ ἐκεῖνον πικροτάταις βασάνοις μαστίξασα καὶ τὰς ἡδονὰς τοῖς πόνοις δαμάσασα, μᾶλλον δὲ φρούδας οἴχεσθαι παρασκευάσασα, οὕτω τῷ δικαίῳ τὸν στέφανον ἤνεγκε. Τοιγαροῦν καὶ ἡμεῖς, εἰ πειρασμοῖς περιπέσοιμεν, μὴ τῆς θείας μακροθυμίας καταβοῶμεν, ἀλλ' ἀντεχώμεθα μᾶλλον αὐτῆς, τῆς καὶ πόρους ἐν ἀπόροις καὶ μηχανὰς ἐν ἀμηχάνοις εὑρισκούσης.

ΡΞΑ'.– ΑΡΧΟΝΤΙΩ ΠΡΕΣΒΥΤΕΡΩ
Εἰς τό, «Ἀστράγαλος χειρός...».

Ἐπειδή, Τί ἐστιν, ἔφης, τὸ «Ἀστράγαλος χειρός», ἄκουε. Ἐπειδὴ ὁ βάρβαρος, μεθύων τῇ τυραννίδι καὶ ὠφρυωμένος τῇ ἀλαζονείᾳ καὶ τῷ οἴνῳ καρηβαρῶν, τὰ ἱερὰ σκεύη οὐ μόνον ἀνδράσιν, ἀλλὰ καὶ γυναιξὶ ταῖς τὰς ἡδονὰς αὐτοῦ θεραπευού-

27. Γεν. 12, 11-20.

τὸν Θεό, καὶ σταμάτησε ἡ σφαγή, καὶ ἡ πράξη του αὐτὴ ὑπολογίσθηκε γιὰ τὴ δικαίωσή του». Τίμησε δηλαδὴ ἡ θεία φύση αὐτὸν ποὺ μπροστὰ σ' αὐτὴν δίκαια ἀγανάκτησε, καὶ μὲ δύο σφαγὲς σταμάτησε τὴν παρανομία.

160.- ΣΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟ ΑΓΑΘΟ
Γιὰ τὴν ὑπομονὴ τῆς Σάρρας[27].

Ὅταν ὁ ἀγαπητὸς στὸν Θεὸ Ἀβραὰμ ἐξαιτίας τῆς ἐντολῆς του πῆγε ἀπὸ τὴν Περσία στὴν Παλαιστίνη, καὶ ἀπὸ τὴν Παλαιστίνη, ἐξαιτίας μεγάλης πείνας, πῆγε στὴν Αἴγυπτο, βλέποντας οἱ ἄρχοντες τὴ γυναίκα του νὰ ἀστράφτει ἀπὸ ὀμορφιὰ καὶ γυναικεία ἀρετή, φέροντάς την σὰν κάποιο πολυτιμότατο κειμήλιο, τὴν ἀνέφεραν στὸν βασιλιά, καὶ αὐτὸς πῆρε τὴ γυναίκα, ποὺ ἔλαμπε περισσότερο μὲ τὴ σωφροσύνη της, παρὰ μὲ τὴν ὀμορφιά της. Ἐπειδὴ ὅμως ὁ ἄνδρας της, φοβούμενος μήπως τὸν θανατώσει, προφασίσθηκε ὅτι εἶναι ἀδελφός της, πρόδωσε βέβαια τὴ γυναίκα του, ἀλλὰ δὲν τὰ ἔβαλε μὲ τὴν θεία μακροθυμία, τότε λοιπόν, τότε ἡ θεία βοήθεια, βάζοντας σὲ κίνηση τὰ δικά της ὅπλα, ἔδωσε πίσω στὸν θεοφιλῆ Ἀβραὰμ τὴ γυναίκα του ἀνέπαφη καὶ ἁγνή. Κατὰ τὴ διάρκεια δηλαδὴ τῆς νύχτας, προκαλώντας σ' ἐκεῖνον πολὺ μεγάλα βασανιστήρια καὶ συγκρατώντας μὲ τοὺς πόνους τὶς ἡδονές του, ἢ καλύτερα κάνοντας αὐτὲς νὰ φύγουν ἀνεκπλήρωτες, μὲ τὸν τρόπο αὐτὸν ἔφερε στὸν δίκαιο τὸ στεφάνι. Γι' αὐτὸ λοιπὸν καὶ ἐμεῖς, ἐὰν πέσουμε σὲ πειρασμούς, νὰ μὴ τὰ βάζουμε μὲ τὴ μακροθυμία τοῦ Θεοῦ, ἀλλὰ μᾶλλον νὰ προσκολλώμαστε σ' αὐτήν, ἡ ὁποία βρίσκει καὶ διέξοδο σ' αὐτὰ ποὺ δὲν ἔχουν, ἀλλὰ καὶ εὐφυῆ τεχνάσματα στὶς δύσκολες καταστάσεις.

161.- ΣΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟ ΑΡΧΟΝΤΙΟ
Στὴ ρήση· «Δάκτυλο τοῦ χεριοῦ»[28].

Ἐπειδὴ ρώτησες, Τί σημαίνει ὁ λόγος, «δάκτυλο τοῦ χεριοῦ», ἄκουσε· Ὅταν ὁ βάρβαρος, μεθυσμένος ἀπὸ τὴν τυραννικὴ ἐξουσία, καὶ ἔχοντας τὰ φρύδια σηκωμένα ἀπὸ τὴν ἀλαζονεία, καὶ τὸ κεφάλι βαρὺ ἀπὸ τὸ κρασί, πρόσταξε νὰ φέρουν τὰ ἱερὰ σκεύη, γιὰ νὰ τὰ

28. Δαν. 5, 5.

σαις προὔθηκεν εἰς χρῆσιν, ὤφθη τὸ μετὰ τὸν πῆχυν μέρος τῆς χειρός, τὴν κατ' αὐτοῦ ἀπόφασιν ὑπογράφον. Ὥσπερ γὰρ οἱ ζωγράφοι (ἵνα καὶ ἀπὸ τῆς ἐκείνων τόλμης τὴν ἀπόδειξιν ποιήσωμαι), σώματα ποιοῦντες τὰ ἀσώματα, χεῖρα γράφειν ἐπιχειροῦσι μόνην στέφουσαν τῶν τῆς γῆς βασιλευόντων τὰς κορυφάς, ἵνα δείξωσιν οὐρανόθεν αὐτοῖς τὴν ἀρχὴν δεδόσθαι, οὕτω κἀκεῖ συγκαταβατικῶς ὤφθη, ἵνα δειχθῇ, ὅτι ὁ τῶν ἁπάντων βασιλεὺς τὴν κατὰ τοῦ τυραννου ἐκφέρει ψῆφον καὶ τὴν ἀπόφασιν ὑπογράφει.

ΡΞΒ'.– ΜΑΡΤΥΡΙΩ ΠΡΕΣΒΥΤΕΡΩ

Περὶ ἀποκρύψεως τῶν κατορθωμάτων τῆς εὐσεβείας.

Κανών ἐστι εὐσεβείας καὶ δικαιοσύνης, τὸ κρύπτειν μὲν τὰ κατορθώματα, διὰ τὸ τοῦ τέλους ἄδηλον καὶ διὰ τὸ ἐνοχλεῖν τοῖς ἀκούουσιν, ἐναγώνιον δ' εἶναι, διά τε τὸ τῆς φύσεως ἐπιρρεπὲς πρὸς ἁμαρτίαν καὶ τῶν ἀκουόντων τὴν περὶ τὰ κακὰ ἑτοιμοτέραν πίστιν τε καὶ συγκατάθεσιν. Ὀλίγοι γὰρ τοῖς καλοῖς, πολλοὶ δὲ τοῖς κακοῖς πιστεύουσιν, οὐ μόνον ἐκ τῶν καθ' ἑαυτοὺς καὶ τὴν περὶ τῶν ἄλλων φέροντες ψῆφον, ἀλλὰ καὶ τὰς σφῶν ἁμαρτίας διὰ τῆς τῶν ἄλλων κατηγορίας περιστέλλειν οἰόμενοι.

ΡΞΓ'.– ΤΩ ΑΥΤΩ

Περὶ τοῦ διττοῦ τρόπου τῆς εὐσεβείας.

Εὐσεβείας, ὦ ἐλλογιμώτατε, διττὸς ὁ τρόπος. Ὁ μὲν ἁγιώτατος καὶ θειότατος ἐν ψυχῇ. Ἱερεῖον γὰρ τοῦτο κάλλιστον καὶ Θεῷ προσφιλέστατον, τὸ τὴν γνώμην ἔχειν εὐαγῆ καὶ τὴν θείαν παρουσίαν φαντάζεσθαι ἱδρυμένην τε καὶ βεβαίαν ἔχειν ἐν τοῖς τῆς ψυχῆς τεμένεσιν. Ὁ δὲ δεύτερος ἐν τῇ ἁγνείᾳ τοῦ σώματος. Ὁ γὰρ τούτων τῶν δύο τρόπων χηρεύων, οὐδὲ εἰ τὰ γῆς τε καὶ θαλάττης τιμαλφέστατα προσάγοι κειμήλια, οὔτε εἰ πάντα τὰ

χρησιμοποιοῦν ὄχι μόνο οἱ ἄνδρες, ἀλλὰ καὶ οἱ γυναῖκες ποὺ ἱκανοποιοῦσαν τὶς ἡδονές του, ἐμφανίστηκε τὸ μετὰ τὸν πῆχυ μέρος τοῦ χεριοῦ, γράφοντας τὴν ἐναντίον αὐτοῦ ἀπόφαση. Ὅπως δηλαδὴ οἱ ζωγράφοι (γιὰ νὰ παρουσιάσω τὴν ἀπόδειξη ἀπὸ τὴν τόλμη ἐκείνων), δίνοντας σῶμα στὰ ἀσώματα, ἐπιχειροῦν νὰ ζωγραφίσουν μόνο ἕνα χέρι, τὸ ὁποῖο στεφανώνει τὰ κεφάλια αὐτῶν ποὺ βασιλεύουν στὴ γῆ, γιὰ νὰ δείξουν ὅτι ἡ ἐξουσία τοὺς δόθηκε ἀπὸ τὸν οὐρανό, ἔτσι καὶ ἐκεῖ, ἐμφανίσθηκε κατὰ συγκατάβαση, γιὰ νὰ δειχθεῖ, ὅτι ὁ βασιλιὰς τῶν πάντων ἐκδηλώνει τὴν ἀπόφασή του ἐναντίον τοῦ τυράννου καὶ τὴν ὑπογράφει.

162.- ΣΤΟΝ ΠΡΕΣΒΕΥΤΕΡΟ ΜΑΡΤΥΡΙΟ
Γιὰ τὴν ἀπόκρυψη τῶν κατορθωμάτων τῆς εὐσέβειας.

Εἶναι κανόνας τῆς εὐσέβειας καὶ τῆς δικαιοσύνης, τὸ νὰ κρύβουμε βέβαια τὰ κατορθώματα, ἐπειδὴ τὸ τέλος εἶναι ἄγνωστο, καὶ ἐπειδὴ ἐνοχλεῖ αὐτοὺς ποὺ τὰ ἀκοῦνε, νὰ εἴμαστε ὅμως γεμᾶτοι ἀγωνία, καὶ ἐπειδὴ ἡ φύση μας εἶναι ἐπιρρεπὴς πρὸς τὴν ἁμαρτία, καὶ ἐπειδὴ αὐτοὶ ποὺ ἀκοῦνε ἔχουν πιὸ ἕτοιμη τὴν πίστη καὶ συγκατάθεσή τους στὰ κακά. Γιατὶ λίγοι πιστεύουν στὰ καλὰ καὶ πολλοὶ στὰ κακά, ὄχι μόνο ἐπειδὴ ἐκφράζουν τὴ γνώμη τους ἀπὸ τὸν ἑαυτό τους καὶ γιὰ τοὺς ἄλλους, ἀλλὰ ἐπειδὴ νομίζουν ὅτι μὲ τὴν κατηγορία τῶν ἄλλων, περιορίζουν καὶ τὶς δικές τους ἁμαρτίες.

163.- ΣΤΟΝ ΙΔΙΟ
Γιὰ τὸν διπλὸ τρόπο τῆς εὐσέβειας.

Ὁ τρόπος τῆς εὐσέβειας, λογιώτατε, εἶναι διπλός. Ὁ ἕνας, ὁ ἁγιώτατος καὶ θεϊκώτατος βρίσκεται μέσα στὴν ψυχή. Γιατὶ θυσία κάλλιστη καὶ προσφιλέστατη στὸν Θεὸ εἶναι αὐτή, τὸ νὰ ἔχουμε τὸν νοῦ καθαρό, καὶ νὰ αἰσθανόμαστε τὴν παρουσία τοῦ Θεοῦ νὰ εἶναι ἐγκατεστημένη καὶ σταθερὴ μέσα στὸν ναὸ τῆς ψυχῆς μας. Ὁ δεύτερος τρόπος βρίσκεται στὴν ἁγνότητα τοῦ σώματος. Γιατὶ αὐτὸς ποὺ δὲν ἔχει αὐτοὺς τοὺς δύο τρόπους, οὔτε ἂν προσφέρει τὰ πιὸ πολύτιμα κειμήλια τῆς ξηρᾶς καὶ τῆς θάλασσα, οὔτε ἂν προσφέρει ὅλα τὰ ζῶα ποὺ

ἱερουργεῖσθαι πρώην νενομοθετημένα ζῶα καταβάλλοι, χαριεῖται Θεῷ.

ΡΞΔ΄.– ΘΕΟΔΩΡΩ ΣΧΟΛΑΣΤΙΚΩ

Περὶ τοῦ ἐμφύτου καὶ ἀγράφου περὶ φιλανθρωπίας νόμου.

Θεσμὸς μέν ἐστιν ἄνωθεν καλῶς κεκυρώμενος, καὶ νόμος ἄγραφος πρὸς φιλανθρωπίαν βλέπων, τοὺς κρατοῦντας τοῖς ὅπλοις τῶν ἱκετευόντων ἡττᾶσθαι, καὶ τοὺς πολέμῳ νικῶντας παραχωρεῖν τῷ οἰκτῳ. Σὺ δ', ὥς φασιν, οὔτε τοὺς ἐμφύτους θεσμούς, οὔτε τοὺς ἀγράφους νόμους αἰδεσθείς, τοὺς περὶ τῶν οἰκετῶν τὴν συνηγορίαν ἀναδεξαμένους ἠτίμασας. Ἴσθι τοίνυν, ὅτι εἰκός σε εἰς τοῦτο περιστῆναι τὸ σχῆμα, ὃ ἄλλους θεασάμενος ἔχοντας, οὐκ ἔπαθές τι ἀνθρώπινον, ἀλλ' ἀμείλικτος ὀφθείς, καὶ τὴν φύσιν αὐτὴν καὶ τὸν ἔλεον ὕβρισας.

ΡΞΕ΄.– ΠΑΥΛΩ ΥΠΟΔΙΑΚΟΝΩ

Εἰς τὸ εἰρημένον ὑπὸ τοῦ ἀποστόλου· «Κἂν ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίσηται ὑμῖν ...».

Ὁ διάπυρος τοῦ λόγου ἐραστής, Παῦλος, φημί, ὁ ἀπόστολος, οὐ μόνον καθ' ἑαυτοῦ καὶ τῶν ἄλλων ἀποστόλων φέρει τὴν ψῆφον εἰ τολμήσειαν καινοτομίαν τινὰ τῷ κηρύγματι ἐπινοῆσαι, ἀλλὰ καὶ κατ' ἀγγέλων, καὶ οὐχ ἁπλῶς ἀγγέλων, ἀλλὰ τῶν ἐξ οὐρανοῦ. Οὐκ ἐκείνους, ὡς ἐνόμισας, ὑβρίσαι προῃρημένος, τοὺς μήτε τετολμηκότας πώποτε, μήτε τολμῶντας, μήτε τολμήσοντας τοῦτο δρᾶσαι, ἀλλὰ τοῖς ἀλιτηρίοις δαίμοσιν ἀποκλείων τὴν ὁδὸν τῆς ἀξιοπιστίας, μήποτε, πρόφασιν λαβόντες ὡς ἄγγελοι, ἀνατρέψωσι τὸ κήρυγμα. Τί γάρ φησι; «Κἂν ἡμεῖς ἢ ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίσηται ὑμῖν παρ' ὃ εὐηγγελισάμεθα ὑμῖν, ἀνάθεμα ἔστω. Οὕτω γοῦν καὶ οἱ ἄγγελοι ἔχαιρον τῇ ἀσφαλείᾳ τοῦ κηρύγματος, ὅτι καὶ ὁ ἀποσταλεὶς πρὸς Κορνήλιον ἐμήνυσε τὸν διδάσκαλον, οὐχ ἑαυτῷ τὸ πρᾶγμα ἐπέτρεψεν.

---

29. Γαλ. 1, 8.

παλαιὰ νομοθετήθηκε νὰ προσφέρονται γιὰ θυσία, θὰ κάνει κάτι εὐχάριστο στὸν Θεό.

164.- ΣΤΟΝ ΣΧΟΛΑΣΤΙΚΟ ΘΕΟΔΩΡΟ

Γιὰ τὸν ἔμφυτο καὶ ἄγραφο νόμο τῆς φιλανθρωπίας.

Ὑπάρχει θεσμὸς ποὺ εἶναι καλῶς ἐπικυρωμένος ἀπὸ τὸν Θεό, καὶ νόμος ἄγραφος, ποὺ ἀποβλέπει στὴ φιλανθρωπία, αὐτοὶ ποὺ ὑπερισχύουν μὲ τὰ ὅπλα, νὰ νικῶνται ἀπὸ αὐτοὺς ποὺ τοὺς ἱκετεύουν, καὶ αὐτοὶ ποὺ νικοῦν στοὺς πολέμους, νὰ ὑποχωροῦν στὴν εὐσπλαγχνία. Ἐσὺ ὅμως, ὅπως λένε, χωρὶς νὰ σεβασθεῖς οὔτε τοὺς ἔμφυτους θεσμούς, οὔτε τοὺς ἄγραφους νόμους, περιφρόνησες αὐτοὺς ποὺ ἀνέλαβαν τὴν ὑπεράσπιση τῶν δούλων. Γνώριζε λοιπόν, ὅτι ἔχοντας καταλάβει αὐτὴ τὴ θέση, ποὺ εἶδες νὰ κατέχουν ἄλλοι, δὲν ἔννοιωσες κάτι τὸ ἀνθρώπινο, ἀλλὰ μὲ τὸ νὰ ἐμφανίζεσαι ἀμείλικτος, περιφρόνησες καὶ τὴν ἀνθρώπινη φύση καὶ τὴν εὐσπλαγχνία.

165.- ΣΤΟΝ ΥΠΟΔΙΑΚΟΝΟ ΠΑΥΛΟ

Σ' αὐτὸ ποὺ εἶπε ὁ Ἀπόστολος· «Ἀκόμα καὶ ἂν ἄγγελος ἀπὸ τὸν οὐρανὸ σᾶς κηρύξει εὐαγγέλιο ...»[29].

Ὁ ὁλόθερμος ἐραστὴς τοῦ λόγου, ἐννοῶ ὁ ἀπόστολος Παῦλος, δὲν ἐκφέρει τὴν ἀπόφασή του ἐναντίον μόνον τοῦ ἑαυτοῦ του καὶ τῶν ἀποστόλων, ἂν τολμήσουν νὰ ἐπινοήσουν κάποια καινοτομία στὸ κήρυγμα, ἀλλὰ καὶ ἐναντίον τῶν ἀγγέλων, καὶ ὄχι ἁπλῶς τῶν ἀγγέλων, ἀλλὰ αὐτῶν ποὺ ἔρχονται ἀπὸ τὸν οὐρανό. Καὶ δὲν ἔχει τὴν πρόθεση νὰ προσβάλλει, ὅπως νόμισες, ἐκείνους ποὺ οὔτε τόλμησαν ποτέ, οὔτε τολμοῦν, οὔτε θὰ τολμήσουν νὰ τὸ κάνουν αὐτὸ ποτέ, ἀλλὰ ἀποκλείοντας στοὺς ἀλιτήριους δαίμονες τὸν δρόμο τῆς ἀξιοπιστίας, μήπως, ἐμφανιζόμενοι ὡς ἄγγελοι, ἀνατρέψουν τὸ κήρυγμα. Γιατὶ τί λέγει; «Ἀκόμα καὶ ἂν ἐμεῖς, ἢ ἄγγελος ἀπὸ τὸν οὐρανό, σᾶς κηρύξει διαφορετικὰ ἀπὸ αὐτὰ ποὺ σᾶς κηρύξαμε ἐμεῖς, νὰ εἶναι ἀνάθεμα»[29α]. Ἔτσι λοιπὸν καὶ οἱ ἄγγελοι χαίρονταν μὲ τὴν ἀσφάλεια τοῦ κηρύγματος, γιατὶ καὶ ἐκεῖνος ποὺ στάλθηκε στὸν Κορνήλιο, κήρυξε τὸν δάσκαλο, καὶ δὲν ἐμπιστεύθηκε τὸ πρᾶγμα στὸν ἑαυτό του.

29α. Γαλ. 1, 8.

ΡΞΣ'.– ΑΡΧΟΝΤΙΩ ΠΡΕΣΒΥΤΕΡΩ

Εἰς τὸ γεγραμμένον· «Μέλλει γὰρ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἔρχεσθαι ἐν τῇ δόξῃ τοῦ Πατρὸς αὐτοῦ».

Ἦξειν, ὦ βέλτιστε, ὁ Χριστὸς ἐν τῇ πατρῴᾳ δόξῃ ἐπηγγείλατο, τὰ τῶν αἱρετικῶν ἐμφράττων στόματα καὶ τὴν λύτταν αὐτῶν σβεννύς. Οὐδὲ γὰρ εἶπεν ἐν δόξῃ τοιαύτῃ, οἵᾳ καὶ ὁ Πατὴρ (ἵνα μὴ πάλιν παραλλαγήν τινά τις ὑποπτεύσῃ), ἀλλὰ τὸ ἀπηκριβωμένον περιστάς, ἐν αὐτῇ φησιν ἐκείνῃ ἥξειν, ὡς ἀναγκαίως μίαν εἶναι αὐτὴν νομίζεσθαι καὶ τὴν αὐτήν. Ὧν δὲ μία δόξα, πολλῷ μᾶλλον καὶ ἡ οὐσία. Εἰ δέ τις ἀπιστεῖ, βασανιζέτω τὸ λεχθησόμενον. Εἰ γὰρ ἔνθα οὐκ οὐσία μία, διαφορὰ δόξης εὑρίσκεται (ἄλλη γὰρ δόξα ἡλίου, καὶ ἄλλη δόξα σελήνης, καὶ ἄλλη δόξα ἀστέρων. Ἀστὴρ γὰρ ἀστέρος διαφέρει ἐν δόξῃ), πῶς ἂν ὦν ἡ δόξα μία, διενεχθεῖεν ἐν τῇ οὐσίᾳ;

ΡΞΖ'.– ΜΑΡΩΝΙ

Περὶ φιλοχρηματίας.

Ἕκαστον μὲν σχεδὸν τῶν ἄλλων παθῶν καὶ ἀκμὴν ἔχει καὶ παρακμὴν οἶδε καὶ κόρον ἐπίσταται καὶ εἰς τελευτὴν ἐπείγεται, ὁ δὲ δεινὸς τῆς φιλοχρηματίας ἔρως μήτ' ἔμφυτος ὤν, ἀλλ' ἔξωθέν ποθεν ἐπικωμάσας, παρακμὴν οὐκ οἶδε, κόρον ὑβρίζει, εὐφροσύνην οὐκ ἐπίσταται, τελευτῆς οὐκ ἀνέχεται, ἀεὶ δ' ἀκμάζων, μᾶλλον δὲ τὴν ἀκμὴν ἐπιτείνων, νεανικώτερος ἑαυτοῦ καὶ τυραννικώτερος εἶναι διάζεται. Οὐ γὰρ πρὸς τὰ ἄλλα πάθη τὴν ἅμιλλαν ποιεῖται μόνον, ἀλλὰ καὶ πρὸς ἑαυτόν, καὶ ἑαυτὸν νικῆσαι φίλονεικῶν. Θᾶττον γὰρ ἄν τις τὰ ἀνέφικτα καταλήψεται, ἢ ἐκεῖνος κόρον λήψεται. Τὴν γὰρ προσθήκην μείωσιν, οὐκ οἶδ' ὅπως, καὶ ἐλάττωσιν εἶναι ἡγούμενος, πλέον ἀνακαίει τὸ πῦρ, ὅπερ τῆς σῆς τινές φασι γεγεύσθαι ψυχῆς. Σβέσον τοίνυν

166.- ΣΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟ ΑΡΧΟΝΤΙΟ

Σ' αὐτὸ ποὺ ἔχει γραφεῖ· «Πρόκειται ὁ Υἱὸς τοῦ ἀνθρώπου νὰ ἔρθει μέσα στὴ δόξα τοῦ Πατέρα του»[30].

Ὁ Χριστός, φίλε μου, ὑποσχέθηκε ὅτι θὰ ἔρθει μέσα στὴν πατρικὴ δόξα, φράζοντας τὰ στόματα τῶν αἱρετικῶν, καὶ σβήνοντας τὴ γλώσσα τους. Γιατὶ δὲν εἶπε, Μὲ τέτοια δόξα, ἴδια μ' αὐτὴν ποὺ ἔχει ὁ Πατέρας (γιὰ νὰ μὴ ὑποψιαστεῖ πάλι κανεὶς κάποια παραλλαγή), ἀλλὰ παρουσιάζοντας αὐτὸ ποὺ θὰ γίνει ἀκριβῶς, λέγει ὅτι θὰ ἔρθει μέσα σ' αὐτὴν τὴν ἴδια τὴν πατρικὴ δόξα, ὥστε ἀναγκαστικὰ νὰ πιστεύεται ὅτι εἶναι μία καὶ ἡ αὐτή. Καὶ αὐτῶν ποὺ ἡ δόξα εἶναι μία, πολὺ περισσότερο μία εἶναι καὶ ἡ οὐσία. Ἐὰν ὅμως κάποιος δὲν πιστεύει, ἂς ἐξετάσει αὐτὸ ποὺ θὰ εἰπωθεῖ. Γιατί, ἐὰν ὅπου δὲν ὑπάρχει μία οὐσία, ὑπάρχει διαφορὰ δόξας (γιατὶ ἄλλη εἶναι ἡ δόξα (λαμπρότητα) τοῦ ἡλίου, καὶ ἄλλη τῆς σελήνης, καὶ ἄλλη τῶν ἀστεριῶν. Γιατὶ τὸ ἕνα ἀστέρι διαφέρει ἀπὸ τὸ ἄλλο ὡς πρὸς τὴ λαμπρότητα), πῶς αὐτοὶ τῶν ὁποίων ἡ δόξα εἶναι μία, θὰ μποροῦσαν νὰ διαφέρουν στὴν οὐσία;

167.- ΣΤΟΝ ΜΑΡΩΝΑ

Γιὰ τὴ φιλοχρηματία.

Καθένα σχεδὸν ἀπὸ τὰ ἄλλα πάθη καὶ ἀκμὴ ἔχει, καὶ παρακμὴ γνωρίζει, καὶ κορεσμὸ νοιώθει, καὶ βαδίζει στὸν θάνατο, ὁ φοβερὸς ὅμως ἔρωτας τῆς φιλοχρηματίας, ποὺ δὲν εἶναι οὔτε ἔμφυτος, ἀλλ' ἔρχεται κατὰ κάποιο τρόπο τρέχοντας ἀπὸ ἔξω, παρακμὴ δὲν γνωρίζει, τὸν κορεσμὸ τὸν ταπεινώνει, εὐφροσύνη δὲν γνωρίζει, θάνατο δὲν ἀνέχεται, ἀλλ' ἀκμάζοντας διαρκῶς, ἢ μᾶλλον αὐξάνοντας τὴν ἀκμή, βιάζεται νὰ γίνει πιὸ νέος καὶ πιὸ τυραννικὸς ἀπὸ τὸν ἑαυτό του. Γιατὶ ἡ ἄμιλλά του δὲν γίνεται μόνο πρὸς τὰ ἄλλα πάθη, ἀλλὰ καὶ πρὸς τὸν ἑαυτό του, καὶ ἀγωνίζεται νὰ νικήσει καὶ τὸν ἑαυτό του. Πιὸ γρήγορα δηλαδὴ μπορεῖ κανεὶς νὰ φτάσει ἐκεῖνα ποὺ εἶναι ἀπλησίαστα, παρὰ ἐκεῖνος νὰ νοιώσει κορεσμό. Γιατὶ θεωρώντας, δὲν ξέρω πῶς, τὴν προσθήκη μείωση καὶ ἐλάττωση, ἀνάβει περισσότερο τὴ φωτιά, τὴν ὁποία ἔχει δοκιμάσει, ὅπως λένε μερικοί, καὶ ἡ δική σου

30. Ματθ. 16, 27.

ᾗ τάχος τοῦτο. Εἰ δὲ μή, κἀνταῦθα ἀβίωτον βιώσεις βίον, κἀκεῖσε πικρὰς ὑφέξεις εὐθύνας.

ΡΞΗ'.– ΕΥΤΟΝΙΩ ΔΙΑΚΟΝΩ
Περὶ τοῦ πρέποντος.

Ὁ τὸ πρέπον, ὦ σοφώτατε, μὴ προδιδούς, οὐδεπώποτε ὑπὸ τῆς θείας συμμαχίας προδοθήσεται.

ΡΞΘ'.– ΑΘΑΝΑΣΙΩ ΠΡΕΣΒΥΤΕΡΩ
Περὶ ἀρετῆς.

Εἰ καὶ πατρίδος τις εἴη βασιλικωτάτης καὶ γένους τοῦ περιφανεστάτου καὶ πλούτῳ παντοίῳ κομῴη, εὐγλωττίας τ' εἰς ἄκρον ἀφίκοιτο, καὶ πάντα τὰ τῶν ἀρχαίων ἐπὶ στόματος φέροι, ῥώμῃ τε καὶ κάλλει, δόξῃ τε καὶ ἀρχῇ ἐναβρύνοιτο, βασιλείας τε αὐτῆς ἀξιωθείη, καὶ τὸν στέφανον καὶ τὴν ἁλουργίδα περικέηται, ἀρετὴν δὲ μὴ ἔχοι, τοῦτον ἔγωγε ἐν τοῖς ἀνδραποδεστάτοις κατατάξαιμι. Εἰ δέ τις δικαιοσύνῃ καὶ σωφροσύνῃ, ἀνδρείᾳ τε καὶ φρονήσει σοφὸς εἴη, τοῦτον ἐν τοῖς βασιλικωτάτοις καταριθμήσαιμι. Εἰ δὲ τοῦ πάνθ' ὁμοῦ ἐκεῖνα ἔχοντος ἀμείνων ὁ φιλάρετος, τοῦ μὴ πάντ' ἔχοντος ὁμοῦ (οὐδὲ γὰρ πάνθ' οἷόν τε συνελθεῖν), πολλῷ μακαριστότερος ἔσται καὶ εὐκλεέστερος, τῷ ἐκεῖνα μὲν θᾶττον ἀποσβέννυσθαι, τὴν δ' ἀρετὴν ἀθάνατον εἶναι.

ΡΟ'.– ΠΕΤΡΩ
Εἰς τὸ εἰρημένον· «Τίς ἐστιν ὁ πιστὸς δοῦλος καὶ φρόνιμος;».

Ὅτι μέν, ὁ τὴν εὐκαιρίαν τῶν πραγμάτων προδιδοὺς τῆς τῶν καλῶν διαμάρτοι θήρας, δῆλον, ὅτι δὲ καὶ πάντα καλὰ ἐν τῷ καιρῷ αὐτῶν, ὁ Ἐκκλησιαστὴς ἐδίδαξεν. Εἰ τοίνυν τοῦθ' οὕτως ἔχει, τί ξενίζῃ, εἰ ὁ Σωτὴρ ἔφη περὶ τοῦ φρονίμου καὶ πιστοῦ οἰκονόμου, ὅτι δώσει τὴν τροφὴν ἐν καιρῷ; Τὸ γὰρ

---

31. Λουκᾶ 12, 42.

ψυχή. Σβῆσε την λοιπὸν ὅσο γίνεται γρηγορώτερα. Γιατὶ ἀλλιῶς, καὶ ἐδῶ θὰ περάσεις βίο ἀβίωτο, καὶ ἐκεῖ θὰ ὑποστεῖς ὀδυνηρὲς τιμωρίες.

168.- ΣΤΟΝ ΔΙΑΚΟΝΟ ΕΥΤΟΝΙΟ
Γιὰ τὸ πρέπον.

Αὐτὸς ποὺ δὲν προδίνει ἐκεῖνο ποὺ πρέπει, σοφώτατε, δὲν θὰ προδοθεῖ ποτὲ ἀπὸ τὴ συμμαχία τοῦ Θεοῦ.

169.- ΣΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟ ΑΘΑΝΑΣΙΟ
Γιὰ τὴν ἀρετή.

Ἀκόμα καὶ ἂν κάποιος κατάγεται ἀπὸ βασιλικώτατη πατρίδα καὶ ἀπὸ γένος ἐνδοξώτατο, καὶ εἶναι καταπλημμυρισμένος ἀπὸ κάθε εἶδος πλούτου, καὶ ἂν ἔχει φτάσει στὴν κορυφὴ τῆς εὐγλωττίας, καὶ ἔχει στὸ στόμα του ὅλα τὰ τῶν ἀρχαίων, καὶ καμαρώνει γιὰ τὴ δύναμη καὶ τὴν ὀμορφιά του, γιὰ τὴ δόξα καὶ τὴν ἐξουσία του, καὶ ἂν ἀξιωθεῖ καὶ τὴν ἴδια τὴ βασιλεία καὶ φορεῖ τὸ στέμμα καὶ τὸ πορφυρὸ ἔνδυμα, ἀλλὰ δὲν ἔχει ἀρετή, αὐτὸν ἐγὼ θὰ τὸν κατέτασσα στοὺς δουλοπρεπεῖς. Ἐνῶ ἐὰν κάποιος εἶναι σοφὸς ὡς πρὸς τὴ δικαιοσύνη καὶ τὴ σωφροσύνη, καὶ ὡς πρὸς τὴν ἀνδρεία καὶ τὴ σύνεση, αὐτὸν θὰ τὸν κατέτασσα ἀνάμεσα στοὺς πιὸ βασιλικούς. Ἂν λοιπὸν ὁ φίλος τῆς ἀρετῆς εἶναι ἀνώτερος ἀπὸ αὐτὸν ποὺ τὰ ἔχει ὅλα μαζί, ἀπὸ ἐκεῖνον ποὺ δὲν τὰ ἔχει ὅλα (ἄλλωστε δὲν εἶναι δυνατὸν νὰ συνυπάρξουν ὅλα) θὰ εἶναι πολὺ πιὸ μακαριστὸς καὶ πιὸ ἔνδοξος, γιατὶ ἐκεῖνα πολὺ γρήγορα σβήνουν, ἐνῶ ἡ ἀρετὴ εἶναι ἀθάνατη.

170.- ΣΤΟΝ ΠΕΤΡΟ
Σ' αὐτὸ ποὺ ἔχει λεχθεῖ· «Ποιὸς εἶναι ὁ πιστὸς καὶ φρόνιμος δοῦλος;»[31].

Ὅτι βέβαια αὐτὸς ποὺ προδίνει τὴν εὐκαιρία τῶν πραγμάτων θὰ ἀποτύχει στὸ κυνήγι τῶν καλῶν, εἶναι φανερό, ὅτι ὅμως καὶ ὅλα εἶναι καλὰ στὸν καιρό τους, τὸ δίδαξε ὁ Ἐκκλησιαστής[32]. Ἐὰν λοιπὸν αὐτὰ ἔτσι εἶναι, γιατί ἐκπλήσσεσαι, ποὺ ὁ Σωτήρας εἶπε γιὰ τὸν φρόνιμο καὶ ἔμπιστο οἰκονόμο, ὅτι θὰ δώσει τὴν τροφὴ στὸν κατάλληλο καιρό;

---

32. Ἐκκλ. 3, 1. «τοῖς πᾶσι χρόνος καὶ καιρὸς παντὶ πράγματι».

ἄκαιρον πανταχοῦ λυπηρόν, καὶ ἡ εὐεργεσία καιροῦ ἀμοιρήσασα, καὶ τὸ ὄνομα ἀπόλλυσιν. Οἷον, ὁ αὐτὸς ἄρτος πεινῶντι μὲν ἡδὺς καὶ ἐράσμιος, κορεσθέντι δὲ οὐ πάνυ. Καὶ τὸ αὐτὸ ποτήριον, διψῶντι μὲν προσηνέστατον, μεθύοντι δὲ ἀηδέστατον. Τίς οὖν ἡ αἰτία, ἡ τὰ αὐτὰ μὴ τῶν αὐτῶν τυγχάνειν παρασκευάζουσα; Ἡ εὐκαιρία δηλονότι, ἡ καὶ τὸ διδόμενον μεῖζον καὶ ἐρασμιώτερον δημιουργοῦσα. Χρὴ οὖν μὴ μόνον διδόναι (μικρὸν γὰρ ἴσως τοῦτο), ἀλλὰ καὶ καιρίως. Τοῦτο γάρ, κἂν μικρὸν ᾖ τὸ δοθέν, μεῖζον ποιήσει, κἂν μέγα, μέγιστον παρασκευάσει. Διὰ τοῦτο καὶ ὁ Μελῳδός, τὰς θείας εὐεργεσίας ἀνακηρύττων, καὶ τοῦτο προσέθηκε· «Πάντα πρὸς σὲ προσδοκῶσι, δοῦναι τὴν τροφὴν αὐτοῖς εἰς εὔκαιρον». Οὐ γὰρ τρέφει μόνον, ἀλλὰ καὶ εὐκαίρως. Τοῦτο γὰρ μάλιστά ἐστι τὸ πάντα τρέφον, τὸ καιρίως δίδοσθαι. Καὶ εἰ βούλει γε καὶ ἐπὶ τῶν καρπῶν τῶν ἀπὸ τῆς γῆς τικτομένων, τοῦτο γινόμενον ἰδεῖν. Θέα ὅτι οὐκ ἐν ἑνὶ καιρῷ σῖτος καὶ οἶνος καὶ ἔλαιον καὶ ἀκροδρύων γένη καὶ ἀνθῶν ποικιλίαι, ἀλλὰ προηγοῦνται μὲν οἱ λειμῶνες, ἕπεται δὲ τὰ λήϊα, διαδέχεται δὲ ἄμπελος, παραπέμπει δὲ ἐπὶ τὴν ἐλαίαν τὸν γηπόνον ὁ βότρυς, ὥσπερ χορείαν τινὰ ἀρίστην τῶν ὡρῶν χορευουσῶν, καὶ τῷ μήκει τοῦ χρόνου τὸν γεωργὸν ἀναπαυουσῶν. Εἰ γὰρ πάνθ' ὁμοῦ εἰς τὴν οἰκείαν ἤρχετο ἀκμήν, ἐστενοχωρήθη ἂν ἡ τοῦ γεωργοῦ τέχνη ὑπὸ τῆς τοῦ χρόνου βραχύτητος, καὶ πάντα ἂν ἀπολώλει καὶ διεφθάρη, οὐκ ἀρκοῦντος αὐτοῦ ὑφ' ἓν ἅπαντα συγκομίσαι.

ΡΟΑ΄.– ΑΡΣΕΝΟΥΦΙΩ ΑΝΑΓΝΩΣΤΗ
Περὶ προσευχῆς καὶ τῶν αἰτημάτων αὐτῆς.

Χρὴ μὲν καὶ ψάλλειν μετὰ συνέσεως καὶ εὔχεσθαι μετὰ νήψεως· μὴ ἐκεῖνα δὲ αἰτεῖν ἃ ἡμῖν καλὰ δοκεῖ εἶναι, ἀλλ' ἅπερ ἂν αὐτὸς ὁ διδοὺς εἰδείη χρήσιμα εἶναι καὶ συμφέροντα. Πολλοὶ γὰρ πλούτου μὲν ἕνεκα βιωτὸν ἐσχήκασι τὸν βίον, καὶ

Γιατὶ τὸ ἄκαιρο εἶναι παντοῦ λυπηρό, καὶ ἡ εὐεργεσία, ἂν δὲν γίνει στὸν κατάλληλο καιρό, χάνει καὶ τὸ ὄνομά της. Γιὰ παράδειγμα· Τὸ ἴδιο ψωμὶ σ' αὐτὸν ποὺ πεινάει εἶναι γλυκὸ καὶ ποθητό, ἐνῶ στὸν χορτασμένο ὄχι. Καὶ τὸ ἴδιο ποτήρι, σ' αὐτὸν ποὺ διψᾶ εἶναι εὐπρόσδεκτο, ἐνῶ σ' αὐτὸν ποὺ εἶναι μεθυσμένος προκαλεῖ ἀηδία. Ποιὰ λοιπὸν ἡ αἰτία ποὺ κάνει τὰ ἴδια πράγματα νὰ μὴ ἀντιμετωπίζονται μὲ τὸν ἴδιο τρόπο; Ἡ εὐκαιρία φυσικά, ἡ ὁποία κάνει αὐτὸ ποὺ δίνεται μεγαλύτερο καὶ πιὸ ἐπιθυμητό. Πρέπει λοιπὸν ὄχι μόνο νὰ δίνουμε (γιατὶ αὐτὸ ἴσως εἶναι μικρό), ἀλλὰ νὰ τὸ δίνουμε στὴν ὥρα του. Γιατὶ αὐτό, ἔστω καὶ ἂν ἐκεῖνο ποὺ δόθηκε εἶναι μικρό, θὰ τὸ κάνει μεγαλύτερο. Καὶ ἂν εἶναι μεγάλο, θὰ τὸ κάνει μέγιστο. Γι' αὐτὸ καὶ ὁ Ψαλμωδός, διακηρύσσοντας τὶς εὐεργεσίες τοῦ Θεοῦ, πρόσθεσε καὶ αὐτό· «Ὅλα ἀπὸ σένα περιμένουν νὰ τοὺς δώσεις τὴν τροφή τους στὴν κατάλληλη ὥρα»[33]. Δηλαδὴ δὲν τὰ τρέφει μόνο, ἀλλὰ καὶ στὴν κατάλληλη ὥρα. Γιατὶ αὐτὸ σημαίνει τὸ ὅτι τρέφει τὰ πάντα, τὸ ὅτι δίνονται στὴν ὥρα τους. Καὶ ἂν θέλεις καὶ στοὺς καρπούς, ποὺ παράγονται ἀπὸ τὴ γῆ, θὰ δεῖς ὅτι συμβαίνει τὸ ἴδιο. Πρόσεχε, ὅτι δὲν δίνονται τὸν ἴδιο καιρὸ τὸ σιτάρι, τὸ κρασὶ καὶ οἱ καρποὶ τῶν ὀπωροφόρων δένδρων καὶ οἱ ποικιλίες τῶν λουλουδιῶν, ἀλλὰ προηγοῦνται τὰ λιβάδια, ἀκολουθοῦν τὰ σιτηρά, τὰ διαδέχεται τὸ ἀμπέλι, καὶ τὸ τσαμπὶ παραπέμπει τὸν καλλιεργητὴ στὴν ἐλιά, σὰν νὰ στήνουν κάποιον ἄριστο χορὸ οἱ ἐποχές, καὶ ποὺ μὲ τὸ μῆκος τοῦ χρόνου ἀναπαύουν τὸν γεωργό. Γιατί, ἂν ἔφταναν στὴν ὡρίμανσή τους ὅλα μαζί, θὰ δυσκολευόταν ἡ τέχνη τοῦ γεωργοῦ ἀπὸ τὴ στενότητα τοῦ χρόνου, καὶ θὰ τὰ ἔχανε ὅλα καὶ θὰ σάπιζαν, ἐπειδὴ δὲν θὰ τοῦ ἔφτανε ὁ χρόνος νὰ τὰ μαζέψει ὅλα μονομιᾶς.

171.- ΣΤΟΝ ΑΝΑΓΝΩΣΤΗ ΑΡΣΕΝΟΥΦΙΟ

Γιὰ τὴν προσευχὴ καὶ τὰ αἰτήματα αὐτῆς.

Πρέπει βέβαια καὶ νὰ ψάλλουμε μὲ σύνεση καὶ νὰ προσευχόμαστε μὲ νηφαλιότητα, καὶ νὰ μὴ ζητοῦμε ἐκεῖνα ποὺ νομίζουμε ὅτι εἶναι καλά, ἀλλὰ αὐτὰ ποὺ ὁ ἴδιος ποὺ μᾶς τὰ δίνει γνωρίζει ὅτι εἶναι χρήσιμα καὶ συμφέροντα. Γιατὶ πολλοί, ἐξαιτίας τοῦ πλούτου ἔκαναν

33. Ψαλμ. 103, 27.

τέλος ἐπιβουλευθέντες καὶ τῆς παρούσης καὶ τῆς μελλούσης ζωῆς ἐξέπεσον, ἀρχὴν δὲ μνηστευσάμενοι τὴν ὠδίνουσαν κλοπῶν (οὐ γὰρ ἂν φαίην κερδῶν) ἀφορμάς, καὶ ὧν εἶχον ἀπεστερήθησαν. Εὐπρόσωπον δὲ γυναῖκα σπουδάσαντες ἀγάγεσθαι, ὡς διὰ τοῦτ' εὐφρανθησόμενοι, διὰ τοῦτο μάλιστα καὶ κινδύνοις καὶ πολέμοις περιέπεσον, ῥώμης δὲ καὶ εὐεξίας εἰς ἄκρον ἐλθεῖν σπουδάσαντες, μετὰ τοῦ θηριώδη βίον βιῶσαι, καὶ τὴν τῆς ψυχῆς ἀγνοῆσαι εὐγένειαν (τῷ ἐπισκοτῶσαι αὐτοῖς τὰς ἀρίστας ἐνεργείας), τέλος καὶ θηρῶν βρῶμα γεγόνασιν, ἀκλεεῖς καὶ ἐπάρατον ὑπομείναντες πέρας. Πάντ' οὖν ταῦτα ἀφέντες, ἐκεῖνα αἰτῶμεν παρὰ Θεοῦ, ἅπερ ἂν αὐτὸς εἰδείη χρήσιμα εἶναι.

ΡΟΒ'.– ΤΩ ΑΥΤΩ

Περὶ πλούτου, πενίας, δόξης, ἀδοξίας, ἀρχῆς καὶ ῥώμης, καὶ ὅτι οὐ χρὴ ταῦτα αἰτιᾶσθαι, ὄργανα δυνάμενα εἶναι ἀρετῆς τε καὶ κακίας, ἀλλὰ τὴν ἑαυτῶν προαίρεσιν.

Καλὸς ὁ πλοῦτος τῷ εὖ χρῆσθαι καὶ διοικεῖν δυναμένῳ. Καλὴ ἡ πενία τῷ γενναίως φέρειν ἐπισταμένῳ. Καλὴ καὶ ἡ δόξα τῷ εἰς προστασίαν τῶν καταπονουμένων αὐτῇ χρωμένῳ. Καλὴ καὶ ἡ ἀδοξία τῷ φιλοσοφεῖν ᾑρημένῳ. Καλὴ καὶ ἡ ἀρχὴ τῷ κατὰ τὸ δίκαιον ἄρχοντι καὶ μηδὲν ἐκ τῆς ἀρχῆς εἰς τὸ ὑποδεεστέρους ἀδικεῖν προσλαμβάνοντι. Καλὴ καὶ ἡ ῥώμη τῷ εἰς ἀντίληψιν τῶν ἀσθενεστέρων αὐτὴν δαπανῶντι. Μὴ τὰ πράγματα τοιγαροῦν αἰτιώμεθα, ὄργανα ἀρετῆς καὶ κακίας δυνάμενα εἶναι, ἀλλὰ τὴν ἑαυτῶν προαίρεσιν, τὴν δι' ὑπερβάλλουσαν ῥᾳθυμίαν καὶ τῶν ὅπλων τὸ κάλλος ἐξυβρίζουσαν.

τέτοια τὴ ζωή τους ποὺ μπορεῖ κανεὶς νὰ τὴ ζήσει, στὸ τέλος ὅμως ἔπεσαν θύματα συκοφαντίας καὶ ἔχασαν καὶ τὴν παροῦσα καὶ τὴ μέλλουσα ζωή, καὶ ἐπειδὴ ἐρωτεύτηκαν τὴν ἐξουσία ποὺ γεννᾶ ἀφορμὲς κλοπῶν (γιατὶ δὲν θὰ μποροῦσα νὰ πῶ κερδῶν), στερήθηκαν καὶ ἐκεῖνα ποὺ εἶχαν. Ὅταν πάλι πάσχισαν νὰ παντρευθοῦν γυναίκα ὄμορφη, ὥστε μὲ τὸν τρόπο αὐτὸν νὰ εὐφρανθοῦν, ἐξαιτίας αὐτοῦ περιπλέχθηκαν καὶ σὲ κινδύνους καὶ σὲ πολέμους. Ἐπίσης, ὅταν προσπάθησαν νὰ φτάσουν στὸ ὑψηλότερο σημεῖο σωματικῆς δύναμης καὶ εὐεξίας, ἀφοῦ ἔζησαν ζωὴ θηρίων καὶ ἀγνόησαν τὴν εὐγένεια τῆς ψυχῆς (μὲ τὸ νὰ ἐπισκοτίσουν τὶς ἄριστες ἐνέργειες), στὸ τέλος ἔγιναν καὶ τροφὴ τῶν θηρίων, καὶ εἶχαν ἄδοξο καὶ καταραμένο τέλος. Ἀφήνοντάς τα λοιπὸν ὅλα αὐτά, νὰ ζητοῦμε ἀπὸ τὸν Θεὸ αὐτὰ ποὺ ἐκεῖνος γνωρίζει ὅτι εἶναι χρήσιμα.

172.- ΣΤΟΝ ΙΔΙΟ

Γιὰ τὸν πλοῦτο, τὴ φτώχεια, τὴ δόξα, τὴν ἀδοξία, τὴν ἐξουσία καὶ τὴ δύναμη, καὶ ὅτι δὲν πρέπει αὐτὰ νὰ τὰ κατηγοροῦμε, τὰ ὁποῖα μποροῦν νὰ γίνουν ὄργανα ἀρετῆς ἢ κακίας, ἀλλὰ τὴν προαίρεσή μας.

Ὁ πλοῦτος εἶναι καλὸς σ' αὐτὸν ποὺ τὸν χρησιμοποιεῖ μὲ τρόπο καλὸν καὶ μπορεῖ νὰ τὸν διαχειρίζεται. Καλὴ εἶναι καὶ ἡ φτώχεια σ' ἐκεῖνον ποὺ γνωρίζει νὰ τὴν ὑπομένει μὲ γενναιότητα. Καλὴ εἶναι καὶ ἡ δόξα, σ' ἐκεῖνον ποὺ τὴ χρησιμοποιεῖ γιὰ νὰ προστατεύει αὐτοὺς ποὺ καταπονοῦνται. Καλὴ εἶναι καὶ ἡ ἔλλειψη καλῆς φήμης, σ' ἐκεῖνον ποὺ ἀποφάσισε νὰ ἀντιμετωπίζει μὲ φιλοσοφικὴ διάθεση τὶς δυσκολίες τῆς ζωῆς. Καλὴ εἶναι καὶ ἡ ἐξουσία στὸν ἄρχοντα ποὺ εἶναι δίκαιος καὶ δὲν παίρνει τίποτε ἀπὸ τὴν ἐξουσία γιὰ νὰ ἀδικεῖ τοὺς κατώτερους. Καλὴ εἶναι καὶ ἡ σωματικὴ δύναμη σ' ἐκεῖνον ποὺ τὴν χρησιμοποιεῖ γιὰ τὴ βοήθεια τῶν περισσότερο ἀδυνάτων. Ἂς μὴ κατηγοροῦμε λοιπὸν τὰ πράγματα, ποὺ μποροῦν νὰ γίνουν ὄργανα καὶ τῆς ἀρετῆς καὶ τῆς κακίας, ἀλλὰ τὴ δική μας διάθεση, ἡ ὁποία ἐξαιτίας τῆς ὑπερβολικῆς ραθυμίας ἐξευτελίζει καὶ τὴν ὁμορφιὰ τῶν ὅπλων.

ΡΟΓ'.– ΤΩ ΑΥΤΩ

Περὶ τοῦ χρόνου, τοῦ ὡς σκιὰν παρερχομένου.

Τοῦ χρόνου τὸ μὲν ἀπέπτη, τὸ δὲ παρεῖναι δοκοῦν λανθάνει, τὸ δὲ μέλλον ἔτι προσδοκώμενον παρέρχεται. Καθάπερ γὰρ ὕδατος σφοδρὰ ῥύμη τὴν ἀκριβῆ αἴσθησιν ἑαυτῆς οὐ συγχωρεῖ διαγνωσθῆναι (προαιρεῖται γὰρ τῇ ὀξύτητι τὴν κατανόησιν), οὕτω, τάχα δὲ πλέον, ἡ τοῦ χρόνου ὁρμὴ εἰς τέλος ἐπειγομένη, ῥᾳδίως μὲν διεξέρχεται, τοῖς δ' ἀνθρώποις τρανὸν οὐδὲν οὐδὲ πάγιον δείξασα, ὥσπερ ὀνείρων σκιὰς καταλιμπάνει.

ΡΟΔ'.– ΕΥΤΟΝΙΩ ΔΙΑΚΟΝΩ

Περὶ εὐγνώμονος γνώμης καὶ ἐρρωμένης ψυχῆς.

Ἔχε, ὦ σοφέ, τὴν γνώμην εὐγνώμονα, καὶ τὴν ψυχὴν ἐρρωμένην, καὶ πάντα τὰ συμπίπτοντα εἰς τὴν σὴν εὐδοκίμησιν καὶ τὴν τῶν ἐχθρῶν αἰσχύνην περιτραπήσεται. Εἰ δ' ὀλιγωρήσειας, διαφθερεῖς μὲν τὸ σαυτοῦ κλέος, πανήγυριν δὲ τοῖς ἐναντίοις καὶ λύπην τοῖς ἐπιτηδείοις προξενήσεις.

ΡΟΕ'.– ΔΩΡΟΘΕΩ ΛΑΜΠΡΟΤΑΤΩ

Ὅτι χρὴ τὸν κριτὴν καὶ συνετὸν εἶναι καὶ ἀδέκαστον, καὶ χρημάτων καὶ αἰδοῦς καὶ κολακείας καὶ φόβου κρείττονα.

Τῶν ἀνθρώπων οἱ μὲν διὰ τὴν βραδυτῆτα νοῦ οὐκ ἐφικνοῦνται τοῦ δικαίου, οἱ δὲ δι' ὀξύτητα μὲν ἐφικνοῦνται, διὰ δὲ φιλοχρηματίαν καπηλεύουσι, χρυσῷ προπίνοντες τὴν ψῆφον καὶ τὸν τῆς δικαιοσύνης ζυγὸν λήμματι παρασαλεύοντες. Εἰσὶ δὲ οἱ καὶ αἰδοῖ καὶ κολακείᾳ καὶ φόβῳ διαφθείροντες τοῦτον. Χρὴ τοιγαροῦν τὸν κριτὴν καὶ συνετὸν εἶναι καὶ ἀδέκαστον, καὶ χρημάτων καὶ αἰδοῦς καὶ κολακείας καὶ φόβου κρείττονα. Εἰ γὰρ ὁποτέρῳ τῶν παθῶν τούτων χειρωθείη, τὸ πᾶν διαφθερεῖ. Εἰ τοίνυν τὸ μὲν εὑρεῖν τὸ δίκαιον ἔργον, τὸ μὴ δια-

173.- ΣΤΟΝ ΙΔΙΟ

Γιὰ τὸν χρόνο, ποὺ φεύγει καὶ χάνεται σὰν σκιά.

Ἀπὸ τὸν χρόνο ἕνα μέρος βέβαια πέρασε, ἐνῶ τὸ ἄλλο, ποὺ φαίνεται ὅτι εἶναι παρόν, μᾶς φεύγει ἀπαρατήρητο, καὶ τὸ μέλλον, ἐνῶ ἀκόμα τὸ περιμένουμε, περνᾶ. Ὅπως ἀκριβῶς δηλαδὴ ἡ πολὺ γρήγορη ροὴ τοῦ νεροῦ δὲν ἐπιτρέπει νὰ γίνει ἀντιληπτὴ ἡ ἀκριβὴς αἴσθησή της (γιατὶ μετακινεῖ τὴν κατανόηση μὲ τὴν ταχύτητα), ἔτσι, ἴσως μάλιστα καὶ περισσότερο, ἡ ροὴ τοῦ χρόνου, ἐπειδὴ βιάζεται νὰ φτάσει στὸ τέρμα, περνᾶ βέβαια εὔκολα, καὶ χωρὶς νὰ δείξει στοὺς ἀνθρώπους τίποτε τὸ σπουδαῖο οὔτε τὸ σταθερό, ἀφήνει πίσω του κάτι σὰν σκιὲς ὀνείρων.

174.- ΣΤΟΝ ΔΙΑΚΟΝΟ ΕΥΤΟΝΙΟ

Γιὰ τὴν εὐγνώμονα διάθεση καὶ τὴ δυνατὴ ψυχή.

Νὰ ἔχεις, σοφέ, τὴ διάθεση εὐγνώμονα, καὶ τὴν ψυχὴ δυνατή, καὶ ὅλα ὅσα συμβαίνουν θὰ συμβάλουν στὴ δική σου ἐπιτυχία καὶ τὸν καταντροπιασμὸ τῶν ἐχθρῶν. Ἐὰν ὅμως ὀλιγωρήσεις, ἀπὸ τὴ μιὰ θὰ καταστρέψεις τὴ δόξα σου, καὶ ἀπὸ τὴν ἄλλη θὰ προκαλέσεις πανηγυρισμὸ στοὺς ἐχθρούς σου, καὶ λύπη στοὺς φίλους σου.

175.- ΣΤΟΝ ΕΚΛΑΜΠΡΟΤΑΤΟ ΔΩΡΟΘΕΟ

Ὅτι πρέπει ὁ κριτὴς καὶ συνετὸς νὰ εἶναι καὶ ἀδέκαστος, καθὼς ἐπίσης ἀνώτερος καὶ χρημάτων καὶ ντροπῆς, καὶ κολακείας καὶ φόβου.

Ἀπὸ τοὺς ἀνθρώπους ἄλλοι ἐξαιτίας τῆς βραδύτητας τοῦ νοῦ τους δὲν πλησιάζουν τὸ δίκαιο, ἐνῶ ἄλλοι, ἀπὸ ταχύτητα ἀντίληψης, τὸ πλησιάζουν βέβαια, ἀλλ' ἐξαιτίας τῆς φιλοχρηματίας τους τὸ ἐκμεταλλεύονται, δίνοντας τὴν ψῆφο τους ἔναντι χρυσαφιοῦ, καὶ μὲ τὴ δωροδοκία παρασαλεύουν τὴ ζυγαριὰ τῆς δικαιοσύνης. Ὑπάρχουν καὶ ἐκεῖνοι ποὺ μὲ ντροπὴ καὶ κολακεία καὶ φόβο τὸ διαφθείρουν. Πρέπει λοιπὸν ὁ κριτὴς καὶ συνετὸς νὰ εἶναι, καὶ ἀδέκαστος, καὶ ἀνώτερος χρημάτων καὶ ντροπῆς καὶ κολακείας καὶ φόβου. Γιατί, ἂν νικηθεῖ ἀπὸ ὁποιοδήποτε ἀπὸ τὰ πάθη αὐτά, θὰ διαφθείρει τὰ πάντα. Ἐὰν λοιπὸν τὸ νὰ βρεῖ τὸ δίκαιο εἶναι δύσκολο, καὶ ὅταν τὸ

φθεῖραι εὑρόντα ἐργωδέστερον, οὐ χρὴ ἐπιρρίπτειν τινὰ ἑαυτὸν τῷ κρίνειν. Εἰ δὲ Ζώσιμος, ὡς γέγραφας, καὶ βραδὺς ὢν καὶ χρημάτων, εἰ καί τις ἕτερος ἐραστής, ἑαυτὸν ἐπιρρίπτει εἰς τὸ τοῖς ἀμφισβητοῦσιν δικάζειν (καίτοι ἐπὶ τῷ πεπρακέναι τὸ δίκαιον φωραθεὶς καὶ παρ' αὐτῶν τῶν ἀμφισβητουμένων καταγνωσθεὶς καὶ παρὰ πάντων πολλάκις καταβοηθείς), μὴ θαυμάσῃς. Εἰ μὲν γὰρ τῶν ἄλλων παθῶν κεκρατηκώς, τούτῳ ἥττητο, τάχα ἄν τις εἰκότως ἐθαύμασεν. Εἰ δέ, ὡς φῄς, πᾶσιν τοῖς αἰσχίστοις πάθεσι κατακράτος ἡττηθεὶς καὶ τούτῳ ἑάλω, οὐ χρὴ θαυμάζειν.

ΡΟΣ'.– ΙΣΙΔΩΡΩ ΔΙΑΚΟΝΩ

Εἰς τὸ γεγραμμένον· «Μὴ οὐκ ἔχομεν ἐξουσίαν ἀδελφὴν γυναῖκα περιάγειν;».

Ἕκαστος μὲν τῶν ἀποστόλων, ὡς ἔπος εἰπεῖν, μίαν ἀπολαβὼν χώραν, ταύτην ἐρρύθμισεν, ὁ δὲ Παῦλος, ὥσπερ ὑπόπτερος γεωργός, πᾶσαν σχεδὸν ἐπέδραμε τὴν οἰκουμένην, καὶ εἰς αὐτὰς ἐφοίτησε τῆς γῆς τὰς ἐσχατιάς, καὶ τοὺς ἀκηκοότας ῥυθμίζων, καὶ τοῖς ἀνηκόοις ἐνσπείρων τὸ θεῖον κήρυγμα. Διὸ ἐκείνοις μὲν καὶ γυναῖκες ἠκολούθουν, οὐ παιδοποιίας οὐδὲ συμβιώσεως ἕνεκεν, ἀλλ' ἐκ τῶν οἰκείων χορηγοῦσαι καὶ τρέφουσαι τοὺς τῆς ἀκτημοσύνης κήρυκας. Τούτῳ δὲ ἀκολουθῆσαι οὔτ' ἐπετράπησαν οὔτε ἠδυνήθησαν, εἰς αὐτά, ὡς ἔφην, τρέχοντι τῆς γῆς τὰ πέρατα. Καὶ τί θαυμαστόν, εἰ τὸ γυναικεῖον ἀπελείφθη γένος, ὁπότε καὶ Βαρνάβας, ὁ τῆς ξυνωρίδος κοινωνός, ὀκλάσας πρὸς τὸν ἀπέραντον ἐκεῖνον δρόμον τε καὶ πόνον, παρεχώρησε τῷ Παύλῳ τὰ πρωτεῖα; Ὅτε γοῦν αὐτῷ συνετέταχτο ταῦτ' ἔγραφεν ὁ Παῦλος, «Μὴ οὐκ ἔχομεν ἐξουσίαν ἀδελφὴν γυναῖκα περιάγειν, ὡς καὶ οἱ λοιποὶ ἀπόστολοι καὶ οἱ ἀδελφοὶ τοῦ Κυρίου καὶ Κηφᾶς; Ἢ μόνος ἐγὼ καὶ Βαρνάβας οὐκ ἔχομεν ἐξουσίαν μὴ ἐργάζεσθαι;». Οὐχ ὅτι γυναιξὶ

34. Α' Κορ. 9, 5.

βρεῖ εἶναι δυσκολώτερο νὰ μὴ τὸ διαφθείρει, δὲν πρέπει κανεὶς νὰ ἀναλαμβάνει νὰ κρίνει. Ἐὰν ὅμως ὁ Ζώσιμος, ὅπως ἔχεις γράψει, ἐπειδὴ καὶ βραδύνους εἶναι, καὶ ἐραστὴς τῶν χρημάτων περισσότερο ἀπὸ κάθε ἄλλον, ἀναλαμβάνει νὰ δικάζει αὐτοὺς ποὺ ἔχουν ἀμφισβητήσεις (ἂν καὶ βέβαια ἔχει συλληφθεῖ ἐπ' αὐτοφώρω νὰ πουλάει τὸ δίκαιο, καὶ ἀπὸ τοὺς ἴδιους τοὺς ἀμφισβητοῦντες κατηγορήθηκε, καὶ πολλὲς φορὲς ἀπὸ ὅλους ξεφωνήθηκε), νὰ μὴν ἀπορεῖς. Γιατί, ἂν εἶχε ἐξουσιάσει τὰ ἄλλα πάθη, καὶ εἶχε νικηθεῖ μόνο ἀπ' αὐτό, θὰ μποροῦσε ἴσως κάποιος δικαιολογημένα νὰ ἀπορήσει. Ἐφόσον ὅμως, ὅπως λές, ἔχει νικηθεῖ ἀπὸ ὅλα τὰ αἰσχρότατα πάθη ἐξολοκλήρου, καὶ κυριεύθηκε καὶ ἀπὸ αὐτό, δὲν πρέπει νὰ ἀπορεῖς.

176.- ΣΤΟΝ ΔΙΑΚΟΝΟ ΙΣΙΔΩΡΟ

Σ' αὐτὸ ποὺ ἔχει γραφεῖ· «Μήπως δὲν ἔχουμε δικαίωμα νὰ φέρουμε μαζί μας γυναίκα ἀδελφή;»[34].

Ὁ καθένας ἀπὸ τοὺς ἀποστόλους, ποὺ λέγει ὁ λόγος, ἀφοῦ πῆρε μιὰ χώρα, τὴν ὀργάνωσε, ὁ Παῦλος ὅμως σὰν φτερωτὸς γεωργὸς διέτρεξε σχεδὸν ὁλόκληρη τὴν οἰκουμένη, καὶ ἔφτασε στὰ πέρατα τῆς γῆς, ὀργανώνοντας ἐκείνους ποὺ εἶχαν ἀκούσει τὸν θεῖο λόγο, καὶ σπέρνοντας τὸ θεῖο κήρυγμα σὲ ἐκείνους ποὺ δὲν τὸ εἶχαν ἀκούσει. Γι' αὐτὸ ἐκείνους (τοὺς Ἀποστόλους) βέβαια τοὺς ἀκολουθοῦσαν καὶ γυναῖκες, ὄχι γιὰ τὴν ἀπόκτηση παιδιῶν, οὔτε γιὰ συμβίωση, ἀλλὰ γυναῖκες, οἱ ὁποῖες ἀπὸ τὰ ὑπάρχοντά τους χορηγοῦσαν καὶ ἔτρεφαν τοὺς κήρυκες τῆς ἀκτημοσύνης. Αὐτὸν ὅμως πού, ὅπως εἶπα, διέτρεχε ὅλα τὰ πέρατα τῆς γῆς, δὲν ἐπετράπη οὔτε μπόρεσαν νὰ τὸν ἀκολουθήσουν. Καὶ τί τὸ ἄξιον ἀπορίας, ἐὰν τὸ γυναικεῖο φῦλο ἀπουσίασε, ἀφοῦ καὶ ὁ Βαρνάβας, ὁ σύντροφος τῆς δυάδας, ἐπειδὴ λύγισε σ' ἐκεῖνο τὸν ἀτελείωτο δρόμο καὶ κόπο, παραχώρησε στὸν Παῦλο τὰ πρωτεῖα; Ὅταν λοιπὸν ἦταν μαζί του, τότε ὁ Παῦλος ἔγραφε· «Μήπως δὲν ἔχουμε δικαίωμα νὰ φέρουμε μαζί μας χριστιανὴ γυναίκα, ὅπως κάνουν καὶ οἱ ἄλλοι ἀπόστολοι, καὶ οἱ ἀδελφοὶ τοῦ Κυρίου, καὶ ὁ Πέτρος; Ἢ μήπως μόνο ἐγὼ καὶ ὁ Βαρνάβας δὲν ἔχουμε δικαίωμα νὰ μὴ ἐργαζόμαστε;»[34α]. Ὄχι ὅτι συγκατοικοῦσαν μὲ γυναῖκες οἱ σύμ-

34α. Α΄ Κορ. 9, 5-6.

συνῴκουν οἱ τῆς παρθενίας σύμβουλοι καὶ τῆς σωφροσύνης κήρυκες καὶ τῶν παρθένων ῥυθμίζοντες τοὺς χορούς. Τίς γὰρ ἂν αὐτῶν ἠνέσχετο περὶ παρθενίας συμβουλευόντων, εἴ γε αὐτοὶ ἡδοναῖς ἐγκαλινδούμενοι ἡλίσκοντο; Οὐ τοίνυν τοῦτό φησιν (ἦ γὰρ ἂν εἶπε γαμετὴν γυναῖκα, ὡς οἱ συμβολαιογράφοι ἐν τοῖς προικῴοις γράφουσι, τρέφειν τε καὶ ἀμφιάζειν, ὡς προσήκει γυναικὶ γαμετῇ κατὰ δύναμιν, τὴν μὲν γυναῖκα τάττοντες διὰ τὴν φύσιν, τὴν δὲ γαμετὴν διὰ τὴν συμβίωσιν), ἀλλ' ἐπειδὴ ἠκολούθουν αὐτοῖς, ἐκ τῶν ὑπαρχόντων αὐταῖς τρέφουσαι τοὺς τῆς ἀκτημοσύνης ὑφηγητάς, ἀδελφὴν μὲν εἶπεν, ἵνα τὴν ἁγνείαν ἐμφανίσῃ, γυναῖκα δέ, ἵνα τὴν φύσιν δηλώσῃ. Γυνὴ γὰρ καὶ ἡ παρθένος καλεῖται, κἂν ἀνέπαφος ᾖ· γυνὴ διὰ τὸ εἶδος, κἂν ἀκέραιος ᾖ· γυνὴ διὰ τὴν φύσιν, κἂν ἀρρενικῆς ὁμιλίας ἀμύητος τυγχάνῃ. Ὅτι δὲ τοῦτο οὐκ ἀπὸ σκοποῦ τυγχάνει, περὶ τοῦ κατὰ σάρκα τετέχθαι τὸν Σωτῆρα ὑπὸ τῆς ἁγίας Παρθένου Μαρίας λέγων αὐτὸς οὗτος ὁ Παῦλος, οὗ τὴν λέξιν παρερμηνεύειν τινὲς κακούργως τολμῶσιν, ἔφη, «Γενόμενον ἐκ γυναικός». Τί ποιεῖς, ὦ Παῦλε; Τὴν Παρθένον γυναῖκα καλεῖς; Ναί, φησί, γυναῖκα καλῶ διὰ τὴν φύσιν, παρθένον δὲ ἔχω τῇ γνώμῃ. Γυνὴ γὰρ ἡ παρθένος, κἂν ἀνέπαφος ᾖ. Γυνὴ διὰ τὸ σχῆμα καὶ τὴν πλάσιν, παρθένος διὰ τὸ ἀκέραιον καὶ τὸ καθαρόν.

ΡΟΖ'.– ΠΕΤΡΩ ΑΝΑΓΝΩΣΤΗ

Περὶ θεραπείας τῶν ἐκ τῆς ἁμαρτίας τραυμάτων.

Εἰ καὶ τὸ ἰατρεῖον, ὦ βέλτιστε, κοινὸν καὶ τὰ βοηθήματα πᾶσι πρόκειται, διὰ τοῦθ' ἡ θεραπεία οὐκ ἔστι κοινή, ἐπειδὴ παρὰ τὴν τῶν χρωμένων προαίρεσιν γίνεται. Ὁ μὲν γὰρ μεταχειρισάμενος τὸ βοήθημα καὶ ἐπιθεὶς τῷ τραύματι, ἀπώνατο τῆς ἰατρείας, ὁ δ' ἀμελήσας, μεῖζον καὶ ἀργαλεώτερον εἰργάσατο τὸ νόσημα καὶ εἰς τὴν ἐλεεινοτάτην κατέστρεψε τελευτήν. Μὴ τοίνυν ἀλγῶμεν θεραπευόμενοι, ἀλλὰ φέρωμεν τὰς πικρὰς

βουλοι τῆς παρθενίας καὶ κήρυκες τῆς σωφροσύνης, ποὺ ρύθμιζαν τοὺς ὁμίλους τῶν παρθένων. Γιατὶ ποιὸς θὰ τοὺς ἀνεχόταν ὅταν συμβούλευαν γιὰ τὴν παρθενία, ἐὰν συλλαμβάνονταν οἱ ἴδιοι νὰ κυλιοῦνται στὶς ἡδονές; Δὲν λέγει λοιπὸν αὐτὸ (γιατὶ θὰ ἔλεγε νόμιμη γυναίκα, ὅπως γράφουν οἱ συμβολαιογράφοι στὰ προικῶα συμβόλαια, νὰ τρέφουν καὶ νὰ ντύνουν ὅπως πρέπει σὲ παντρεμένη γυναίκα ἀνάλογα μὲ τὴ δύναμή τους, χρησιμοποιώντας τὸν ὅρο γυναίκα λόγω τῆς φύσεώς της, καὶ τὸν ὅρο γαμετή, λόγω τῆς συμβίωσης), ἀλλ' ἐπειδὴ τοὺς ἀκολουθοῦσαν τρέφοντας ἀπὸ τὰ ὑπάρχοντά τους τοὺς δασκάλους τῆς ἀκτημοσύνης, τὴν ὀνόμασε ἀδελφή, γιὰ νὰ δείξει τὴν ἁγνότητα, καὶ γυναίκα, γιὰ νὰ δηλώσει τὴ φύση της. Γιατὶ γυναίκα ὀνομάζεται καὶ ἡ παρθένος, ἔστω καὶ ἂν εἶναι ἀνέπαφη. Γυναίκα ἐξαιτίας τοῦ εἴδους της, ἔστω καὶ ἂν εἶναι καθαρή. Γυναίκα λόγω τῆς φύσης της, ἔστω καὶ ἂν εἶναι ἀμύητη στὴ συνουσία μὲ τὸ ἄνδρα. Ὅτι αὐτὸ δὲν ἔγινε ἀπὸ σκοπιμότητα, μιλώντας ὁ ἴδιος ὁ Παῦλος γιὰ τὴν κατὰ σάρκα γέννηση τοῦ Σωτήρα ἀπὸ τὴν ἁγία Παρθένο Μαρία, τοῦ ὁποίου τὴν λέξη τολμοῦν νὰ παρερμηνεύουν μὲ τρόπο κακοῦργον, εἶπε· «Ποὺ γεννήθηκε ἀπὸ γυναίκα»[35]. Τί κάνεις, Παῦλε; Ἀποκαλεῖς τὴν Παρθένο γυναίκα; Ναί, λέγει, τὴν ὀνομάζω γυναίκα ἐξαιτίας τῆς φύσεώς της, ἀλλὰ στὸν νοῦ μου τὴν ἔχω παρθένο. Γιατὶ ἡ παρθένος εἶναι γυναίκα, ἔστω καὶ ἂν εἶναι ἀνέπαφη. Γυναίκα λόγω τῆς μορφῆς καὶ τῆς πλάσης της, ἐνῶ Παρθένος λόγω τῆς ἀκεραιότητας καὶ καθαρότητάς της.

177.- ΣΤΟΝ ΑΝΑΓΝΩΣΤΗ ΠΕΤΡΟ

Γιὰ τὴ θεραπεία τῶν τραυμάτων ἀπὸ τὴν ἁμαρτία.

Ἂν καὶ τὸ ἰατρεῖο, φίλε μου, εἶναι κοινό, καὶ τὰ φάρμακα εἶναι στὴ διάθεση ὅλων, ὡστόσο ἡ θεραπεία δὲν εἶναι κοινή, ἐπειδὴ γίνεται χωρὶς τὴ συγκατάθεση αὐτῶν ποὺ τὴ χρησιμοποιοῦν. Γιατὶ κάποιος ποὺ χρησιμοποίησε τὸ φάρμακο καὶ τὸ ἔβαλε στὸ τραῦμα, ὠφελήθηκε ἀπὸ τὴ θεραπεία, ἐνῶ ἐκεῖνος ποὺ ἔδειξε ἀμέλεια, ἔκανε τὴν ἀρρώστια μεγαλύτερη καὶ πιὸ ἀφόρητη, καὶ κατέληξε στὸ πιὸ ἐλεεινὸ τέλος. Ἂς μὴ πονοῦμε λοιπὸν ὅταν θεραπευόμαστε, ἀλλὰ νὰ ὑποφέρουμε τὶς

35. Γαλ. 4, 4.

τῆς τοιαύτης ἰατρείας μεθόδους· ἥδιστον μὲν γὰρ ὕστερον ἀποτίκτει τὸν καρπόν. Ἀνάγκη γὰρ τὰ διὰ ῥᾳθυμίαν πταισθέντα πόνοις ἀφανίσαι, καὶ τὰς ἥττας κινδύνοις πολλοῖς ἀναμαχέσασθαι.

ΡΟΗ΄.– ΘΩΜΑ ΜΟΝΑΖΟΝΤΙ
Περὶ τῶν τοῦ Χαιρήμονος ἐγκλημάτων.

Ἔχρῆν μὲν τὴν σὴν ὁσιότητα, ὦ μισοπονηρίας ἱερὸν τέμενος, σιωπῇ παραδοῦναι τὰ λήθης ἄξια καὶ βαθείας σιγῆς, ἐπειδὴ δὲ τὴν τοῦ κατ' ἀντίφρασιν Εὐσεβίου καλουμένου ἀσέβειαν δεινῶς ἐξετραγῴδησας, ὅτι δὴ Χαιρήμονα, τὸν παρὰ τοῦ ἀοιδίμου Ἀμμωνίου, τοῦ ὄντως ἐπισκόπου, ἐπὶ τέτρασι μεγίστοις ἐγκλήμασι καθαιρεθέντα, καὶ ὡς ἀναγνώστην ἐδέξατο καὶ διάκονον, οὐκ οἶδ' ὅπως, ἐχειροτόνησε, τὸν κατὰ τοὺς ἔξωθεν νόμους δοῦναι δίκην δίκαιον ὄντα, τοῦτον εἰς τὴν τῶν ἱερῶν μυστηρίων ὑπηρεσίαν ἀδεῶς χωρῆσαι παρασκευάσας, διὰ τοῦτο οὐδὲ μέμψασθαι, καίτοι βουλόμενος, δίκαιον ᾠήθην. Εἰ γὰρ καί, ὡς ἔφης, ἕκαστον τῶν ἐγκλημάτων οὕτω μέγιστον ἦν, ὡς μὴ μόνον καθαιρέσεως ἄξιον εἶναι τὸν δράσαντα, ἀλλὰ καὶ τὴν διὰ ξίφους ὑπομεῖναι τιμωρίαν, ἀλλ' οὖν γε ἄρρητον ὄν, ἄμεινον ἂν ἦν. Ῥηθῆναι γὰρ ὀφείλει ὅσα ἀξιάκουστα καὶ εἰς δικαιοσύνην καὶ σωφροσύνην τοὺς ἀκροωμένους ἀλείφει.

ΡΟΘ΄.– ΠΟΙΜΕΝΙΩ ΠΡΕΣΒΥΤΕΡΩ
Περὶ ταπεινοφροσύνης καὶ τῶν μέτρων τῶν εἰς αὐτὴν ἀγόντων.

Εἰς τὴν τῆς ταπεινοφροσύνης κορυφὴν ἀναβησόμεθα (οὐ γὰρ ἂν κατάβασιν, ἀλλ' ἀνάβασιν ταύτην ἔγωγε ὁρισαίμην), εἰ τὸν ὀλέθριον τῆς ὑπερηφανίας ὄγκον καὶ τὴν εἰς ᾅδου καταβιβάζουσαν τῆς ἀλαζονείας φλεγμονὴν σβέσοιμεν, καὶ διὰ πάντων ἀσκοῖμεν τὸ μέτριον, καὶ μηδὲν παρίδωμεν, ὡς οὐ παρὰ

ὀδυνηρὲς μεθόδους αὐτῆς τῆς θεραπείας, ἐπειδὴ στὸ τέλος ἀποφέρει γλυκύτατο καρπό. Γιατὶ εἶναι ἀνάγκη τὰ σφάλματα ποὺ κάναμε ἐξαιτίας τῆς ραθυμίας μας, νὰ τὰ ἐξαλείψουμε μὲ κόπους, καὶ νὰ ἀντιμετωπίσουμε τὶς ἧττες μὲ κινδύνους.

178.- ΣΤΟΝ ΜΟΝΑΧΟ ΘΩΜΑ
Γιὰ τὰ ἐγκλήματα τοῦ Χαιρήμονα.

Ἔπρεπε βέβαια ἡ ὁσιότητά σου, ἱερὲ ναὲ τοῦ μίσους τῆς κακίας, νὰ παραδώσει στὴ σιωπὴ αὐτὰ ποὺ εἶναι ἄξια νὰ λησμονηθοῦν καὶ νὰ πέσουν σὲ βαθειὰ σιωπή, ἐπειδὴ ὅμως περιέγραψες μὲ τρόπο τραγικὸ τὴν ἀσέβεια αὐτοῦ ποὺ κατ' εὐφημισμὸν ὀνομάζεται Εὐσέβιος, ὅτι δηλαδὴ τὸν Χαιρήμονα, ὁ ὁποῖος ἀπὸ τὸν ἀείμνηστο Ἀμμώνιο, τὸν πραγματικὸ ἐπίσκοπο, καθαιρέθηκε γιὰ τέσσερα πολὺ μεγάλα ἐγκλήματα, τὸν δέχθηκε ὡς ἀναγνώστη καί, δὲν ξέρω πῶς, τὸν χειροτόνησε διάκονο, καὶ αὐτὸν ποὺ σύμφωνα μὲ τοὺς μὴ χριστιανικοὺς νόμους ἔπρεπε νὰ καταδικασθεῖ, αὐτὸν τὸν προετοίμασε νὰ προχωρήσει χωρὶς φόβο στὴν ὑπηρεσία τῶν ἱερῶν μυστηρίων, γι' αὐτὸ καὶ δὲν θεώρησα σωστὸ νὰ τὸν κατηγορήσω, ἂν καὶ βέβαια ἤθελα. Γιατί, ἂν καί, ὅπως εἶπες, κάθε μιὰ ἀπὸ τὶς κατηγορίες ἦταν τόσο μεγάλη, ὥστε ὄχι μόνο ἄξιος καθαιρέσεως νὰ εἶναι ὁ δράστης, ἀλλὰ καὶ νὰ ὑποστεῖ τὴν ποινὴ τοῦ θανάτου μὲ ξίφος, ἀλλὰ βέβαια ἂν δὲν λεγόταν, θὰ ἦταν καλύτερα. Γιατὶ πρέπει νὰ λέγονται ὅσα εἶναι ἄξια νὰ ἀκουστοῦν, καὶ προγυμνάζουν γιὰ τὴ δικαιοσύνη καὶ τὴ σωφροσύνη αὐτοὺς ποὺ τὰ ἀκοῦνε.

179.- ΣΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟ ΠΟΙΜΕΝΙΟ
Γιὰ τὴν ταπεινοφροσύνη καὶ τὰ μέτρα ποὺ ὁδηγοῦν σ' αὐτήν.

Θὰ ἀνεβοῦμε στὴν κορυφὴ τῆς ταπεινοφροσύνης (γιατὶ ἐγὼ δὲν θὰ τὴν χαρακτήριζα αὐτὴν κατάβαση, ἀλλὰ ἀνάβαση), ἐὰν τὸ καταστροφικὸ φούσκωμα ποὺ προξενεῖ ἡ ὑπερηφάνεια, καὶ τὴ φλεγμονὴ τῆς ἀλαζονείας, ποὺ μᾶς κατεβάζει στὸν ἅδη, μπορούσαμε νὰ τὴν σβήσουμε, καὶ σὲ ὅλα νὰ καλλιεργοῦμε τὸ μέτριο, καὶ δὲν παραβλέψουμε τίποτε, μὲ τὴ σκέψη ὅτι δὲν θὰ ὑποστοῦμε βλάβη ἀπὸ αὐτό.

τοῦτο βλαβησόμενοι. Τοῖς γὰρ πραττομένοις ἀκολοθεῖν εἴωθεν ἡ ψυχὴ καὶ πρὸς ἃ ἐπιτηδεύει τυποῦσθαί τε καὶ σχηματίζεσθαι πέφυκεν. Οὐκοῦν ἔστω ἡμῖν καὶ σχῆμα σεμνόν, καὶ βλέμμα ἥμερον, καὶ ὀφρὺς κατεσταλμένη, καὶ βάδισμα μὴ σεσοβημένον, καὶ ἱμάτιον χρειῶδες, καὶ καθέδρα ταπεινή, καὶ τροφὴ λιτή, καὶ στρωμνὴ μὴ τῆς χρείας κρείττων, καὶ ἔπιπλα πρὸς εὐτέλειαν ἠσκημένα, καὶ οἶκος πρέπων Χριστιανοῖς, καὶ μὴν καὶ λόγος καὶ φωνὴ καὶ ἡ πρὸς τοὺς πέλας ἔντευξις πρὸς μετριότητα μᾶλλον, ἢ πρὸς φλεγμονὴν βλεπέτω. Οὕτω γάρ, διὰ πάντων ἀσκοῦντες τὸ μέτριον, εἰς τὴν οὐράνιον κορυφὴν ἀναβησόμεθα.

ΡΠ΄.– ΑΛΥΠΙΩ

Εἰς τὸ εἰρημένον· «Τίς ἀναγγελεῖ (τῷ) Ἀβραάμ, ὅτι ἡ Σάρρα θηλάζει;».

Ἐπειδὴ ἔφης, Δι' ἣν αἰτίαν ἡ Σάρρα, ὀψίγονος γεγενημένη καὶ παρόντος τοῦ Ἀβραὰμ τεκοῦσα, ἔφη, «Τίς ἀναγγελεῖ Ἀβραάμ, ὅτι Σάρρα θηλάζει παιδίον;», ἐχρῆν γὰρ εἰπεῖν, "ὅτι τέτοκε", φημί, ὅτι τὸ μέν, «Τίς ἀναγγελεῖ Ἀβραάμ», τοιοῦτόν ἐστιν· Ὦ Ἀβραάμ, τίς ἀναγγελεῖ εἰς τὴν Περσίδα, ὅτι Σάρρα, ἡ στεῖρα καὶ γραῦς, θηλάζει; Οὐ γὰρ κεῖται, Τίς ἀναγγελεῖ τῷ Ἀβραάμ, ἀλλὰ Ἀβραάμ. Εἰ δὲ βίαιόν τις ἡγεῖται, ἴσως ὁμωνύμῳ τινὶ τοῦ Ἀβραάμ. Διὸ οὐδὲ τὸ ἄρθρον προσέθηκεν. Εἰ δὲ καὶ τότε ἀπὼν ἦν ὁ πατριάρχης, οὐκ ἔχω λέγειν. Ἐκεῖνο δὲ μᾶλλον εἴποιμι, ὅτι, εἰ περὶ αὐτοῦ νομίζουσί τινες εἰρῆσθαι, καὶ περὶ παρόντων λέγεται, ὡς καὶ τό, Τίς ἀναγγελεῖ τῷ Κυρίῳ μου; Αὐτὸς Κύριος, αὐτὸς εἰσακούσει. Τὸ γὰρ φάναι, "Τίς ἑρμηνεύσει τῷ τελείῳ τὴν τοῦ ἀτελοῦς γαλακτοτροφίαν;" πλέον τοῦ πιθανοῦ τὸ περίεργον ἔχει. Καὶ περὶ μὲν τούτων ἄλις. Διὰ τοῦτο δ' οὐκ εἶπε, "τέτοκεν", ἵνα μὴ ὑποβολιμαῖον εἶναι νομισθῇ, ἀλλά, «θηλάζει». Αἱ γὰρ γάλακτος πηγαὶ τὸν τόκον ἐγγυῶνται.

Γιατὶ αὐτὰ ποὺ κάνουμε ἀκολουθεῖ συνήθως καὶ ἡ ψυχή, καὶ εἶναι φυσικὸ νὰ παίρνει τὴ μορφὴ καὶ νὰ σχηματίζεται σύμφωνα μὲ αὐτὰ ποὺ ἀσκεῖ. Λοιπὸν ἂς ἔχουμε καὶ ἐμφάνιση σεμνή, καὶ βλέμμα ἥμερο, καὶ φρύδια κατεβασμένα, καὶ βάδισμα ὄχι κουνιστό, καὶ ροῦχα ὅσα εἶναι ἀπαραίτητα, καὶ κάθισμα ταπεινό, καὶ τροφὴ λιτή, καὶ στρῶμα ὄχι καλύτερο ἀπὸ ὅ,τι χρειάζεται, καὶ ἔπιπλα φτηνῆς ποιότητας, καὶ σπίτι τέτοιο ποὺ ταιριάζει στοὺς Χριστιανούς, ἀλλὰ καὶ τὰ λόγια μας καὶ ἡ φωνή μας καὶ ἡ συνομιλία μὲ τοὺς πλησίον μας νὰ ἀποβλέπει στὴ μετριοφροσύνη μᾶλλον, παρὰ στὸν ἐρεθισμό. Γιατὶ μὲ τὸν τρόπο αὐτόν, ἀσκώντας μὲ ὅλα τὴν μετριοφροσύνη, θὰ ἀνεβοῦμε στὴν κορυφὴ τοῦ οὐρανοῦ.

180.- ΣΤΟΝ ΑΛΥΠΙΟ

Στὴ ρήση· «Ποιὸς θὰ ἀναγγείλει (στὸν) Ἀβραὰμ ὅτι ἡ Σάρρα θηλάζει;»[36].

Ἐπειδὴ ρώτησες, Γιὰ ποιὸ λόγο ἡ Σάρρα, ποὺ ἀπέκτησε παιδὶ στὰ γεράματά της, καὶ γέννησε ἐνῶ ἦταν παρὼν ὁ Ἀβραάμ, εἶπε, «Ποιὸς θὰ ἀναγγείλει στὸν Ἀβραάμ, ὅτι ἡ Σάρρα θηλάζει παιδί;», γιατὶ ἔπρεπε νὰ πεῖ, "ὅτι γέννησε", σοῦ ἀπαντῶ, ὅτι τὸ «ποιὸς θὰ ἀναγγείλει στὸν Ἀβραάμ», σημαίνει τὸ ἑξῆς· Ἀβραάμ, ποιὸς θὰ ἀναγγείλει στὴν Περσία, ὅτι ἡ Σάρρα, ἡ στεῖρα καὶ γριά, θηλάζει; Γιατὶ δὲν λέγει, Ποιὸς θὰ ἀναγγείλει στὸν Ἀβραάμ, ἀλλὰ Ἀβραάμ. Καὶ ἐὰν κάποιος τὸ θεωρεῖ βεβιασμένο, ἴσως ἐπρόκειτο γιὰ κάποιον συνώνυμο τοῦ Ἀβραάμ, γι' αὐτὸ οὔτε τὸ ἄρθρο πρόσθεσε. Ἂν ὅμως καὶ τότε ἦταν ὁ πατριάρχης ἀπών, δὲν μπορῶ νὰ τὸ πῶ. Θὰ ἔλεγα ὅμως μᾶλλον ἐκεῖνο, ὅτι, ἂν μερικοὶ νομίζουν ὅτι γι' αὐτὸν εἰπώθηκε, αὐτὸ λέγεται καὶ γι' αὐτοὺς ποὺ εἶναι παρόντες, ὅπως καὶ τό, Ποιὸς θὰ ἀναγγείλει στὸν Κύριό μου; Αὐτὸς εἶναι Κύριος, αὐτὸς θὰ ἀκούσει. Γιατὶ ἡ ἐρώτηση, Ποιὸς θὰ ἐξηγήσει στὸν τέλειο, τὴ διατροφὴ τοῦ ἀτελοῦς μὲ γάλα; περισσότερο ἀπὸ τὸ πιθανὸ περιέχει τὴν περιέργεια. Καὶ γιὰ αὐτὸ βέβαια ἀρκετά. Γι' αὐτὸ λοιπὸν δὲν εἶπε, «ἔχει γεννήσει», γιὰ νὰ μὴ θεωρηθεῖ ὅτι εἶναι νόθο, ἀλλ' εἶπε «ὅτι θηλάζει». Γιατὶ οἱ πηγὲς τοῦ γάλακτος βεβαιώνουν τὴ γέννηση. Καθόσον ἡ

36. Γεν. 21, 7.

Τοῦ γὰρ γνησίου τόκου ἡ τοῦ γάλακτος ἐπιρροὴ ἀπόδειξις ἐναργεστάτη.

ΡΠΑ΄.– ΕΥΤΟΝΙΩ ΔΙΑΚΟΝΩ

Ὅτι χρὴ φιλοσοφεῖν ἐπὶ τῷ ὑβρίζεσθαι.

Τοὺς φιλοσοφεῖν ἐπὶ τῷ ὑβρίζεσθαι μὴ βουλομένους, δύο ταῦτα προτρέψαι ὀφείλει εἰς τὸ φιλοσοφεῖν. Τό τε μηδὲν οὕτω λυπεῖν τοὺς ὑβριστάς, ὡς τὴν τῶν ὑβριζομένων ἀνεξικακίαν, τό τε οὕτως ἀμύνασθαι αὐτοὺς μὴ δύνασθαι, ὡς ἀρετὴν ἀσκοῦντας. Εἰ δὲ ἐμοὶ ἀπιστεῖς, ἄκουσον τί τῶν παλαιῶν τις περὶ τούτου ἀπεφήνατο. Ἐρωτηθεὶς γάρ, Πῶς ἂν ἀμυναίμην τὸν ἐχθρόν; ἔφη· "Αὐτὸς καλὸς κἀγαθὸς γινόμενος". Εἰ τοίνυν ὁ ἀρετὴν καὶ ἀνεξικακίαν ἀσκῶν καιρίας τοῖς ἐχθροῖς δίδωσι πληγάς, δι' ἣν αἰτίαν μὴ ταῦτα τὰ ἀμυντήρια περὶ πολλοῦ ποιούμεθα; Εἰ δέ τις καὶ συγγνώμην τοῖς ὑπὸ φθόνου βαλλομένοις νέμοι καὶ εὔξοιτο αὐτοὺς ἀνενεγκεῖν ἐκ τῆς τοιαύτης μανίας, καὶ μὴ μόνον ἀμύνασθαι μὴ ἐθέλοι, ἀλλὰ καὶ συμπάσχοι τοῖς ὑπὸ τῆς κακίας χειρωθεῖσιν, οὗτος τῷ ὄντι ἐστὶν ὁ εἰλικρινῶς φιλοσοφῆσαι ἐπιστάμενος.

ΡΠΒ΄.– ΛΑΜΠΕΤΙΩ ΕΠΙΣΚΟΠΩ

Πῶς ἡ θεία δύναμις ἐν ἀσθενείᾳ τελειοῦται.

Ὅπως ἡ δύναμις ἐν ἀσθενείᾳ ἐτελειοῦτο, συντόμως φράσω. Ἐπειδὴ γὰρ μαστιζόμενοι οἱ ἀπόστολοι τῶν μαστιζόντων περιεγίνοντο, καὶ ἐλαυνόμενοι τῶν διωκόντων ἐκράτουν, καὶ ἀποθνήσκοντες τοὺς ζῶντας ἐτρέποντο, διὰ τοῦτο τοῦτ' ἔφη. Καινὸς γὰρ ἦν τῆς νίκης ὁ τρόπος, τὸ διὰ τῶν ἐναντίων κεκρατηκέναι, καὶ ἡττᾶσθαι μὲν μηδεπώποτε, ὡς δ' αὐτούς, ὄντας κυρίους τοῦ τέλους, οὕτως ἐπὶ τοὺς ἀγῶνας ὡρμηκέναι τού-

ἄφθονη ροὴ τοῦ γάλακτος ἀποτελεῖ ὁλοκάθαρη ἀπόδειξη τοῦ γνήσιου τοκετοῦ.

181.- ΣΤΟΝ ΔΙΑΚΟΝΟ ΕΥΤΟΝΙΟ

Ὅτι πρέπει νὰ φιλοσοφεῖ κανεὶς ὅταν ἀτιμάζεται.

Ἐκείνους ποὺ δὲν θέλουν νὰ δείχνουν φιλοσοφικότητα ὅταν βρίζονται, δύο πράγματα πρέπει νὰ τοὺς προτρέψουν στὸ νὰ ἀντιμετωπίζουν τὸ πρᾶγμα μὲ φιλοσοφικότητα· καὶ τὸ γεγονὸς ὅτι τίποτε δὲν στενοχωρεῖ αὐτοὺς ποὺ τοὺς βρίζουν τόσο πολύ, ὅσο ἡ ἀνεξικακία αὐτῶν ποὺ βρίζονται, καὶ τὸ ὅτι αὐτοὶ δὲν μποροῦν νὰ ἀμυνθοῦν μὲ τὸν τρόπο αὐτόν, ἐπειδὴ ἀσκοῦν τὴν ἀρετή. Ἂν ὅμως δὲν πιστεύεις σὲ μένα, ἄκουσε τί εἶπε κάποιος ἀπὸ τοὺς παλιοὺς γιὰ τὸ θέμα αὐτό. Ὅταν δηλαδὴ κάποιος τὸν ἐρώτησε, Πῶς θὰ μποροῦσα νὰ πολεμήσω τὸν ἐχθρό μου; Ἀπάντησε· "Μὲ τὸ νὰ γίνεις ὁ ἴδιος καλὸς καὶ ἀγαθός". Ἐφόσον λοιπὸν αὐτὸς ποὺ ἀσκεῖ τὴν ἀρετὴ καὶ τὴν ἀνεξικακία, δίνει στοὺς ἐχθροὺς καίρια χτυπήματα, γιὰ ποιὸν λόγο δὲν θεωροῦμε σπουδαῖα αὐτὰ τὰ ἀμυντικὰ μέσα; Ἐὰν μάλιστα κάποιος συγχωρήσει ἐκείνους ποὺ ἀπὸ φθόνο βάλλουν ἐναντίον του, καὶ εὐχηθεῖ νὰ συνέλθουν ἀπὸ αὐτὴν τὴν μανία, καὶ ὄχι μόνο νὰ μὴ θέλει νὰ τοὺς πολεμήσει, ἀλλὰ καὶ νὰ συμπάσχει μαζὶ μὲ αὐτοὺς ποὺ κυριεύθηκαν ἀπὸ τὴν κακία, αὐτὸς εἶναι πραγματικὰ ἐκεῖνος ποὺ γνωρίζει καλὰ νὰ φιλοσοφεῖ.

182.- ΣΤΟΝ ΕΠΙΣΚΟΠΟ ΛΑΜΠΕΤΙΟ

Πῶς ἡ δύναμη τοῦ Θεοῦ ἐκδηλώνεται τέλεια ἐκεῖ ποὺ ὑπάρχει ἀδυναμία»[37].

Θὰ σοῦ πῶ μὲ συντομία πῶς ἡ δύναμη ἐκδηλωνόταν ἐκεῖ ὅπου ὑπῆρχε ἀδυναμία. Ἐπειδὴ δηλαδὴ οἱ ἀπόστολοι ὅταν μαστιγώνονταν νικοῦσαν ἐκείνους ποὺ τοὺς μαστίγωναν, καὶ ὅταν διώκονταν ὑπερίσχυαν ἐκείνων ποὺ τοὺς ἐδίωκαν, καὶ ὅταν πέθαιναν ἔκαναν τοὺς ζωντανοὺς νὰ ἀλλάζουν, γι' αὐτὸ τὸ εἶπε αὐτό. Ἦταν δηλαδὴ καινούργιος ὁ τρόπος τῆς νίκης, τὸ νὰ νικοῦν μὲ τὰ ἀντίθετα μέσα, καὶ ποτὲ βέβαια νὰ μὴ ἡττῶνται, ἀλλὰ σὰν νὰ ἦταν κύριοι τοῦ ἀποτελέ-

37. Β΄ Κορ. 12, 9.

τους. Καὶ ἵνα τοῦτο μάθῃς σαφέστερον, θέα τοὺς ἁλιτηρίους Ἰουδαίους, ὥσπερ ἐν δικτύοις αὐτοὺς ἔχοντας, καὶ διαπορροῦντας καὶ φράζοντας· «Τί ποιήσωμεν τοῖς ἀνθρώποις τούτοις;». Τὸ γὰρ δὴ θαυμαστὸν καὶ παράδοξον καὶ πᾶσαν ἔκπληξιν ὑπερβαῖνον, τοῦτο ἦν, ὅτι, ἔχοντες αὐτούς, καὶ δεσμοῦντες καὶ τύπτοντες, ἐν ἀμηχανίᾳ ἦσαν καὶ ἡττημένων ἀφίεσαν φωνάς, διὰ τούτων ἡττώμενοι, δι' ὧν ἐδόκουν κρατεῖν. Ἅπερ γὰρ εἰς ἀδοξίαν αὐτῶν ἐμηχανῶντο, ταῦτα ὑπὲρ τῆς εὐκλείας αὐτῶν ἐθεῶντο γινόμενα. Ὄντως οὖν ἡ δύναμις τοῦ Θεοῦ ἐν τῇ ἀσθενείᾳ τῶν ἀποστόλων πλέον διέλαμπεν. Οὐ γὰρ πράγματα ὑπομένοντες καὶ ἀντιστρατευόμενοι, οὐδ' ὅπλα χαλκεύοντες καὶ στρατιώτας συλλέγοντες, ἀλλὰ τὴν γνώμην παρασκευάζοντες εἰς τὸ παθεῖν μόνον, οὕτω τὰ τρόπαια πανταχοῦ ἤγειρον.

ΡΠΓ'.– ΠΑΥΛΩ

Ὅτι τοῦ ἀργεῖν καὶ ῥᾳθυμεῖν, ἄμεινον τὸ κἂν τὰ ὑπὸ τῶν ἑτέρων πονηθέντα ἐπὶ στόματος φέρειν.

Ἔοικας, ὥς φασί τινες, ἀλλοτρίοις ἐναγλαΐζεσθαι πόνοις, τοὺς ἑτέρων ἱδρῶτας καρπούμενος. Πλὴν ἀλλ' ἐκεῖνοι μὲν αἰτιῶνται, ἐγὼ δὲ ἠρέμα ἀποδέχομαι· τοῦ γὰρ ἀργεῖν καὶ ῥᾳθυμεῖν καὶ φλυαρεῖν, πολλῷ ἄμεινον τὸ κἂν τὰ τῶν ἄλλων συγγράμματα ἐπὶ στόματος ἔχειν.

ΡΠΔ'.– ΕΥΛΟΓΙΩ

Εἰς τὸ γεγραμμένον· «Τίς ἐστιν υἱός, ὃν οὐ παιδεύει πατήρ;», καὶ ὅτι δραστικώτερα τῶν ἀποφαντικῶν τὰ κατ' ἐρώτησιν προσαγόμενα.

Ὁ θεσπέσιος Παῦλος, τὸ ἀποφαίνεσθαι πολλάκις παρείς, κατ' ἐρώτησιν προάγει, τὴν ἀπόδειξιν ἡμερωτέραν καὶ δραστικωτέραν ταύτῃ γίνεσθαι οἰόμενος. Ἔφασκε γὰρ τοῖς ἐν πειρα-

38. Πράξ. 4, 16.

σματος, ἔτσι νὰ ὁρμοῦν στοὺς ἀγῶνες. Καὶ γιὰ νὰ τὸ μάθεις αὐτὸ πιὸ καθαρά, πρόσεξε τοὺς ἀλιτήριους Ἰουδαίους, ποὺ τοὺς εἶχαν πιασμένους σὰν σὲ δίχτυ, καὶ ἀποροῦσαν καὶ ἔλεγαν· «Τί νὰ κάνουμε μὲ τοὺς ἀνθρώπους αὐτούς;»[38]. Γιατὶ τὸ πιὸ ἀξιοθαύμαστο καὶ παράδοξο, ποὺ ξεπερνοῦσε κάθε ἔκπληξη, ἦταν αὐτό· ὅτι δηλαδή, ἐνῶ τοὺς εἶχαν στὰ χέρια τους καὶ τοὺς εἶχαν φυλακισμένους καὶ τοὺς χτυποῦσαν, βρίσκονταν σὲ ἀμηχανία καὶ ἔβγαζαν κραυγὲς ἡττημένων, δεχόμενοι τὴν ἧττα ἀπὸ ἐκεῖνα ἀκριβῶς, ἀπὸ τὰ ὁποῖα νόμιζαν ὅτι νικοῦν. Γιατὶ αὐτὰ ποὺ μηχανεύονταν γιὰ νὰ τοὺς στερήσουν τὴ δόξα τους, αὐτὰ ἔβλεπαν νὰ γίνονται αἰτία γιὰ νὰ δοξασθοῦν. Πραγματικὰ λοιπὸν μὲ τὴν ἀδυναμία τῶν ἀποστόλων ἔλαμπε περισσότερο ἡ δύναμη τοῦ Θεοῦ. Γιατὶ δὲν ἀντιστρατεύονταν ἀντιμετωπίζοντας δύσκολες καταστάσεις, οὔτε κατασκεύαζαν ὅπλα καὶ συγκέντρωναν στρατιῶτες, ἀλλὰ προετοιμάζοντας τὴ διάθεσή τους μόνο γιὰ νὰ κακοπαθήσουν, μὲ τὸν τρόπο αὐτὸν θριάμβευαν παντοῦ.

183.- ΣΤΟΝ ΠΑΥΛΟ

Ὅτι ἀπὸ τὸ νὰ εἴμαστε ἀργοὶ καὶ ράθυμοι, εἶναι προτιμότερο νὰ φέρουμε στὸ στόμα μας τὰ ὅσα ἔγραψαν οἱ ἄλλοι.

Μοιάζεις, ὅπως λένε μερικοί, νὰ εὐχαριστιέσαι μὲ τοὺς κόπους τῶν ἄλλων, ἐκμεταλλευόμενος τὸν ἱδρώτα τῶν ἄλλων. Πλὴν ὅμως ἐκεῖνοι βέβαια τὸ κατηγοροῦν αὐτό, ἐνῶ ἐγὼ τὸ δέχομαι μὲ ἡρεμία· γιατί, ἀπὸ τὸ νὰ εἶμαι κανεὶς ἀργὸς καὶ ράθυμος καὶ φλύαρος, πολὺ καλύτερο εἶναι τὸ νὰ ἔχει στὸ στόμα μου ἔστω καὶ τὰ συγγράμματα τῶν ἄλλων.

184.- ΣΤΟΝ ΕΥΛΟΓΙΟ

Σ' αὐτὸ ποὺ ἔχει γραφεῖ· «Ποιὸς εἶναι ὁ υἱός, τὸν ὁποῖο δὲν παιδαγωγεῖ ὁ πατέρας του;»[39], καὶ ὅτι ἀπὸ τὰ ἀποφαντικὰ πιὸ ἀποτελεσματικὰ εἶναι αὐτὰ ποὺ παρουσιάζονται μὲ ἐρώτηση.

Ὁ θεόπνευστος Παῦλος, ἀφήνοντας πολλὲς φορὲς τὸ νὰ λέγει κάτι ὡς κανόνα, παρουσιάζει τὴν ἀπόδειξη μὲ ἐρώτηση, νομίζοντας ὅτι ἔτσι γίνεται αὐτὴ πιὸ ἥμερη καὶ πιὸ ἀποτελεσματική. Πραγματικὰ

39. Ἑβρ. 12, 7.

σμοῖς οὖσι καὶ δυσχεραίνουσι· «Τίς γὰρ υἱός, ὃν οὐ παιδεύει πατήρ;», ἵνα ἐμφαντικωτέραν τῇ ἐρωτήσει τὴν ἀπόδειξιν ἀποφαί(ά)νῃ. Οὕτω καὶ ἀλλαχοῦ· «Πρέπον ἐστὶ γυναῖκα ἀκατακάλυπτον τῷ Θεῷ προσεύχεσθαι;», τῇ ἐρωτήσει τὴν ἀτοπίαν σαφεστέραν δεῖξαι πειρώμενος. Ταῖς μὲν γὰρ ἀποφάσεσι πολλοὶ καὶ ἀντιλέγειν τολμῶσι, τὰ δὲ κατ' ἐπερώτησιν προσαγόμενα, καὶ πείθει καὶ ἐπιστομίζει, καὶ πραότητος δόξαν τῷ λέγοντι περιτίθησι.

ΡΠΕ'.– ΘΕΟΔΟΣΙΩ ΣΧΟΛΑΣΤΙΚΩ

Ὅτι τὰ μὴ βιωφελῆ ἐπιτηδεύματα οὐ τέχναι εἰσί, ἀλλὰ ματαιοτεχίαι ἢ κακοτεχνίαι.

Ἐγὼ τὰ ἐπιτηδεύματα, ὧν οὐκ ἔστι τὸ τέλος βιωφελές, οὐδὲ τέχνας εἶναι ὁρίζομαι, ἀλλὰ ματαιοτεχνίας ἢ κακοτεχνίας. Τεχνικὸν γάρ ἐστι τὸ πρὸς τὸ χρήσιμον καὶ κοινωφελὲς βλέπειν.

ΡΠΣ'.– ΘΕΩΝΙ ΕΠΙΣΚΟΠΩ

Εἰς τὸ εἰρημένον, «Οἱ τὰ ἐπίγεια φρονοῦντες ...».

Ὁ ἀπόστολος, ὦ σοφώτατε, τοὺς μὲν τὰ ἐπίγεια φρονοῦντας αἰτιασάμενος, ἔφη· «Ἡμῶν δὲ τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει», τοὺς μικρὰ καὶ φαῦλα πράσσοντας, τοῖς μεγάλα καὶ νεανικὰ ἀντιτάττων. Οἱ μὲν γὰρ εὐτελεῖς εἰσι καὶ ταπεινοί, οἱ δὲ μεγαλοφυεῖς καὶ οὐρανομήκεις. Τοὺς δὲ κατὰ τῶν ἀδελφῶν φρονοῦντας καταστέλλων, ἔλεγε· «Μὴ τὰ ὑψηλὰ φρονοῦντες, ἀλλὰ τοῖς ταπεινοῖς συνεπαγόμενοι», οὐ τὰ ὑπερκόσμια αὐτοὺς φαντάζεσθαι κωλύων, ἀλλὰ τὴν ὑπεροψίαν καὶ μεγαλαυχίαν ἐκκόπτων. Ἄλλο γὰρ μεγαλοφροσύνη, τουτέστι μεγαλοψυχία, καὶ ἄλλο ὑπερηφανία, τουτέστιν ἀλαζονεία. Ἡ μὲν γὰρ πάντα δεύτερα ἡγεῖται τὰ συμβαίνοντα τῆς οἰκείας ἀνδρείας, ἡ δὲ πάντας ἀνθρώπους δευτέρους τῆς οἰκείας εὐτελείας. Ἡ μὲν τὰ

40. Α' Κορ. 11, 13.
41. Φιλιπ. 3, 19.

ἔλεγε σ᾽ αὐτοὺς ποὺ βρίσκονται σὲ δοκιμασία καὶ δυσανασχετοῦν· «Ποιὸς υἱὸς εἶναι ἐκεῖνος ποὺ δὲν τὸν παιδαγωγεῖ ὁ πατέρας του;», ὥστε μὲ τὴν ἐρώτηση νὰ κάνει πιὸ ἀποτελεσματικὴ τὴν ἀπόδειξη. Ἔτσι καὶ ἀλλοῦ λέγει· «Πρέπει ἡ γυναίκα νὰ προσεύχεται στὸν Θεὸ χωρὶς κάλυμμα;»[40], προσπαθώντας νὰ δείξει μὲ τὴν ἐρώτηση τὴν ἀπρέπεια. Γιατὶ πρὸς τὰ λεγόμενα ὡς ἀναντίρρητες ἀποφάσεις πολλοὶ τολμοῦν καὶ νὰ ἀντιλέγουν, ἐνῶ αὐτὰ ποὺ γίνονται μὲ ἐρώτηση, καὶ πείθουν καὶ ἀποστομώνουν, καὶ σ᾽ αὐτὸν ποὺ μιλάει δημιουργοῦν τὴ γνώμη ὅτι κυριαρχεῖται ἀπὸ πραότητα.

185.- ΣΤΟΝ ΣΧΟΛΑΣΤΙΚΟ ΘΕΟΔΟΣΙΟ

Ὅτι τὰ ἐπαγγέλματα ποὺ δὲν εἶναι ὠφέλιμα στὴ ζωή, δὲν εἶναι τέχνες, ἀλλὰ ματαιοτεχνίες ἢ κακοτεχνίες.

Ἐγὼ τὰ ἐπαγγέλματα, τῶν ὁποίων ὁ σκοπὸς δὲν εἶναι ὠφέλιμος στὴ ζωή, δὲν τὰ θεωρῶ οὔτε κἂν τέχνες, ἀλλὰ ματαιοτεχνίες ἢ κακοτεχνίες. Γιατὶ τεχνικὸ εἶναι αὐτὸ ποὺ ἀποβλέπει στὴ χρησιμότητα καὶ τὴν ὠφέλεια τοῦ κοινοῦ.

186.- ΣΤΟΝ ΕΠΙΣΚΟΠΟ ΘΕΩΝΑ

Σ᾽ αὐτὸ ποὺ ἔχει λεχθεῖ· «Αὐτοὶ ποὺ φρονοῦν τὰ ἐπίγεια»[41].

Ὁ Ἀπόστολος, σοφώτατε, κατηγορώντας αὐτοὺς ποὺ ἡ σκέψη τους εἶναι στὰ γήϊνα πράγματα, εἶπε· «Ἡ δική μας πατρίδα εἶναι στοὺς οὐρανούς»[42], ἀντιτάσσοντας αὐτοὺς ποὺ κάνουν τὰ μικρὰ καὶ αἰσχρά, σ᾽ ἐκείνους ποὺ κάνουν τὰ μεγάλα καὶ μεγαλόψυχα. Γιατὶ οἱ πρῶτοι εἶναι μικροπρεπεῖς καὶ ταπεινοί, ἐνῶ οἱ ἄλλοι μεγαλοφυεῖς καὶ μεγάλοι μέχρι τὸν οὐρανό. Ἀπὸ τὴν ἄλλη, συγκρατώντας ἐκείνους ποὺ σκέφτονται ἐναντίον τῶν ἀδελφῶν τους, ἔλεγε· «Νὰ μὴν εἶστε ὑψηλόφρονες, ἀλλὰ νὰ συναναστρέφεσθε τοὺς ταπεινούς»[43], χωρὶς νὰ τοὺς ἐμποδίζει νὰ φαντάζονται τὰ ὑπερκόσμια, ἀλλὰ θέλοντας νὰ κόψει τὴν ὑπεροψία καὶ τὴν ἀλαζονεία. Γιατὶ ἄλλο πρᾶγμα εἶναι ἡ μεγαλοφροσύνη, δηλαδὴ ἡ μεγαλοψυχία, καὶ ἄλλαο ἡ ὑπερηφάνεια, δηλαδὴ ἡ ἀλαζονεία. Γιατὶ ἡ πρώτη θεωρεῖ δευτερεύοντα ὅλα ὅσα κάνει ἡ ἀνδρεία μας, ἐνῶ ἡ δεύτερη θεωρεῖ ὅλους τοὺς ἀνθρώπους

42. Φιλιπ. 3, 20.

43. Ρωμ. 12, 16.

ὑπερκόσμια φαντάζεται, ἡ δὲ τὰ ἐπίγεια ὀνειροπολεῖ. Ἡ μὲν τὸ θεῖον καὶ ἀοίδιμον κλέος ποθεῖ, ἡ δὲ τῆς σβεννυμένης δόξης ἐρᾷ.

ΡΠΖ'.– ΤΩ ΑΥΤΩ

Περὶ φρονήματος καὶ φρονήσεως.

Οὐ ταυτὸν φρόνημα καὶ φρόνησις. Τὸ μὲν γὰρ ἔπαρμα δηλοῖ, ἡ δὲ σύνεσιν. Τὸ μὲν ὑπερηφανίαν, ἡ δὲ σωφροσύνην. Τὸ μὲν τὸ κατὰ τῶν πέλας ἐπιφύεσθαι, ἡ δὲ τὸ μηδὲν τῶν πρεπόντων παρορᾶν. Καὶ τὸ μὲν τοὺς ὑπὸ ἀρετῆς κεκοσμημένους ἀποκοσμεῖ, ἡ δὲ καὶ τοὺς ἥττονας κοσμεῖ. Διὸ καὶ τὸ μὲν μισεῖται, ἡ δὲ θαυμάζεται· τὸ μὲν ἀποκηρύττεται, ἡ δὲ ἀνακηρύττεται. Τὴν φρόνησιν τοίνυν, τουτέστι τὴν σύνεσιν, γεωργῶν, τὸ φρόνημα, τουτέστι τὸ κατὰ τῶν πλησίον ἐπιφύεσθαι, αὐτόπρεμνον ἀνασπᾶσαι πειρῶ.

ΡΠΗ'.– ΤΩ ΑΥΤΩ

Ὅτι, ἡ μὲν ταπεινοφροσύνη ἀπὸ μεγαλοφυοῦς καὶ οὐρανομήκους ψυχῆς τίκτεται, ἡ δὲ ὑπερηφανία ἀπὸ εὐτελοῦς καὶ φαυλοτάτης.

Ἐγὼ μὲν ἀπὸ μεγαλοφυοῦς καὶ οὐρανομήκους ψυχῆς τίκτεσθαι ἡγοῦμαι τὴν ταπεινοφροσύνην, ἀπὸ δὲ εὐτελοῦς καὶ φαυλοτάτης τὴν ὑπερηφανίαν. Καὶ τοῦτ' ἐγγυῶνται ὅ τε θεοφιλὴς Ἀβραὰμ καὶ ὁ Φαρισαῖος. Ὁ μὲν γάρ, θείας ἀπολαύων ὁμιλίας, γῆν καὶ σποδὸν ἑαυτὸν ἐκάλει, ὁ δέ, μηδενὸς παρακινοῦντος, ἐπήρετο καὶ μέγα ἐφρόνει καὶ τῆς οἰκουμένης ἁπάσης ἑαυτὸν προθεῖναι ἐπεχείρει.

ΡΠΘ'.– ΖΩΣΙΜΩ ΠΡΕΣΒΥΤΕΡΩ

Ὅτι χρὴ τὸν διδάσκοντα πράττειν καὶ οὕτω φράζειν, τὸν δὲ μὴ πράττοντα, οὐδὲ φράζειν δίκαιον.

Τὸν μὲν διδάσκειν ἐπιχειροῦντα, πράττειν χρὴ καὶ οὕτω

43α. Γεν. 18, 27.

κατώτερους ἀπὸ τὴ δική μας εὐτέλεια. Ἡ πρώτη φαντάζεται τὰ ὑπερκόσμια, ἐνῶ ἡ δεύτερη ὀνειροπολεῖ τὰ ἐπίγεια. Ἡ πρώτη ποθεῖ τὴ θεία καὶ αἰώνια δόξα, ἐνῶ ἡ δεύτερη ἐπιθυμεῖ τὴ δόξα ποὺ σβήνει.

187.- ΣΤΟΝ ΙΔΙΟ

Γιὰ τὸ φρόνημα καὶ τὴ φρόνηση.

Δὲν εἶναι ἴδιο τὸ φρόνημα καὶ ἡ φρόνηση. Γιατὶ τὸ ἕνα φανερώνει ἔπαρση, ἐνῶ ἡ ἄλλη σύνεση. Τὸ ἕνα ὑπερηφάνεια, καὶ ἡ ἄλλη σωφροσύνη. Τὸ ἕνα ἐπιδιώκει τὴν ἀνωτερότητα ἔναντι τοῦ πλησίον, ἐνῶ ἡ ἄλλη τὸ νὰ μὴ παραβλέπουμε τίποτε ἀπὸ αὐτὰ ποὺ πρέπει. Καὶ τὸ ἕνα ἀφαιρεῖ τὸν στολισμὸ ἀπὸ αὐτοὺς ποὺ εἶναι στολισμένοι μὲ τὴν ἀρετή, ἐνῶ ἡ ἄλλη στολίζει καὶ τοὺς κατώτερους. Γι' αὐτὸ καὶ τὸ πρῶτο μισεῖται, ἐνῶ ἡ δεύτερη θαυμάζεται, καὶ ἐκεῖνο ἀποκηρύσσεται, ἐνῶ αὐτὴ ἀνακηρύσσεται. Νὰ προσπαθεῖς λοιπὸν νὰ καλλιεργεῖς τὴ φρόνηση, δηλαδὴ τὴ σύνεση, ἐνῶ τὸ φρόνημα, δηλαδὴ τὸ νὰ δείχνεις ἀνωτερότητα ἀπέναντι στοὺς πλησίον, νὰ τὸ ξερριζώνεις σύρριζα.

188.- ΣΤΟΝ ΙΔΙΟ

Ὅτι ἡ ταπεινοφροσύνη γεννιέται ἀπὸ μεγαλοφυῆ καὶ οὐρανομήκη ψυχή, ἐνῶ ἡ ὑπερηφάνεια ἀπὸ εὐτελῆ καὶ φαυλότατη.

Ἐγὼ βέβαια νομίζω πὼς ἡ ταπεινοφροσύνη γεννιέται ἀπὸ μεγαλοφυῆ καὶ ψηλὴ μέχρι τὸν οὐρανὸ ψυχή, ἐνῶ ἡ ὑπερηφάνεια ἀπὸ μικροπρεπῆ καὶ διεστραμμένη. Καὶ αὐτὸ τὸ βεβαιώνουν ὁ ἀγαπητὸς στὸν Θεὸ Ἀβραὰμ καὶ ὁ Φαρισαῖος. Γιατὶ ὁ πρῶτος, ποὺ ἀξιωνόταν νὰ μιλάει μὲ τὸν Θεό, ἀποκαλοῦσε τὸν ἑαυτό του χῶμα καὶ στάχτη[43α], ἐνῶ ὁ ἄλλος, χωρὶς νὰ τὸν παρακινεῖ κανένας, ὑπερηφανευόταν καὶ ἀλαζονευόταν, καὶ ἐπιχειροῦσε νὰ προτάξει τὸν ἑαυτό του πάνω ἀπὸ ὁλόκληρη τὴν οἰκουμένη.

189.- ΣΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟ ΖΩΣΙΜΟ

Ὅτι πρέπει αὐτὸς ποὺ διδάσκει νὰ κάμνει ὅσα διδάσκει καὶ μετὰ νὰ μιλάει, ἐνῶ ὅποιος δὲν τὰ κάμνει, δὲν πρέπει νὰ μιλάει.

Αὐτὸς βέβαια ποὺ ἐπιχειρεῖ νὰ διδάξει, πρέπει πρῶτα νὰ κάνει

φράζειν, τὸν δὲ μὴ πράττοντα, οὐδὲ φράζειν δίκαιον. Ὁ μὲν γὰρ πρότερος εἰς τοὺς κορυφαιοτάτους τετάξεται, ὁ δὲ δεύτερος, οὐ μόνον δίκας ἐκεῖ δώσει, ἀλλὰ κἀνταῦθα γέλωτα ὀφλήσει. Κωμῳδίας γὰρ ὑπόθεσις τοῖς ἀκροαταῖς γενήσεται. Χρὴ τοιγαροῦν ἢ πράττοντα λέγειν, ἢ, μὴ πράττοντα, ἡσυχίαν ἄγειν καὶ τὴν γλῶτταν ταῖς εὐγνωμοσύνης ἡνίαις ἄγχειν, ταῖς καὶ μετάγνωσιν ὠδινούσαις.

ΡΚ΄– ΖΗΝΩΝΙ ΠΡΕΣΒΥΤΕΡΩ

Ὅτι σταθερᾶς γνώμης τεκμήριόν ἐστι ὁ μετὰ φρονήσεως γαλήνιος τρόπος.

Τὸ μετὰ φρονήσεως ἠρέμαιόν τε καὶ γαληνὸν τοῦ τρόπου, βεβηκυίας καὶ σταθερᾶς γνώμης μέγιστόν ἐστι, παρ' ἐμοὶ κριτῇ, τεκμήριον.

ΡΚΑ΄– ΠΑΥΛΩ

Κατὰ τῶν λεγόντων εἶναι γένεσιν, ἤτοι εἱμαρμένην, ἢ τὴν λεγομένην τύχην.

Οἱ πάντα ὁμοῦ χρήματα μιγνύντες καὶ πανοσπρίαν, τὸ τοῦ λόγου, ποιοῦντες, οὔ μοι δοκοῦσιν ὑγιαίνειν τὸν νοῦν. Εἰ γὰρ Θεός, οὐ γένεσις, εἰ δὲ γένεσις, οὔ φημι τὸ ἐναντίον. Τραπείη γὰρ τὸ βλάσφημον εἰς τὰς τῶν τοῦτο παρασκευαζόντων λέγεσθαι κορυφάς. Εἰ δὲ οὐδεὶς τοῦτο φαίη, ἀναμφισβήτητός ἐστι τῆς Ἐκκλησίας ὁ στέφανος· ἤρκει μὲν οὖν αὐτὴ ἡ νίκη, ὡς οἶμαι, εἰ καὶ μόνη ἐτύγχανε. Νυνὶ δὲ καὶ ἄλλαις πολλαῖς ἐπερειδόμεθα. Εἰ γένεσις, οὐ νόμος, εἰ δὲ νόμος, οὐ γένεσις. Εἰ γένεσις, οὐ παραίνεσις, εἰ δὲ παραίνεσις, οὐ γένεσις. Εἰ γένεσις, οὐ κρίσις, εἰ δὲ κρίσις, οὐ γένεσις. Εἰ γένεσις, οὐκ εὐχή, εἰ δὲ εὐχή, οὐ γένεσις. Εἰ γένεσις, οὐ μελέται, εἰ δὲ μελέται, οὐ γένεσις. Εἰ γένεσις, οὐ φιλοσοφία, εἰ δὲ φιλοσοφία, οὐ γένε-

---

44. Σχετικὴ μὲ τὸ θέμα τῆς εἱμαρμένης εἶναι καὶ ἡ ἐπιστολὴ 134, ἡ ὁποία ἀπευθύνεται στὸν ἴδιο παραλήπτη, καὶ ἡ ἐπιστολὴ 154, ποὺ ἀπευθύνεται στὸν σοφιστὴ Ἀρποκρᾶ.

αὐτὰ ποὺ λέγει, καὶ ὕστερα νὰ διδάσκει, ἐνῶ ἐκεῖνος ποὺ δὲν τὰ κάνει, δὲν πρέπει οὔτε νὰ διδάσκει. Γιατὶ ὁ πρῶτος θὰ καταλάβει θέση ἀνάμεσα στοὺς πιὸ κορυφαίους, ἐνῶ ὁ δεύτερος, ὄχι μόνο ἐκεῖ θὰ τιμωρηθεῖ, ἀλλὰ καὶ ἐδῶ θὰ γίνει καταγέλαστος. Γιατὶ θὰ γίνει ἀντικείμενο κωμωδίας στοὺς ἀκροατές. Πρέπει ἑπομένως, ἢ νὰ μιλάει ἐφαρμόζοντας αὐτὰ ποὺ λέγει, ἤ, ἂν δὲν τὰ ἐφαρμόζει, νὰ σιωπᾶ καὶ νὰ σφίγγει τὴ γλώσσα του μὲ τὰ χαλινάρια τῆς εὐγνωμοσύνης, τὰ ὁποῖα κυοφοροῦν καὶ τὴ μεταμέλεια.

190.- ΣΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟ ΖΗΝΩΝΑ

Ὅτι εἶναι ἀπόδειξη σταθερῆς διάθεσης ὁ γαλήνιος τρόπος ποὺ συνοδεύεται ἀπὸ φρονιμάδα.

Τὸ νὰ εἶναι κανεὶς μὲ φρονιμάδα ἤρεμος καὶ γαλήνιος στοὺς τρόπους, ἀποτελεῖ, κατὰ τὴ γνώμη μου, πολὺ μεγάλη ἀπόδειξη στηριγμένης καὶ σταθερῆς γνώμης (διάθεσης).

191.- ΣΤΟΝ ΠΑΥΛΟ

Ἐναντίον ἐκείνων ποὺ λένε, ὅτι ὑπάρχει γένεση, δηλαδὴ μοῖρα, ἤτοι ἡ λεγόμενη τύχη[44].

Αὐτοὶ ποὺ ἀναμιγνύουν ὅλα τὰ πράγματα μαζί, καὶ κατὰ τὴν παροιμία, κάνουν ἀνάμιξη ὅλων τῶν ὀσπρίων, δὲν μοῦ φαίνεται ὅτι εἶναι καλὰ στὰ μυαλά τους. Γιατί, ἐφόσον ὑπάρχει Θεός, δὲν ὑπάρχει μοῖρα· ἂν πάλι ὑπάρχει μοῖρα, δὲν λέω τὸ ἀντίθετο. Γιατὶ ἡ βλασφημία θὰ στραφεῖ στὰ κεφάλια αὐτῶν ποὺ κάνουν νὰ λέγεται αὐτό. Καὶ ἐὰν αὐτὸ δὲν τὸ λέγει κανείς, εἶναι ἀναμφισβήτητο τὸ στεφάνι τῆς Ἐκκλησίας. Θὰ ἀρκοῦσε λοιπόν, ὅπως πιστεύω, ἡ νίκη αὐτή, ἔστω καὶ ἦταν ἡ μοναδική. Τώρα ὅμως στηριζόμαστε καὶ σὲ πολλὲς ἄλλες. Ἐὰν ὑπάρχει μοῖρα, δὲν ὑπάρχει νόμος, Ἐφόσον ὅμως ὑπάρχει νόμος, δὲν ὑπάρχει μοῖρα. Ἐὰν ὑπάρχει μοῖρα, δὲν ὑπάρχει παραίνεση, ἐφόσον ὅμως ὑπάρχει παραίνεση, δὲν ὑπάρχει μοῖρα. Ἐὰν ὑπάρχει μοῖρα, δὲν ὑπάρχει κρίση, ἐφόσον ὅμως ὑπάρχει κρίση, δὲν ὑπάρχει μοῖρα. Ἐὰν ὑπάρχει μοῖρα, δὲν ὑπάρχει προσευχή, ἐφόσον ὑπάρχει προσευχή, δὲν ὑπάρχει μοῖρα. Ἐὰν ὑπάρχει μοῖρα, δὲν ὑπάρχουν μελέτες,

σις. Εἰ γένεσις, οὐκ ἰατρική, εἰ δὲ ἰατρική, οὐ γένεσις. Εἰ γένεσις, οὐ γεωργία, εἰ δὲ γεωργία, οὐ γένεσις. Καὶ πολλὰ ἔχων εἰπεῖν, νυνὶ παραλείψω, αὖθις δὲ συλλογίσομαι. Εἰ μὲν οὖν ἑνὸς ἦν τοῦ πράγματος πρὸς ἓν ὁ ἀγών, ἴσως ἀμφισβητήσιμος ἦν ὁ στέφανος. Εἰ δ' ἑνὸς πρὸς πολλὰ καὶ ποικίλα ἡ μάχη, ἀναμφισβήτητος, ὡς οἶμαι, ἡ νίκη. Κἂν γὰρ ἓν δόξῃ νενικηκέναι, ὑπὸ τῶν ἄλλων ἡττηθήσεται. Δόξῃ δὲ εἶπον, ἐπειδήπερ οὐ πᾶσι τὸ κρίνειν τὰ πράγματα εἰλικρινῶς πρόσεστιν, ἢ διὰ βραχυτῆτα γνώμης, ἢ διὰ ῥᾳθυμίαν, ἢ διὰ σκαιότητα τρόπων, ἢ διὰ πρόληψιν, θανάτου γείτονα. Ἐπεί, τοῖς γε νοῦν ἔχουσι, καὶ ἀπρόληπτον κεκτημένοις τῶν πραγμάτων τὸ κριτήριον, σαφές ἐστι τὸ ἀληθές.

ΡΚΒ'.– ΤΩ ΑΥΤΩ

Περὶ τῆς τρυφῆς καὶ τῶν ἐξ αὐτῆς νοσημάτων.

Ἡ τρυφή, ὦ βέλτιστε, οὐ μόνον ἐξοστρακίζει τὴν πολυήρατον καὶ ἀρχῆς καὶ πλούτου προτιμοτέραν ὑγείαν (ταύτης γὰρ ἀπούσης, ἐκεῖνα οὐδέν), ἀλλὰ καὶ ποικίλα καὶ ἀνήκεστα καινουργεῖ νοσήματα. Εἰ τοίνυν μέλλει σοι τῆς ὑγείας, μελέτω καὶ τῆς αὐταρκείας. Τὴν μὲν γὰρ ἔνδειαν μητέρα ὑγείας εἶναι εἰκότως ἰατρῶν παῖδες ὁρίζονται, ἐγὼ δέ, ἐπειδὴ πρός σέ μοι ὁ λόγος, τὸν καὶ τὸν κόρον τῇ πλησμονῇ ὑβρίζοντα, τὴν αὐτάρκειαν μητέρα σοι γενήσεσθαι τῆς πολυποθήτου ὑγείας εὐαγγελίζομαι.

ΡΚΓ'.– ΛΑΜΠΕΤΙΩ ΕΠΙΣΚΟΠΩ

Περὶ τοὺς Ζώσιμον, Μάρωνα καὶ Εὐστάθιον.

Εἰ μὲν δυνατὸν σωφρονισθέντας Ζώσιμον καὶ Μάρωνα καὶ Εὐστάθιον, τοὺς ἐπὶ τοσούτοις κακοῖς ἁλόντας, ἐπανελθεῖν

ἐφόσον ὅμως ὑπάρχουν μελέτες, δὲν ὑπάρχει μοῖρα. Ἐὰν ὑπάρχει μοῖρα, δὲν ὑπάρχει φιλοσοφία, ἀφοῦ ὅμως ὑπάρχει φιλοσοφία, δὲν ὑπάρχει μοῖρα. Ἐὰν ὑπάρχει μοῖρα, δὲν ὑπάρχει ἰατρική, ἐφόσον ὅμως ὑπάρχει ἰατρική, δὲν ὑπάρχει μοῖρα. Ἐὰν ὑπάρχει μοῖρα, δὲν ὑπάρχει γεωργία, ἀφοῦ ὅμως ὑπάρχει γεωργία, δὲν ὑπάρχει μοῖρα. Καὶ μολονότι θὰ μποροῦσα νὰ πῶ πολλά, θὰ τὰ παραλείψω τώρα, καὶ θὰ ξανασυλλογιστῶ. Ἐὰν βέβαια τὸ πρᾶγμα ἦταν ἕνα καὶ ὁ ἀγώνας γινόταν πρὸς ἕνα μόνο πρᾶγμα, ἴσως νὰ ἦταν ἀμνφισβητήσιμη ἡ νίκη. Ἐφόσον ὅμως ἡ μάχη γίνεται ἀνάμεσα σὲ ἕνα, καὶ σὲ πολλὰ καὶ διάφορα, ἡ νίκη, ὅπως πιστεύω, εἶναι ἀναμφισβήτητη. Καὶ ἂν φανεῖ ὅτι νικᾶ τὸ ἕνα, θὰ νικηθεῖ ἀπὸ τὰ ἄλλα. Καὶ εἶπα, θὰ φανεῖ, ἐπειδὴ δὲν ἔχουν ὅλοι τὴν ἱκανότητα νὰ κρίνουν τὰ πράγματα μὲ εἰλικρίνεια, ἢ λόγω στενοκεφαλιᾶς, ἢ λόγω ραθυμίας, ἢ λόγω κακῆς συμπεριφορᾶς, ἢ ἐξαιτίας πρόληψης, ποὺ γειτονεύει μὲ τὸν θάνατο. Γιατί, σ' αὐτοὺς ποὺ ἔχουν μυαλὸ καὶ ἀπροκατάληπτο τὸ κριτήριο τῶν πραγμάτων, ἡ ἀλήθεια εἶναι καθαρή.

192.- ΣΤΟΝ ΙΔΙΟ

Γιὰ τὴν τρυφὴ καὶ τὰ προερχόμενα ἀπ' αὐτὴν νοσήματα.

Ἡ ἀπόλαυση, φίλε μου, δὲν ἐξοστρακίζει μόνο τὴν πολυπόθητη καὶ προτιμότερη ἀπὸ τὴν ἐξουσία καὶ τὸν πλοῦτο ὑγεία (γιατὶ ὅταν αὐτὴ ἀπουσιάζει, ἐκεῖνα δὲν εἶναι τίποτε), ἀλλὰ προκαλεῖ καὶ διάφορα καὶ ἀθεράπευτα νοσήματα. Ἐὰν λοιπὸν σὺ ἐνδιαφέρεσαι γιὰ τὴν ὑγεία σου, νὰ φροντίζεις καὶ τὴν αὐτάρκεια. Οἱ γιατροὶ βέβαια εὔλογα θεωροῦν τὴ φτώχεια μητέρα τῆς ὑγείας, ἐγὼ ὅμως, ἐπειδὴ ὁ λόγος μου ἀπευθύνεται σὲ σένα, ὁ ὁποῖος καὶ μὲ τὴν ἀφθονία περιφρονεῖς τὸν χορτασμό, σοῦ ἀπευθύνω τὸ εὐχάριστο μήνυμα, ὅτι ἡ αὐτάρκεια θὰ γίνει γιὰ σένα μητέρα τῆς πολυπόθητης ὑγείας σου.

193.- ΣΤΟΝ ΕΠΙΣΚΟΠΟ ΛΑΜΠΕΤΙΟ

Γιὰ τοὺς Ζώσιμον, Μάρωνα καὶ Εὐστάθιον.

Ἂν βέβαια εἶναι δυνατόν, ἀφοῦ συνετισθοῦν οἱ Ζώσιμος καὶ Μάρωνας καὶ Εὐστάθιος, οἱ ὁποῖοι ἔχουν περιπέσει σὲ τόσο πολλὰ καὶ μεγάλα κακά, νὰ ἐπιστρέψουν ἐκεῖ ἀπὸ ὅπου ἐξέπεσαν, εἶναι προ-

ὅθεν ἐξέπεσον, ἄμεινον, εἰ δὲ μή, ἔκκοψον, ὥσπερ μέλη ἀνίατα, σπεύδοντα βαδίσαι ἐπὶ τὰ καίρια.

ΡϟΔ'.– ΤΑΥΡΩ ΥΠΑΡΧΩ

Περὶ κακίας καὶ ἀρετῆς.

Κακία μέν, ἡ δυσώνυμος καὶ δυσκλεής, κρατεῖ ὅταν τυραννὶς κατέχῃ, ἀρετὴ δὲ νικᾷ ὅταν βασιλεία διακοσμῇ τὰ πράγματα. Ἡ μὲν γὰρ τυραννὶς πρὸς τὸ οἰκεῖον, ἡ δὲ βασιλεία πρὸς τὸ τῶν ἀρχομένων συμφέρον βλέπει.

ΡϟΕ'.– ΕΡΜΙΝΩ ΚΟΜΗΤΙ

Περὶ τῆς χάριτος τοῦ ἁγίου βαπτίσματος.

Ἐπειδὴ γέγραφέ σου ἡ μεγαλόνοια βουλομένη μαθεῖν, δι' ἣν αἰτίαν τὰ βρέφη, ἀναμάρτητα ὄντα, βαπτίζεται, ἀναγκαῖον ᾠήθην ἀντεπιστεῖλαι. Τινὲς μὲν οὖν σμικρολογοῦντές φασιν, ὅτι τὸν διὰ τὴν παράβασιν τοῦ Ἀδὰμ διαδοθέντα τῇ φύσει ῥύπον ἀποπλύνονται, ἐγὼ δὲ καὶ τοῦτο (οὐδὲν γὰρ ἂν τοσοῦτον ἦν), ἀλλὰ καὶ ἄλλα πολλὰ μακρῷ τὴν ἡμετέραν ὑπερβαίνοντα φύσιν δεδόσθαι χαρίσματα. Οὐ γὰρ ὅσον ἔχρῃζεν ἡ φύσις εἰς τὴν τῆς ἁμαρτίας ἀναίρεσιν ἔλαβε μόνον, ἀλλὰ καὶ θείοις ἐκοσμήθη δώροις. Καὶ γὰρ οὐ μόνον κολάσεως ἀπηλλάγη καὶ πονηρίαν ἀπημφιάσατο πᾶσαν, ἀλλὰ καὶ ἀνεγεννήθη ἄνωθεν (παλιγγενεσίας θείας καὶ λόγον ὑπερβαινούσης, ὥσπερ ἐκ μηχανῆς τινος ἐπινοηθείσης), καὶ ἀπελυτρώθη, καὶ ἡγιάσθη, καὶ εἰς υἱοθεσίαν ἠνέχθη, καὶ ἐδικαιώθη, καὶ ἐγένετο συγκληρονόμος τοῦ Μονογενοῦς, καὶ σύσσωμος αὐτῷ διὰ τῆς μετοχῆς τῶν ἱερῶν μυστηρίων κατέστη, καὶ εἰς τὴν σάρκα αὐτοῦ τελεῖ, καὶ ὥσπερ τὸ σῶμα τῇ κεφαλῇ, οὕτως αὐτῷ ἥνωται. Ὅπερ ὁ θεσπέσιος ἐννοήσας Παῦλος, ὁ τῶν τοῦ Χριστοῦ νοημάτων ταμίας, ποτὲ μὲν ἔλεγε, «Καὶ αὐτὸν ἔδωκεν ὑπὲρ πάντα κεφαλὴν τῆς Ἐκκλησίας», τουτέστιν ὑπὲρ τὰ ἄλλα πάντα χαρίσματα, τοῦτο αὐτῇ ἐδωρήσατο, τὸ τὸν Χριστὸν κεφαλὴν αὐτῆς εἶναι, ποτὲ δέ, «Πολλῷ μᾶλλον οἱ τὴν περισσείαν τῆς χάριτος καὶ τῆς

τιμότερο, ἐὰν ὅμως ὄχι, τότε ἀπόκοψε τους, σὰν μέλη ἀθεράπευτα, ποὺ ἐπιχειροῦν νὰ βαδίσουν πολὺ ἐπικίνδυνα.

194.- ΣΤΟΝ ΥΠΑΡΧΟ ΤΑΥΡΟ
Γιὰ τὴν κακία καὶ τὴν ἀρετή.

Ἡ καταραμένη καὶ ἄτιμη κακία ἐπικρατεῖ ὅταν τὴν ἐξουσία τὴν ἔχει ἡ τυραννία, ἐνῶ ἡ ἀρετὴ νικᾶ, ὅταν τὰ πράγματα τὰ κοσμεῖ ἡ βασιλεία. Γιατὶ ἡ τυραννία ἀποβλέπει στὸ δικό της συμφέρον, ἐνῶ ἡ βασιλεία στὸ συμφέρον τῶν ἀρχομένων.

195.- ΣΤΟΝ ΚΟΜΗΤΑ ΕΡΜΙΝΟ
Γιὰ τὴ χάρη τοῦ ἁγίου βαπτίσματος.

Ἐπειδὴ ἡ μεγαλοψυχία σου μοῦ ἔγραψε θέλοντας νὰ μάθει, γιατί τὰ βρέφη, ἐνῶ εἶναι ἀναμάρτητα, βαπτίζονται, θεώρησα ἀπαραίτητο νὰ σοῦ ἀπαντήσω. Μερικοὶ λοιπὸν ποὺ ἐξετάζουν τὸ πρᾶγμα σχολαστικὰ λένε, ὅτι βαπτίζονται γιὰ νὰ καθαρίσουν τὴν ἀκαθαρσία πού, ἐξαιτίας τῆς παράβασης τοῦ Ἀδάμ, διαδόθηκε στὴν ἀνθρώπινη φύση, ἐγὼ ὅμως πιστεύω ὅτι κι αὐτὸ γίνεται, ἀλλ' ὄχι μόνο αὐτὸ (γιατὶ αὐτὸ δὲν θὰ ἦταν τόσο μεγάλο), ἀλλὰ δίνονται καὶ ἄλλα πολλὰ χαρίσματα, ποὺ ξεπερνοῦν πολὺ τὴ δική μας φύση. Γιατὶ δὲν ἔλαβε μόνο ὅσο χρειαζόταν ἡ φύση γιὰ τὴν ἐξάλειψη τῆς ἁμαρτίας, ἀλλὰ στολίσθηκε καὶ μὲ ἄλλα θεϊκὰ δῶρα. Ὄχι μόνο δηλαδὴ ἀπαλλάχθηκε καὶ ἀπέβαλε κάθε πονηρία, ἀλλὰ καὶ ἀναγεννήθηκε ἀπὸ τὸν οὐρανὸ (μὲ ἀναγέννηση θεϊκή, ποὺ ξεπερνᾶ κάθε λογική, σὰν νὰ ἐπινοήθηκε ἀπὸ κάποια μηχανή), καὶ ἀπολυτρώθηκε, καὶ ἁγιάσθηκε, καὶ ὁδηγήθηκε σὲ υἱοθεσία, καὶ δικαιώθηκε, καὶ ἔγινε συγκληρονόμος τοῦ Μονογενοῦς, καί, μὲ τὴ συμμετοχή της στὰ ἱερὰ μυστήρια, ἔγινε ἕνα σῶμα, καὶ βρίσκεται στὴ σάρκα του, καὶ ὅπως τὸ σῶμα εἶναι ἑνωμένο μὲ τὸ σῶμα, ἔτσι ἑνώθηκε μὲ αὐτόν. Αὐτὰ ἐννοώντας ὁ θεόπνευστος Παῦλος, ὁ ταμίας τῶν σκέψεων τοῦ Χριστοῦ, ἔλεγε ἄλλοτε, «Καὶ αὐτὸν πάνω ἀπὸ ὅλα τὸν ἔκανε κεφαλὴ στὴν Ἐκκλησία»[45], δηλαδή, πέρα ἀπὸ ὅλα τὰ ἄλλα χαρίσματα, χάρισε καὶ αὐτὸ στὴν Ἐκκλησία, νὰ εἶναι ὁ Χριστὸς κεφαλή της, καὶ ἄλλοτε πάλι· «Πολὺ περισσότερο,

45. Ἐφ. 1,22.

δωρεᾶς καὶ τῆς δικαιοσύνης λαμβάνοντες ἐν ζωῇ βασιλεύσουσιν». Οὐκ εἶπε "χάριν", ἀλλά, «περισσείαν χάριτος», δεικνύς, ὅτι οὐ φάρμακον ἐλάβομεν ἀντίροπον τοῦ τραύματος μόνον, ὡς οἴονται σμικρολόγοι τινὲς καὶ τῆς θείας μεγαλοδωρεᾶς ἀναίσθητοι, ἀλλὰ καὶ εὐμορφίαν καὶ τιμὴν καὶ δόξαν καὶ ἀξιώματα καὶ πολλῷ τὴν ἡμετέραν ὑπερβαίνοντα ἀξίαν.

Μὴ τοίνυν, ὦ φίλος, νόμιζε ἁμαρτιῶν μόνον ἀναιρετικὸν εἶναι τὸ βάπτισμα, ἀλλὰ καὶ υἱοθεσίας καὶ θείας συγγενίας καὶ ἄλλων μυρίων, τῶν τε λεχθέντων, τῶν τε παραλειφθέντων ἀγαθῶν ποιητικόν. Ὁ γὰρ ἁπάντων βασιλεύς, οὐ μόνον ἐλυτρώσατο τὴν αἰχμαλωτευθεῖσαν φύσιν, ἀλλὰ καὶ εἰς τὴν ἀνωτάτω τιμὴν ἀνήγαγεν.

ΡΚΣ'.– ΗΣΑΪΑ

Ὅτι οὐ χρὴ τὴν ἀνυπέρβλητον τοῦ Θεοῦ μακροθυμίαν ὑπόθεσιν ῥᾳθυμίας ποιεῖσθαι.

Οὐ χρὴ τὴν ἀνυπέρβλητον τοῦ Θεοῦ μακροθυμίαν ὑπόθεσιν ῥᾳθυμίας ποιεῖσθαι, ἵνα μή, μείζονα συγγνώμης κατ' ἄμφω ἁμαρτάνοντες, ἁλῶμεν, τῷ τε παραλόγως ἐρραθυμηκέναι, τῷ τε παραλογώτερον τῆς χρηστότητος καταπεφρονηκέναι.

ΡΚΖ'.– ΘΕΟΓΝΩΣΤΩ ΠΡΕΣΒΥΤΕΡΩ

Περὶ τοῦ ἀοιδίμου Τιμοθέου.

Ὅτι μέν, εἰ μὴ τὰς πρὸς τὸ ἀγαθὸν ὁρμὰς τοῦ ἀοιδίμου Τιμοθέου ὁ ἁλιτήριος Εὐσέβιος ἐξέκοπτεν, οἰκουμενικὸν ἂν καὶ διαβόητον ἄνθρωπον ἐποίησεν, οἶμαι, μὴ ἀμφιβάλλειν τὴν σὴν σύνεσιν, ὅτι δὲ οὐδὲ οὕτως ἀκλεῶς τὸν βίον κατέστρεψεν, ἀλλ' ὑπὸ πάντων ἐπὶ τοῖς καλλίστοις ᾀδόμενος, τοῦτο παρ' ἡμῶν μάνθανε. Εἰ δὲ χρή τι καὶ θαυμαστὸν εἰπεῖν, τάχα οὐχ οὕτως εἰσὶν εὐδόκιμοι, οἱ πρὸς ἀρετὴν ἀλειφόμενοι καὶ στεφανῖται γενόμενοι, ὡς οἱ κωλυόμενοι μέν, καὶ μηδὲ τί ἐστιν ἀρετὴ ἐννοῆσαι συγχωρούμενοι, μήτι γε πρᾶξαι, ἐρασταὶ δὲ γνήσιοι

αὐτοὶ ποὺ λαμβάνουν τὸ περίσσευμα τῆς χάριτος καὶ τῆς δωρεᾶς καὶ τῆς δικαιοσύνης, θὰ βασιλεύσουν στὴ ζωή»[46]. Δὲν εἶπε "χάρη", ἀλλὰ «τὸ περίσσευμα τῆς χάριτος», δείχνοντας, ὅτι δὲν ἐλάβαμε φάρμακο ἀνάλογο πρὸς τὸ τραῦμά μας μόνο, ὅπως νομίζουν μερικοὶ μικροπρεπεῖς καὶ ἀναίσθητοι στὴ θεία μεγαλοδωρία, ἀλλὰ καὶ ὁμορφιὰ καὶ τιμὴ καὶ δόξα καὶ ἀξιώματα, ποὺ ξεπερνοῦν κατὰ πολὺ τὴ δική μας ἀξία.

Νὰ μὴ νομίζεις λοιπόν, φίλε μου, ὅτι τὸ βάπτισμα καταργεῖ μόνο τὶς ἁμαρτίες, ἀλλὰ χορηγεῖ καὶ τὰ ἀγαθὰ τῆς υἱοθεσίας καὶ τῆς συγγένειας μὲ τὸν Θεό, καὶ ἄπειρα ἄλλα, καὶ αὐτὰ ποὺ ἀναφέρθηκαν, καὶ ἄλλα ποὺ παραλείφθηκαν. Γιατὶ ὁ βασιλιὰς τῶν ὅλων ὄχι μόνο ἔσωσε τὴν αἰχμαλωτισμένη φύση μας, ἀλλὰ καὶ τὴν ἀνύψωσε στὴν πιὸ ὑψηλὴ τιμή.

196.- ΣΤΟΝ ΗΣΑΪΑ

Ὅτι δὲν πρέπει νὰ χρησιμοποιοῦμε τὴν ἀνυπέρβλητη μακροθυμία τοῦ Θεοῦ ὡς ἀφορμὴ γιὰ ραθυμία.

Δὲν πρέπει νὰ χρησιμοποιοῦμε ὡς ἀφορμὴ ραθυμίας τὴν ἀνυπέρβλητη μακροθυμία τοῦ Θεοῦ, γιὰ νὰ μὴ χρειασθοῦμε μεγαλύτερη συγχώρηση ἁμαρτάνοντας καὶ στὰ δύο, καὶ γιὰ τὸ ὅτι δηλαδὴ δείχνουμε παράλογη ραθυμία, καὶ γιὰ τὸ ὅτι περιφρονήσαμε τὴν ἀγαθότητά του μὲ τρόπο ἀκόμα πιὸ παράλογο.

197.- ΣΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟ ΘΕΟΓΝΩΣΤΟ

Γιὰ τὸν ἀείμνηστο Τιμόθεο.

Ὅτι βέβαια, ἐὰν ὁ ἁλιτήριος Εὐσέβιος δὲν ἀνέκοπτε τὴν ὁρμὴ τοῦ ἀειμνήστου Τιμοθέου πρὸς τὸ ἀγαθό, θὰ μποροῦσε νὰ τὸν κάνει οἰκουμενικὸ καὶ διάσημο ἄνθρωπο, νομίζω πὼς δὲν ἀμφιβάλλει ἡ σύνεσή σου. Ὅτι ὅμως οὔτε μὲ τὸν τρόπο αὐτὸν δὲν κατέστρεψε τὴ ζωή του χωρὶς δόξα, ἀλλὰ ἀπὸ ὅλους ἀναφέρεται μεταξὺ τῶν καλυτέρων, αὐτὸ μάθε το ἀπὸ μένα. Ἐὰν ὅμως χρειάζεται νὰ πῶ καὶ κάτι ἀξιοθαύμαστο, ἴσως δὲν εἶναι τόσο εὐδόκιμοι αὐτοὶ ποὺ ἀσκοῦνται στὴν ἀρετὴ καὶ κέρδισαν στεφάνια, ὅσο αὐτοὶ ποὺ ἐμποδίζονται βέβαια, καὶ οὔτε κἂν τοὺς ἐπιτρέπεται νὰ καταλάβουν τί εἶναι ἀρετή, οὔτε καὶ

46. Ρωμ. 5, 17.

ταύτης ἀναφαινόμενοι. Γυμνὴ γάρ ἐστιν αὕτη τῆς διανοίας αὐτῶν ἡ βάσανος.

ΡϟΗ'.– ΙΕΡΑΚΙ ΠΡΕΣΒΥΤΕΡΩ

Περὶ ταπεινοφροσύνης.

Ταπεινοφροσύνην ὑπερβάλλουσαν κατηγορεῖ σου τὸ γραφέν σοι πρὸς ἐμὲ γράμμα. Εἰ δὲ ἀρνήσαιο, ἐλέγξει σε καὶ αὐτὴ ἡ ῥῆσις, ἣν μαθεῖν τι παρ' ἐμοῦ βουληθείς, συνέπλεξας. Ἔφης γάρ, ὅτι Ἔσχατον πάντων ὄντα καὶ ὥσπερ ἔκτρωμα, δίδαξον κἀμέ, τί δήποτε ὁ Θεὸς διὰ Ἡσαΐου, τὰ μὲν ὡς κόκκινον ἁμαρτήματα τῶν μετανοούντων, ὡς ἔριον λευκαίνειν ἔφη, τὰ δὲ ὡς φοινικοῦν, ὡς χιόνα. Ἐγὼ δὲ θαυμάσας σου τὴν ταπεινοφροσύνην, καὶ ὅτι τὸ μέγιστον τοῦ Παύλου πλεονέκτημα, ὥσπερ διάδημα, ἀνεδήσω (κἀκεῖνος γὰρ ἔκτρωμα εἶναι ἑαυτὸν ἔλεγε, καίτοι τὰ ἐξαμβλωθέντα ἀναμορφῶν καὶ δεύτερον ὠδίνων τὰ τοὺς θείους χαρακτῆρας μὴ ἀποσώσαντα), ἐπὶ τὴν ἑρμηνείαν συντόμως βαδιοῦμαι. Φημὶ τοίνυν, ὅτι ἐπηγγείλατο, τὰ μὲν ἄκρα μέσως, τὰ δὲ μέσα ἄκρως θεραπεύειν.

ΡϟΘ'.– ΠΕΤΡΩ ΜΟΝΑΖΟΝΤΙ

Περὶ τῶν περιέργως ὁρᾶν σπουδαζόντων, καὶ ὅτι χρὴ ὥσπερ χαλινὸν ἐμβάλλειν τοῖς ὀφθαλμοῖς τὴν αἰδῶ.

Οὐ χρή, μακάριε, πάντα ἐπιέναι ἀναισχύντοις καὶ ἀκρατέσι τοῖς ὀφθαλμοῖς, ἀλλὰ χαλινὸν αὐτοῖς ἐμβάλλειν τὴν αἰδῶ, ἵνα μὴ δίκην ὕστερον δοίημεν τῆς πονηρᾶς ἐπιθυμίας, κἀνταῦθα δημίων χαλεπώτερον καταξαινούσης καὶ μαστιζούσης τὴν διάνοιαν καὶ τὸν τῆς φύσεως λιμένα (φημὶ δὲ τὸν ὕπνον) προχωννυούσης καὶ πελαγίζειν ἀεὶ καὶ κάμνειν παρασκευαζούσης. Διὸ καὶ ὁ Σωτήρ, πραγμάτων ἡμᾶς ἀπαλλάτων καὶ πόνων περιττῶν, ὧν ἄνευ τὸ τῆς σωφροσύνης στάδιον διαθέειν ἡμᾶς βουλόμενος, τῶν περιέργως ὁρᾶν σπουδαζόντων, ἀμήχανον κόλασιν

νὰ τὴν ἀσκήσουν, ἀλλ᾽ ὅμως ἀποδεικνύονται γνήσιοι ἐραστὲς αὐτῆς. Γιατὶ εἶναι ἐλεύθερη ἡ δοκιμασία αὐτὴ τῆς σκέψης τους.

198.- ΣΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟ ΙΕΡΑΚΑ
Γιὰ τὴν ταπεινοφροσύνη.

Τὸ γράμμα ποὺ μοῦ ἔστειλες σοῦ καταλογίζει ὑπερβολικὴ ταπεινοφροσύνη. Ἐὰν τὸ ἀρνηθεῖς, θὰ σὲ διαψεύσει καὶ αὐτὸ ποὺ εἶπες, ὅτι συνέταξες τὸ γράμμα αὐτὸ θέλοντας νὰ μάθεις κάτι ἀπὸ μένα. Γιατὶ εἶπες· Ἐπειδὴ εἶμαι ὁ τελευταῖος ὅλων, κάτι σὰν ἔκτρωμα, δίδαξε με, γιὰ ποιὸ λόγο ὁ Θεὸς μέσω τοῦ Ἡσαΐα εἶπε, ὅτι τὰ ἁμαρτήματα αὐτῶν ποὺ μετανοοῦν ἀπὸ κόκκινα τὰ κάνει λευκά, σὰν τὸ μαλλί, καὶ αὐτὰ ποὺ ἔχουν χρῶμα βαθὺ κόκκινο, θὰ τὰ κάνει σὰν τὸ χιόνι. Ἐγὼ ὅμως θαυμάζοντας τὴν ταπεινοφροσύνη σου, καὶ τὸ ὅτι τὸ μεγάλο πλεονέκτημα τοῦ Παύλου τὸ φόρεσες σὰν διάδημα (γιατὶ καὶ ἐκεῖνος ἔλεγε γιὰ τὸν ἑαυτό του ὅτι εἶναι ἔκτρωμα[47], ἂν καὶ ἀναμόρφωνε τὰ ἐξαμβλώματα, καὶ γεννοῦσε γιὰ δεύτερη φορὰ αὐτὰ ποὺ δὲν εἶχαν ὁλοκληρωμένα τὰ χαρακτηριστικὰ τοῦ Θεοῦ), θὰ προχωρήσω ἀμέσως στὴν ἑρμηνεία. Λέγω λοιπόν, ὅτι ὑποσχόταν ὅτι τὰ ἀκραῖα θὰ τὰ κάνει μεσαῖα, καὶ τὰ μεσαῖα θὰ τὰ θεραπεύσει τελείως.

199.- ΣΤΟΝ ΜΟΝΑΧΟ ΠΕΤΡΟ
Γιὰ ἐκείνους ποὺ φροντίζουν νὰ βλέπουν μὲ περιέργεια, καὶ ὅτι πρέπει νὰ βάζουν στὰ μάτια σὰν χαλινάρι τὴ ντροπή.

Δὲν πρέπει, μακάριε, ὅλα νὰ τὰ πλησιάζουμε μὲ ἀδιάντροπα καὶ ἀσυγκράτητα μάτια, ἀλλὰ νὰ βάζουμε σ᾽ αὐτὰ ὡς χαλινάρι τὴν ντροπή, γιὰ νὰ μὴ τιμωρηθοῦμε ἀργότερα γιὰ τὴν πονηρὴ ἐπιθυμία, ἡ ὁποία καὶ ἐδῶ μᾶς κατακομματιάζει χειρότερα ἀπὸ τοὺς δημίους, καὶ μᾶς μαστιγώνει τὴ διάνοια, καὶ τὸ λιμάνι τῆς φύσεώς μας (ἐννοῶ τὸν ὕπνο) τὸ κλείνει μὲ προσχώσεις, καὶ μᾶς κάνει νὰ πελαγοδρομοῦμε διαρκῶς καὶ νὰ ταλαιπωρούμαστε. Γι᾽ αὐτὸ καὶ ὁ Σωτήρας, ἀπαλλάσσοντάς μας ἀπὸ τὶς δυσκολίες καὶ τοὺς περιττοὺς κόπους, θέλοντας νὰ διανύσουμε τὸ στάδιο τῆς σωφροσύνης χωρὶς αὐτούς, ἐκείνους ποὺ ἐπιδιώκουν νὰ βλέπουν μὲ ἐπιμονή, τοὺς ἀπείλησε μὲ ἀνυπόφορη

47. Α΄ Κορ. 15, 8.

ἠπείλησε, μάλιστα μὲν τὴν ῥίζαν ἀναστέλλων τοῦ πάθους, ἔπειτα δέ, ἵνα μή, τρωθέντες τῷ ἐκ τῆς θέας βέλει, νόσον δυσίατον ἢ καὶ ἀνίατον ἑαυτοῖς κατασκεύασωμεν. Οὐ μόνον γὰρ καθαρώτερον, ἀλλὰ καὶ εὐκολώτερον ὁ μὴ ὁρῶν περιέσται τῆς ἐπιθυμίας.

Σ'.- ΛΑΜΠΕΤΙΩ ΕΠΙΣΚΟΠΩ
Διὰ τὰ περὶ Ζωσίμου.

Ἀλγῶ μὲν καὶ αὐτὸς κομιδῇ ἐπὶ τοῖς ἀτόπως γινομένοις, οὐ μὴν παρατρέπομαι τὸν λογισμόν.

ΣΑ'.- ΘΕΟΔΟΣΙΩ ΕΠΙΣΚΟΠΩ
Περὶ τῆς μελλούσης κρίσεως.

Τὸ μὲν μὴ τὴν αὐτὴν δίκην ἐνταῦθα διδόναι τοὺς τὰ αὐτὰ δράσαντας, τὸν τῆς γενικῆς κρίσεως βεβαιοῖ λόγον, τὸ δὲ μὴ πάντας ἐκεῖσε τηρηθῆναι, τοὺς παχυτέρους καὶ ῥᾳθυμοτέρους διανίστησιν, ὡς πάντως ἐκεῖσε δώσοντας δίκην, εἰ καὶ τὰ ἐνταῦθα διαφεύγοιεν. Εἰ γὰρ μηδεὶς ἐκεῖσε κολασθήσεται, δι' ἣν αἰτίαν ἐνταῦθά τινες ἐτιμωρήθησαν; Τὸ δὲ τοὺς δικαίους καὶ πάσῃ ἀρετῇ κομῶντας, πολλὰ ἐνταῦθα ὑπομεμενηκέναι δεινά, τοὺς εὐτρεπισθέντας αὐτοῖς ἐκεῖσε στεφάνους μηνύει. Τὸ δὲ καί τινας ἐξ αὐτῶν ἐνταῦθα τετιμῆσθαι, διὰ τοὺς φιλαμαρτήμονας γεγένηται, ἵνα μή, τὴν ἀρετὴν αἰτίαν τῶν κακῶν εἶναι νομίζοντες, φύγωσιν αὐτὴν ἐκ πολλοῦ τοῦ περιόντος.

ΣΒ'.- ΑΓΑΘΩΝΙ ΠΡΕΣΒΥΤΕΡΩ
Τί ἐστι τό, «Ἱερεῖς, λαλήσατε εἰς καρδίαν Ἰερουσαλήμ».

Ἐπειδὴ ὁ λόγος, ὅταν πράξεως ἔρημος ᾖ, οὐ περαιτέρω τῆς ἀκοῆς ἀφικνεῖται, ὁ δὲ ὑπὸ τῆς πράξεως ἐψυχωμένος, ἅτε δὴ γοργὸς ὢν καὶ δραστήριος, διὰ βάθους χωρεῖ καὶ τῆς ψυχῆς ἅπτεται, τούτου χάριν παρεκελεύσατο ὁ Θεός, ὅπερ μαθεῖν ἠθέλησας, «Ἱερεῖς, λαλήσατε εἰς καρδίαν Ἰερουσαλήμ». Οἱ μὲν γὰρ

48. Ἡσ. 40,2.

κόλαση, κατὰ πρῶτον ἀνακόπτοντας τὴ ρίζα τοῦ πάθους, καὶ ἔπειτα γιὰ νὰ μὴ πληγωθοῦμε μὲ τὸ βέλος τῆς θέας, καὶ προκαλέσουμε στοὺς ἑαυτούς μας ἀρρώστια δυσκολοθεράπευτη, ἢ καὶ ἀθεράπευτη. Γιατὶ ὄχι μόνο καθαρώτερα, ἀλλὰ καὶ εὐκολώτερα, αὐτὸς ποὺ δὲν βλέπει θὰ νικήσει τὴν ἐπιθυμία.

200.- ΣΤΟΝ ΕΠΙΣΚΟΠΟ ΛΑΜΠΕΤΙΟ
Γιὰ τὰ σχετικὰ μὲ τὸν Ζώσιμο.

Ὑποφέρω καὶ ἐγὼ φυσικὰ πάρα πολὺ γιὰ ὅσα ἄτοπα συμβαίνουν, ἀλλ᾽ ὅμως δὲν ἀλλάζω γνώμη.

201.- ΣΤΟΝ ΕΠΙΣΚΟΠΟ ΘΕΟΔΟΣΙΟ
Γιὰ τὴν μέλλουσα κρίση.

Τὸ ὅτι βέβαια δὲν τιμωροῦνται μὲ τὴν ἴδια ποινὴ ἐδῶ αὐτοὶ ποὺ ἔκαναν τὰ ἴδια, ἐπικυρώνει τὸν λόγο τῆς γενικῆς κρίσεως, τὸ ὅτι ὅμως δὲν θὰ φυλαχθοῦν ὅλοι γιὰ τιμωρηθοῦν ἐκεῖ, διεγείρει τοὺς παχύτερους πνευματικὰ καὶ ραθυμότερους, ὅτι ἐκεῖ θὰ τιμωρηθοῦν ὁπωσδήποτε, ἔστω καὶ ἂν ἐδῶ διαφεύγουν τὴν τιμωρία. Γιατί, ἂν ἐκεῖ δὲν τιμωρηθεῖ κανένας, τότε γιὰ ποιὸ λόγο κάποιοι τιμωρήθηκαν ἐδῶ; Τὸ ὅτι ὅμως οἱ δίκαιοι, καὶ αὐτοὶ ποὺ εἶναι φορτωμένοι μὲ κάθε εἶδος ἀρετῆς, ὑπέφεραν ἐδῶ πολλὰ κακά, δείχνει τὰ στεφάνια ποὺ ἔχουν ἑτοιμασθεῖ ἐκεῖ γι᾽ αὐτούς. Τὸ ὅτι πάλι καὶ μερικοὶ ἀπὸ αὐτοὺς τιμήθηκαν καὶ ἐδῶ, ἔγινε γι᾽ αὐτοὺς ποὺ εἶναι φίλοι τῆς ἁμαρτίας, γιὰ νὰ μὴ συμβεῖ, νομίζοντας ὅτι ἡ ἀρετὴ εἶναι αἰτία κακῶν, καὶ τὴν ἀποφύγουν μὲ κάθε τρόπο καὶ ὅλη τὴ δύναμή τους.

202.- ΣΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟ ΑΓΑΘΩΝΑ
Τί σημαίνει τό, «Ἱερεῖς, μιλῆστε στὴν καρδιὰ τῆς Ἱερουσαλήμ»[48].

Ἐπειδὴ ὁ λόγος, ὅταν δὲν συνοδεύεται καὶ ἀπὸ ἔργα, δὲν πηγαίνει πιὸ πέρα ἀπὸ τὴν ἀκοή, ἐνῶ αὐτὸς ποὺ ἐνισχύεται καὶ μὲ τὴν πράξη, ἐπειδὴ εἶναι γρήγορος καὶ δραστήριος, προχωρεῖ σὲ βάθος, καὶ ἀγγίζει τὴν ψυχή, γι᾽ αὐτὸ ὁ Θεὸς ἔδωσε ἐντολὴ γι᾽ αὐτὸ ποὺ θέλησες νὰ μάθεις· «Ἱερεῖς, μιλῆστε στὴν καρδιὰ τῆς Ἱερουσαλήμ»[48α].

48α. Ὅπ. π.

εἰς τὰς ἀκοὰς λαλοῦντες, πολλοὶ μέν, ἀνάξιοι δὲ ἱερωσύνης, οἱ δὲ εἰς τὴν καρδίαν ὀλίγοι μέν, δίκαιοι δὲ τὴν τῆς ἁγιστείας ἐστέφθαι ἀξίαν.

ΣΓ'.– ΕΥΤΟΝΙΩ ΔΙΑΚΟΝΩ

Περὶ τῆς μελλούσης κρίσεως.

Εἰ μὲν εἰς (καὶ) τὰ φορητὰ καὶ εἰς εὐΐατα ἁμαρτήσαντες, πάθομέν τι ἐνταῦθα χαλεπόν, ἀποτριβόμεθα τὰ ἁμαρτήματα, εἰ δὲ ἀπάνθρωπα καὶ συγγνώμης μείζονα, εἰ μὲν ἐνταῦθα δοίημεν δίκην, κἀκεῖ δώσομεν, κουφοτέραν δέ, εἰ δὲ ἐνταῦθα διαφύγοιμεν, ἄκρατον καὶ ἀπαραμύθητον ὑφέξομεν ἐκεῖσε τὴν τιμωρίαν. Εἰ δὲ ἀποφάσεις ταῦτ' εἶναι ἡγῇ, ἐγγυήσονται αἱ θεῖαι Γραφαί. Περὶ μὲν γὰρ τῶν εὐΐατα ἁμαρτανόντων, ἔφη ὁ Ἀπόστολος, «Κρινόμενοι δὲ ὑπὸ τοῦ Κυρίου παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν», περὶ δὲ τῶν ἀνίατα πταισάντων, κἀνταῦθα μὲν δεδωκότων δίκην, κἀκεῖ δωσόντων, αὐτὸς ὁ κριτὴς ἔφη, «Ἀνεκτότερον ἔσται γῇ Σοδόμων καὶ Γομόρρας», ὡς κἀνταῦθα μὲν δεδωκότων, κἀκεῖ δὲ δωσόντων μέν, ἡμερωτέραν δέ. Περὶ δὲ τῶν ἀπαραμύθητον καὶ ἄκρατον ὑπομενόντων τὴν κόλασιν, φησίν, «Ἀνεκτότερον ἔσται γῇ Σοδόμων καὶ Γομόρρων, ἢ τῇ πόλει ἐκείνῃ», τῇ τοὺς θείους κήρυκας δηλονότι ἀπελασάσῃ. Τοὺς γὰρ ἐνταῦθα δίκην δεδωκότας τοῖς μὴ δεδωκόσι παραβαλών, καὶ ἡμερωτέραν φήσας αὐτοὺς δώσειν, ἀσύγγνωστον καὶ ἀργαλεωτάτην ἀπέφηνε τῶν ἐνταῦθα μὴ δεδωκότων δίκην τὴν τιμωρίαν.

ΣΔ'.– ΙΣΙΔΩΡΩ ΔΙΑΚΟΝΩ

Ὅτι χρὴ μήτε λύπῃ σφοδρᾷ ἑαυτοὺς ἐκδιδόναι, μήτε χαρᾷ.

Χρὴ τοὺς τὴν ἀνθρωπίνην εὐγένειαν φυλάξαι προῃρημένους, τὴν τῆς φύσεως ἐπισκεπτομένους ὀξύρροπον μεταβολήν, καὶ τῆς χαρᾶς τὴν ἀμετρίαν κολάζειν, καὶ μήτε λύπῃ σφοδρᾷ ἑαυτοὺς ἐκδιδόναι, μήτε χαρᾷ. Ἡ μὲν γάρ, εἰ μὴ κερασθείη λογι-

Γιατὶ αὐτοὶ ποὺ μιλοῦν στ' αὐτιά, εἶναι πολλοί, ἀλλὰ ἀνάξιοι τῆς ἱερωσύνης, ἐνῶ αὐτοὶ ποὺ μιλοῦν στὴν καρδιὰ εἶναι λίγοι βέβαια, ἀλλ' ἄξια στεφανωμένοι μὲ τὸ λειτούργημα τῆς ἱερωσύνης.

203.- ΣΤΟΝ ΔΙΑΚΟΝΟ ΕΥΤΟΝΙΟ
Γιὰ τὴ μέλλουσα κρίση.

Ἐάν, ἔχοντας διαπράξει ἁμαρτήματα καὶ ὑποφερτὰ καὶ εὐκολοθεράπευτα, πάθουμε ἐδῶ κάτι φοβερό, ἐξαλείφουμε τὰ ἁμαρτήματα, ἂν ὅμως διαπράξαμε ἀπάνθρωπα καὶ ἀνώτερα συγγνώμης ἁμαρτήματα, ἂν τιμωρηθοῦμε ἐδῶ, θὰ τιμωρηθοῦμε καὶ ἐκεῖ, ἀλλὰ ἐλαφρότερα, ἐὰν ὅμως ἐδῶ ξεφύγουμε τὴν τιμωρία, θὰ τιμωρηθοῦμε ἐκεῖ ὑπερβολικὰ καὶ ἀπαρηγόρητα. Ἐὰν ὅμως νομίζεις ὅτι αὐτὰ εἶναι εἰκασίες, θὰ σὲ βεβαιώσουν οἱ ἅγιες Γραφές. Γιατί, γιὰ ἐκείνους ποὺ κάνουν ἁμαρτίες εὐκολουθεράπευτες, ὁ ἀπόστολος εἶπε· «Ὅταν κρινόμαστε ἀπὸ τὸν Κύριο, παιδαγωγούμαστε, γιὰ νὰ μὴ κατακριθοῦμε μαζὶ μὲ τὸν κόσμο»[49], ἐνῶ γιὰ ἐκείνους ποὺ διέπραξαν ἁμαρτίματα ἀθεράπευτα, καὶ ποὺ τιμωρήθηκαν βέβαια ἐδῶ, θὰ τιμωρηθοῦν ὅμως καὶ ἐκεῖ, ἀλλὰ ἐπιεικέστερα, ὁ ἴδιος ὁ κριτὴς εἶπε· «Πιὸ ὑποφερτὴ θὰ εἶναι ἡ τιμωρία γιὰ τὰ Σόδομα καὶ τὰ Γόμορρα, παρὰ γιὰ τὴν πόλη ἐκείνη»[49α], γιὰ ἐκείνη δηλαδὴ ποὺ ἔδιωξε τοὺς κήρυκες τοῦ Θεοῦ. Γιατὶ συγκρίνοντας αὐτοὺς ποὺ τιμωρήθηκαν ἐδῶ, μὲ ἐκείνους ποὺ δὲν τιμωρήθηκαν, καὶ λέγοντας ὅτι θὰ τιμωρηθοῦν ἐλαφρότερα, δήλωσε ὅτι θὰ εἶναι ἀσυγχώρητη καὶ πιὸ ὀδυνηρὴ ἡ τιμωρία ἐκείνων ποὺ δὲν τιμωρήθηκαν ἐδῶ.

204.- ΣΤΟΝ ΔΙΑΚΟΝΟ ΙΣΙΔΩΡΟ
Ὅτι πρέπει οὔτε σὲ ὑπερβολικὴ λύπη νὰ παραδίδουμε τὸν ἑαυτό μας, οὔτε σὲ παρόμοια χαρά.

Αὐτοὶ ποὺ προτίμησαν νὰ φυλάξουν τὴν ἀνθρώπινη εὐγένεια, πρέπει, σκεπτόμενοι τὴν ταχεῖα ροπὴ τῆς φύσεώς μας πρὸς μεταβολή, καὶ τὴν ἄμετρη χαρὰ νὰ τὴν μετριάζουν, καὶ οὔτε σὲ πολὺ μεγάλη λύπη νὰ παραδίνουν τὸν ἑαυτός τους, οὔτε σὲ πολὺ μεγάλη χαρά. Γιατὶ ἡ πρώτη, ἂν δὲν συνδυαστεῖ μὲ τὸν λογισμὸ καὶ δὲν χαλινωθεῖ μὲ

---

49. Α΄ Κορ. 11, 32.

49α. Ματθ. 10, 15.

σμῷ καὶ χαλινωθείη φρονήσει, εἰς θάνατον παιδαγωγεῖ, ἡ δέ, εἰ μὴ παραδοθείη ταῖς ἡνίαις τῆς προσδοκωμένης μεταβολῆς, ἐκτραχηλίσει καὶ τοῦ πρέποντος ἐκπεσεῖν παρασκευάσει.

ΣΕ'.– ΝΕΙΛΩ ΓΡΑΜΜΑΤΙΚΩ

Ὅτι, οἱ δοκοῦντες εἶναι σοφοί, οὐκ ἀπὸ τῆς ἐκβάσεως, ἀλλ' ἀπὸ τῆς προαιρέσεως τὰ πράγματα κρίνουσι, καὶ ὅτι χρὴ μήτε τὴν εὐημερίαν ἀρετήν, μηδὲ τὴν δυσπραγίαν κακίαν ὁρίζειν.

Ἐν τοῖς πολέμοις, ἐπειδὰν ὀλίγοι κομιδῇ ὑπὲρ τῆς πατρίδος μαχόμενοι πρὸς πολλοὺς ἀπαντήσαιεν, νικᾷν μὲν αὐτοὺς οἱ νοῦν ἔχοντες οὐκ ἀξιοῦσιν, ἀδόξως δὲ εἰ μὴ πέσοιεν θαυμάζουσιν, εἰ δὲ δὴ καὶ πλείω τοῦ εἰκότος τοὺς ἐναντίους διαθεῖεν κακά, τοῖς ἥρωσιν ἐν ἴσῳ τάττουσι. Τὸ μὲν γὰρ γενναῖον ἡγοῦνται, τὸ δὲ οὐκ ἔχον φύσιν. Καὶ οὐ, διότι τοῦτο ἀμήχανον, ἐκεῖνό γε ἐῶσι, τὸ δέ, ὡς λαμπρὸν καὶ ἀοίδιμον, γεραίρουσιν. Ἡττήθησαν γὰρ πλήθει βιασθέντες, οὐκ ἀνδρίᾳ κρατηθέντες. Καὶ ἐπὶ τῶν δικῶν δὲ τοῦτ' αὐτὸ νομίζουσιν οἱ τὴν τέχνην δοκιμάζοντες· τὴν γὰρ ἀλήθειαν δυσθήρατον εἶναι ἡγοῦνται. Φασὶ γάρ, ὅτι, Εἰ συμβαίη τὸν ἄκρον ῥήτορα μετὰ τῶν ἀσθενεστέρων εἶναι δοκούντων πραγμάτων τετάχθαι, οὐ στέρξομεν, εἰ πλησίον ὁ τοιοῦτος ἔλθοι τῆς νίκης, ἀλλ' εἰ μὴ καὶ τὴν νίκην ἀνέλοιτο, κακιοῦμεν, οὐδ' ἀγαπήσομεν, εἰ συσκιάσει ἐν τῇ δεινότητι τὸ λίαν τῶν πραγμάτων σαθρὸν καὶ παράσχοι τινὰ ῥώμην τοῖς δοκοῦσι φαύλοις καὶ τὸν πόνον αὐξήσειεν τοῖς ἀντιτεταγμένοις τὴν ἀρχήν; Οὐδ' ἀποχρῆν νομιοῦμεν, εἰ παραστήσειέ τινα φόβον ὑπὸ τῆς ψήφου τοῖς ἐλπίζουσιν ἐξ ἐπιδρομῆς αἱρήσειν, ἀλλ' εἰ μὴ πάντα ἀνατρέψειεν, εὐηθέστατον ἐροῦμεν; Καὶ πῶς οὐκ ἄτοπον; Ἐρεῖ γὰρ ὁ ῥήτωρ· Κατεχώσθην, ὦ τᾶν, ὑπὸ τῶν πραγμάτων. Πολλὰ μέντοι καὶ αὐτὸς τὸν διάδικον τρώσας, καίτοι πεπιστευκότα τὸ κράτος ἕξειν ἀπονητί. Ἡ μὲν οὖν γεγένηται τῷ τῆς παρασκευῆς ἀνίσῳ, τὸ δὲ μὴ

τὴ φρόνηση, ὁδηγεῖ στὸν θάνατο, ἐνῶ ἡ δεύτερη, ἐὰν δὲν παραδοθεῖ στὰ χαλινάρια τῆς ἀνεμενόμενης μεταβολῆς, θὰ ἀφηνιάσει καὶ θὰ μᾶς κάνει νὰ ξεφύγουμε ἀπὸ αὐτὸ ποὺ πρέπει.

205.– ΣΤΟΝ ΓΡΑΜΜΑΤΙΚΟ ΝΕΙΛΟ

Ὅτι, αὐτοὶ ποὺ νομίζουν ὅτι εἶναι σοφοί, κρίνουν τὰ πράγματα ὄχι ἀπὸ τὴν ἔκβασή τους, ἀλλὰ ἀπὸ τὴν προαίρεσή τους, καὶ ὅτι πρέπει οὔτε τὴν εὐημερία νὰ τὴ θεωροῦμε ἀρετή, οὔτε τὴν δυστυχία κακία.

Στοὺς πολέμους, ὅταν αὐτοὶ ποὺ μάχονται γιὰ τὴν πατρίδα εἶναι πολὺ λίγοι, καὶ συναντήσουν πολλοὺς ἐχθρούς, αὐτοὶ ποὺ ἔχουν μυαλό, δὲν ἔχουν τὴν ἀξίωση νὰ νικήσουν, ἐὰν ὅμως δὲν πέσουν ἄδοξα, τοὺς θαυμάζουν, καὶ ἐὰν προξενήσουν καὶ περισσότερα κακὰ στοὺς ἀντιπάλους, τοὺς κατατάσσουν σὲ ἴση μοῖρα μὲ τοὺς ἥρωες. Γιατὶ τὸ πρῶτο τὸ θεωροῦν ἀναγκαῖο, ἐνῶ τὸ δεύτερο εἶναι ἀφύσικο. Καὶ ὄχι βέβαια, ἐπειδὴ αὐτὸ εἶναι ἀκατόρθωτο, ἀφήνουν τὸ ἄλλο, ἐνῶ αὐτό, ἐπειδὴ εἶναι λαμπρὸ καὶ ἀείμνηστο, τὸ ἐξυμνοῦν. Καθόσον νικήθηκαν ἐπειδὴ ἐξαναγκάσθηκαν ἀπὸ τὸ πλῆθος, καὶ δὲν κυριεύθηκαν ἐξαιτίας τῆς ἀνδρείας ἐκείνων. Τὸ ἴδιο ἀκριβῶς πιστεύουν καὶ γιὰ τὶς δίκες αὐτοὶ ποὺ ἐξετάζουν τὴν τέχνη. Γιατὶ πιστεύουν ὅτι ἡ ἀλήθεια εἶναι δύσκολο νὰ ἀποκτηθεῖ. Λένε δηλαδή· Ἂν συμβεῖ ὁ καλύτερος ρήτορας νὰ ταχθεῖ μὲ ὑποθέσεις ποὺ θεωροῦνται ὅτι εἶναι ἀπὸ τὶς πιὸ εὔκολες, δὲν θὰ συμφωνήσουμε, ἐὰν αὐτὸς φτάσει κοντὰ στὴ νίκη, καὶ ἂν δὲν κερδίσει καὶ τὴ νίκη, θὰ τὸν κακίσουμε, καὶ δὲν θὰ τὸν ἀγαπήσουμε ἐὰν ἐπισκιάσει μὲ τὴ ρητορική του δεινότητα τὴ μεγάλη σαθρότητα τῶν γεγονότων, καὶ ἐνισχύσει κάπως αὐτὰ ποὺ φαίνονται ἀνάξια λόγου, καὶ αὐξήσει τὴν συμπόνοια αὐτῶν ποὺ στὴν ἀρχὴ ἦταν ἀντίθετοι; Οὔτε θὰ νομίσουμε ὅτι κάνει κατάχρηση, ἐὰν προξενήσει κάποιον φόβο ἀπὸ τὴν ἀπόφαση σ᾽ ἐκείνους ποὺ ἐλπίζουν ὅτι θὰ κερδίσουν εὐθὺς ἀμέσως, ἀλλὰ ἐὰν δὲν τὰ ἀνατρέψει ὅλα θὰ τὸν ποῦμε τελείως ἀνόητο; Καὶ πῶς αὐτὸ δὲν εἶναι παράλογο; Γιατὶ θὰ πεῖ ὁ ρήτορας· Θάφτηκα, φίλε μου, ἀπὸ τὰ γεγονότα. Καὶ ἐγὼ βέβαια τραυμάτισα πολὺ τὸν ἀντίδικο, ἂν καὶ νόμιζε ὅτι θὰ κερδίσει τὴ νίκη χωρὶς κόπο. Ἡ νίκη λοιπὸν συνέβη ἀπὸ τὴν ἀνισότητα τῆς

ταχεῖαν τὴν νίκην ὑπὸ τῆς ἐμῆς τέχνης, ὥστε τῷ παρ' ἐλπίδα πόνῳ περίειμι.

Τοῦ χάριν ταῦτα διεξῆλθον; Ὅτι οἱ δοκοῦντες εἶναι σοφοί, οὐκ ἀπὸ τῆς ἐκβάσεως, ἀλλ' ἀπὸ τῆς προαιρέσεως τὰ πράγματα κρίνουσι, καὶ τοὺς μὲν ἡττᾶσθαι δόξαντας πολλάκις ἀνακηρύττουσι, τοὺς δὲ νικήσαντας ἐπαίνων οὐκ ἀξιοῦσιν. Οἱ μὲν γὰρ οὐδὲν ἐλλελοίπασι τῶν ὀφειλόντων πεπρᾶχθαι, καὶ εἰ μηδὲν ὧν προῄρηντο κατώρθωσαν, οἱ δὲ ἐπὶ κακῷ τῆς ἑαυτῶν κεφαλῆς πολλάκις νενικήκασι. Καὶ σὺ τοίνυν κάλλιον ποιήσειας καὶ ἀνθρωπινώτερον, εἰ μὴ σύγχυσιν ἐργάσοιο, ἀλλὰ χωρίσειας ταῦτα ἀπ' ἀλλήλων καὶ καθ' ἑαυτὸν δοκιμάσειας ἑκάτερον, τήν τε προαίρεσιν καὶ τὸ πέρας, καὶ μήτε τὸν ἀδίκως νενικηκότα ἐπαινέσειας, μήτε τὸν ἀδικηθέντα ἐκ τῆς ἥττης ψέξειας, ἀλλὰ μηδὲ τὴν εὐημερίαν ἀρετήν, μηδὲ τὴν δυσπραγίαν κακίαν ὁρίσαιο. Εἰ μὲν γὰρ ἀναγκαίως ἐπείγετο τὸ τρόπαιον, ὁ τολμῶν μέν, μὴ κατορθῶν δέ, ἐδέχετο ἂν αἰτίαν. Εἰ δὲ τὸν αὐτὸν εὕροις ἂν γνώμῃ ἀρίστῃ χρώμενον, τέλει δὲ οὐ χρηστῷ, μὴ καταμέμφου τοῦτον, ᾧ συνάχθεσθαι δίκαιον.

Ἀλλὰ ταῦτα μέν πρός σε εἴρηται, τὸν πλέον τῶν ὁρωμένων εἰδότα μηδέν. Ἡμεῖς γάρ, οἱ τοῖς τῆς πίστεως ὀφθαλμοῖς τὸν μέλλοντα ἀκριβῶς καθορῶντες βίον, τῶν μὲν πολέμων καὶ τῶν τροπαίων καὶ τῶν ἀναρρήσεων τῶν ἡμετέρων, ἅτε τῷ παρόντι συγκαταλυομένων βίῳ, εἰκότως καταφρονοῦμεν, ἐκεῖνον δὲ πολεμοῦμεν τὸν πόλεμον, τὸν κατὰ τῶν πονηρῶν δαιμόνων καὶ τῶν τῆς σαρκὸς παθῶν συγκροτούμενον, καὶ τὸν τούτων ἀκοιμήτῳ τέχνῃ κρατοῦντα, τροπαιοῦχον εἶναί φαμεν, κἂν ἀκλεῶς δοκοίη τόνδε ἐξεληλυθέναι τὸν βίον. Ἡ γὰρ ἐνταῦθα ἀδοξία, δόξαν ἀθάνατον ὠδίνει, καὶ ἡ ἑκούσιος πενία πλοῦτον οὐράνιον τίκτει. Τότε γὰρ φανεῖται τὰ ἀγαθά, ὅτε τελευτήσει τὰ λυπηρά.

ΣΣ'.– ΑΡΑΒΙΑΝΩ ΕΠΙΣΚΟΠΩ

Περὶ τῆς βασιλείας τοῦ Θεοῦ–τῶν οὐρανῶν.

Ἡ βασιλεία τοῦ Θεοῦ τισὶ μὲν δοκεῖ ἀνωτέρα εἶναι καὶ ὑψη-

προετοιμασίας, ἀλλὰ τὸ ὅτι ἡ νίκη δὲν ἦταν σύντομη, ὀφείλεται στὴ δική μου τέχνη. Ἐπομένως ὑπερέχω μὲ τὴν ἀνέλπιστη δυσκολία.

Γιὰ ποιὸν λόγο τὰ εἶπα αὐτά; Γιὰ νὰ δείξω ὅτι αὐτοὶ ποὺ νομίζουν ὅτι εἶναι σοφοί, κρίνουν τὰ πράγματα ὄχι ἀπὸ τὴν ἔκβασή τους, ἀλλὰ ἀπὸ τὴν προαίρεση, καὶ πολλὲς φορὲς ἐκείνους ποὺ θεωρήθηκαν ὅτι ἡττήθηκαν, τοὺς ἀνακηρύττουν, ἐνῶ αὐτοὺς ποὺ νίκησαν, δὲν τοὺς κρίνουν ἄξιους ἐπαίνων. Γιατὶ οἱ πρῶτοι δὲν παρέλειψαν τίποτε ἀπὸ ὅσα ἔπρεπε νὰ γίνουν, ἔστω καὶ ἂν δὲν κατόρθωσαν τίποτε ἀπὸ αὐτὰ ποὺ εἶχαν ἐπιθυμήσει, ἐνῶ οἱ ἄλλοι νίκησαν πολλὲς φορὲς γιὰ τὸ κακὸ τοῦ κεφαλιοῦ τους. Καὶ σὺ λοιπὸν θὰ κάνεις καλύτερα καὶ πιὸ ἀνθρώπινα, ἐὰν δὲν τὰ συγχέεις αὐτά, ἀλλὰ χωρίσεις τὸ ἕνα ἀπὸ τὸ ἄλλο καὶ ἐξετάσεις τὸ καθένα ἰδιαίτερα, καὶ τὴν πρόθεση καὶ τὸ ἀποτέλεσμα, καὶ οὔτε νὰ ἐπαινέσεις ἐκεῖνον ποὺ νίκησε ἄδικα, οὔτε νὰ κατηγορήσεις αὐτὸν ποὺ ἀδικήθηκε ἀπὸ τὴν ἧττα, ἀλλ' οὔτε νὰ χαρακτηρίσεις τὴν εὐημερία ἀρετή, οὔτε τὴ δυστυχία κακία. Γιατί, ἂν ἡ νίκη ἦταν κατ' ἀνάγκη βιαστική, αὐτὸς ποὺ θὰ τολμοῦσε, ἀλλὰ δὲν θὰ κέρδιζε, θὰ δεχόταν τὴν αἰτία. Ἐὰν ὅμως τὸν ἴδιο τὸν βρεῖς νὰ ἔχει ἄριστη πρόθεση, ἀλλὰ ὄχι τέλος καλό, νὰ μὴ κατηγορεῖς αὐτόν, μαζὶ μὲ τὸν ὁποῖο πρέπει νὰ στενοχωρεῖσαι.

τὴν πολιορκίαν προὐξένησας, ἄπρακτα δὲ αὐτοῦ τὰ μηχανήματα καὶ τὰς ἑλεπόλεις ἀπέδειξας, καὶ τὸ τρόπαιον κατ' αὐτοῦ λαμπρότερον ἔστησας. Συγχαίροντες οὖν σοι ἐπὶ τῇ νίκῃ καὶ τὰ ἐπινίκια ᾄδοντες, παραινοῦμεν γρηγορεῖν καὶ προσέχειν σαυτῷ. Ὁ γὰρ πολέμιος οὔτε αἰδεῖσθαι εἶδεν, οὔτε ἐρυθριᾷν ἐπίσταται, οὔτ' ἀπογινώσκει ἕως θανάτου, ἀλλ' ἀντὶ ὅπλων καὶ μηχανημάτων ἀρκούμενος τῇ οἰκείᾳ φύσει, παντὶ καιρῷ ἐπιτίθεται, οὐ τὸ ἡττῆσθαι ἐννοῶν, ἀλλὰ τὸ νικῆσαι ὀνειροπολῶν. Πάσῃ οὖν φυλακῇ τήρει τὴν σαυτοῦ καρδίαν. Οὐ γὰρ μονοειδής, ῥᾳδίως γὰρ ἂν ἑάλω, ποικίλη δέ τίς ἐστι καὶ πολύτροπος ἡ πρὸς αὐτὸν μάχη. Ὅταν μὲν γὰρ διὰ σωφροσύνης ἡττηθῇ, διὰ φιλοχρηματίας πολεμεῖ. Εἰ δὲ κἀνταῦθα τρωθείη, διὰ βασκανίας ἐπιβουλεύει. Εἰ δὲ καὶ τούτων τινὰ ἴδῃ περιγινόμενον, τοὺς φίλους ἐξοπλίζει. Εἰ δὲ καὶ τὰς τούτων προσβολὰς ὑπομείνειε, τοὺς οἰκέτας ἐκπολεμεῖ. Ὅταν δὲ μηδὲ ὑπὸ τούτων ἁλῶ, ὀλιγωρίαν ἐντίκτει. Εἰ δὲ ταύτης περιείη, μνησικακίαν ἐνίησι. Καὶ τί πειρῶμαι πάντα τὰ βέλη τοῦ πονηροῦ φρᾶσαι; Διὸ ταῦτα μὲν παρήσω, ἐκεῖνο δὲ παραινέσαιμι τῇ σῇ ἀνδρείᾳ, πάντοθεν ὀμματοῦν ἑαυτήν, ὡς πάντοθεν τοῦ πολεμίου βάλλοντος καὶ εἰς τὰ καίρια μάλιστα ἀκοντίζοντος.

ΣΚΘ'.– ΛΕΟΝΤΙῼ ΜΑΓΙΣΤΡΙΑΝῼ

Συμβουλευτικὴ πρὸς ἀποφυγὴν τῆς ὑβριολογίας.

Οὐκ ἀποδέχομαί σε, ἄγος πόλεως καὶ κηλῖδα Ἐκκλησίας καὶ ὕβριν ἐλευθερίας καὶ τῶν συνόντων ὀλετῆρα, καὶ τί γὰρ οὐχὶ τῶν αἰσχίστων, Ζώσιμον τὸν δοκοῦντα πρεσβύτερον, ἀποκαλοῦντα. Εἰ γὰρ καὶ αὐτὸς τοιοῦτός ἐστιν, ἀλλὰ σὴν γλῶτταν, καὶ ὄργανον ἀληθείας τυγχάνουσαν, οὐ χρὴ τούτοις καταρρυπαίνεσθαι τοῖς λόγοις. Παῦσαι τοίνυν σαυτὸν ὑβρίζων. Εἰ γὰρ καὶ ἀληθῆ τὰ λεγόμενα καὶ οὐδεὶς ὡς ψευδομένῳ ἐπισκήψειεν,

πολιορκία, καὶ ἀπέδειξες ὅτι τὰ τεχνάσματά του καὶ οἱ πολιορκητικὲς μηχανές του εἶναι ἄχρηστα, καὶ ἔστησες λαμπρότερο τὸ τρόπαιο τῆς νίκης ἐναντίον του. Ἐκφράζοντας τὴ χαρά μου μαζὶ μὲ σένα γιὰ τὴ νίκη, καὶ ψάλλοντας τὰ ἐπινίκια, σὲ συμβουλεύω νὰ μένεις ἄγρυπνος καὶ νὰ προσέχεις τὸν ἑαυτό σου. Γιατὶ ὁ ἐχθρὸς οὔτε ντροπὴ γνωρίζει, οὔτε ξέρει νὰ κοκκινίζει, οὔτε ἀπογοητεύεται μέχρι θανάτου, ἀλλὰ ἀντὶ γιὰ ὅπλα καὶ πολεμικὰ μηχανήματα, ἀρκούμενος στὴ φύση του, ἐπιτίθεται σὲ κάθε εὐκαιρία, χωρὶς νὰ σκέπτεται ὅτι θὰ νικηθεῖ, ἀλλὰ ὀνειροπολώντας τὴ νίκη. Μὲ κάθε λοιπὸν προφυλακτικὸ τρόπο νὰ φροντίζεις τὴν καρδιά σου. Γιατὶ ἡ μάχη δὲν εἶναι μιᾶς μορφῆς μόνο, γιατὶ τότε ἡ νίκη θὰ ἦταν εὔκολη, ἀλλ' εἶναι ποικιλόμορφη καὶ γίνεται μὲ πολλοὺς τρόπους. Ὅταν δηλαδὴ νικηθεῖ μὲ τὴ σωφροσύνη, μᾶς πολεμᾶ μὲ τὴν φιλοχρηματία. Καὶ ἂν καὶ ἐδῶ τραυματισθεῖ, τότε πλέκει τὶς μηχανορραφίες του μὲ τὴ βασκανία. Ἐὰν ὅμως δεῖ κάποιον καὶ αὐτὰ νὰ τὰ νικᾶ, τότε ἐξοπλίζει τοὺς φίλους. Καὶ ἂν ὑπομείνει καὶ τὶς ἐπιθέσεις αὐτῶν, τότε ἐξωθεῖ σὲ πόλεμο ἐναντίον του τοὺς ὑπηρέτες. Ὅταν οὔτε μὲ αὐτοὺς τὸν νικήσει, τότε γεννᾶ μέσα του ἀδιαφορία. Καὶ ἐὰν αὐτὴν τὴν δαμάσει, βάζει μέσα του μνησικακία. Ἀλλὰ γιατί προσπαθῶ νὰ σοῦ πῶ ὅλα τὰ βέλη τοῦ πονηροῦ; Γι' αὐτό, αὐτὰ βέβαια θὰ τὰ ἀφήσω, ἐκεῖνο μόνο θὰ συμβουλεύσω τὴν ἀνδρεία σου, ἀπὸ παντοῦ σὰν μὲ μάτια νὰ προσέχει τὸν ἑαυτό της, ἐπειδὴ ὁ ἐχθρὸς ρίχνει ἀπὸ παντοῦ τὰ βέλη του, καὶ μάλιστα ρίχνει τὰ ἀκόντιά του στὰ κατάλληλα σημεῖα.

229.– ΣΤΟΝ ΜΑΓΙΣΤΡΙΑΝΟ ΛΕΟΝΤΙΟ

Συμβουλευτικὴ πρὸς ἀποφυγὴ τῆς ὑβριολογίας.

Δὲν δέχομαι νὰ ἀποκαλεῖς τὸν Σώσιμο, ποὺ νομίζει πὼς εἶναι πρεσβύτερος, μίασμα τῆς πόλης καὶ κηλίδα τῆς Ἐκκλησίας καὶ ἀτίμωση τῆς ἐλευθερίας καὶ καταστροφέα τῶν ἀνθρώπων ποὺ τὸν συναναστρέφονται, καὶ ὅ,τι ἄλλο ἀπὸ τὰ πιὸ αἰσχρά. Γιατί, ἀκόμα καὶ ἂν εἶναι τέτοιος, ἀλλ' ἡ δική σου γλώσσα, ποὺ εἶναι ὄργανο τῆς ἀλήθειας, δὲν πρέπει νὰ καταλερώνεται μὲ τέτοια λόγια. Παῦσε λοιπὸν νὰ ἀτιμάζεις τὸν ἑαυτό σου. Γιατί, ἂν καὶ εἶναι ἀληθινὰ αὐτὰ ποὺ λές, καὶ κανεὶς δὲν θὰ μποροῦσε νὰ σὲ κατηγορήσει ὅτι ψεύδεσαι, ὅμως

ἀλλὰ σὲ κόσμιον ὄντα ἄνδρα καὶ πολλαῖς ἀρεταῖς κομῶντα, καὶ τὸ τῆς ἀνεξικακίας δίκαιον ἂν εἴη ἐναβρύνειν ἐγκαλλώπισμα.

ΣΛ΄.– ΑΦΡΟΔΙΣΙΩ ΠΡΕΣΒΥΤΕΡΩ
Παραινετική.

Καιρίως ἂν τὰ γραφέντα παρὰ σοῦ ἐλέγετο τοῖς εἰς σὲ πεπαρῳνηκόσιν, εἴ γε μὴ ὡμολόγουν ἐσφάλθαι. Ὁμολογούντων δέ, ἄωρος τούτων ἡ μνήμη τῆς ἀπὸ τοῦ καιροῦ συμμαχίας ἀμοιροῦσα.

ΣΛΑ΄.– ΑΝΤΙΟΧΩ
Εἰς τό, «Οὐ φείσεται ὀφθαλμός μου ἐπί σέ».

Τίνος ἕνεκεν, ἔφης, εἶπεν ἡ τῆς ἡμερότητος πηγὴ διὰ τοῦ Ἰεζεκιὴλ περὶ τῶν Ἰουδαίων, «Οὐ φείσεται ὁ ὀφθαλμός μου, οὐδὲ μὴ ἐλεήσω». Ἄκουε τοίνυν. Ἐπειδὴ ἐν πολλοῖς χρόνοις ἦσαν συγγνώμης ἁμαρτάνοντες μείζονα, καὶ μήτε τοὺς τῶν προφητῶν προσιέμενοι λόγους, μήτε τὰς θείας εὐεργεσίας ἐννοοῦντες, εἰς ἀνήκεστον ἐκπεπτώκασι κακίαν, αὐτοτελὴς δὲ κατ' αὐτῶν ἐξενήνεκτο ἀπόφασις, ὥστε παραδοθῆναι τοῖς Βαβυλωνίοις καὶ ἔργον τῆς τῶν πολεμίων γενέσθαι δεξιᾶς, ἤδει γὰρ αὐτῶν τὸ ἀμετανόητον. Οὐδένα οἶκτον λήψομαι, φησίν, ἐπὶ τοῖς πάσχουσιν, ὃ δὴ ἐπὶ τῶν Νινευϊτων πεποίηκα. Ἐκεῖ μὲν γὰρ ἡ ἐπὶ τὸ κρεῖττον αὐτῶν ῥοπή τε καὶ τροπὴ καιρὸν παρέσχεν ἀνακληθῆναι τοὺς κατακρίτους καὶ ἀνατραπῆναι τὴν ἀπόφασιν, ἐνταῦθα δὲ οὐδενὸς ἐπὶ τὸ βέλτιον βλέποντος, ἀλλὰ πάντων ἐπὶ τὰ χείρω ῥεπόντων, ἀναγκαίως ἡ κατὰ πάντων ἐκφέρεται ψῆφος.

ΣΛΒ΄.– ΠΑΥΛΩ ΜΟΝΑΖΟΝΤΙ
Ὅτι πάσης ἐπέκεινα τόλμης τὸ δογματίζειν τοὺς βιοῦντας αἰσχρῶς, καὶ εἰς τὸ γεγραμμένον· «Γνῶναι τὰς ὁδούς μου ἐπιθυμοῦσιν ὡς λαὸς δικαιοσύνην πεποιηκώς».

Χρὴ τὸν μέλλοντα περὶ Θεοῦ λόγον κινεῖν ταῖς ἀπὸ τῆς

---

58. Ἰεζ. 5, 11. 7, 8. 9, 5 κ. ἄ. 59. Ὀπ. π. 7, 11.

ἐπειδὴ σὺ εἶσαι σεμνὸς ἄνδρας καὶ στολίζεσαι μὲ πολλὲς ἀρετές, πρέπει νὰ καμαρώνεις καὶ μὲ τὸ κόσμημα τῆς ἀνεξικακίας.

230.- ΣΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟ ΑΦΡΟΔΙΣΙΟ
Παραινετική.

Θὰ λέγονταν στὴν κατάλληλη στιγμὴ αὐτὰ ποὺ γράφτηκαν ἀπὸ σένα γι' αὐτοὺς ποὺ σὲ ἔβρισαν σὰν μεθυσμένοι, ἐὰν δὲν ὁμολογοῦσαν ὅτι ἔσφαλαν. Ἐπειδὴ ὅμως ὁμολογοῦν, εἶναι παράκαιρη ἡ ἀνάμνηση αὐτῶν, ἐπειδὴ στερεῖται τὴ συμμαχία τῆς ἐπικαιρότητας.

231.- ΣΤΟΝ ΑΝΤΙΟΧΟ
Στό· «Δὲν θὰ σὲ λυπηθεῖ τὸ μάτι μου ...»[58].

Γιὰ ποιὸν λόγο, ρώτησες, ἡ πηγὴ τῆς ἠπιότητας εἶπε, μέσω τοῦ Ἰεζεκιήλ, γιὰ τοὺς Ἰουδαίους, «Δὲν θὰ σὲ λυπηθεῖ τὸ μάτι μου, οὔτε θὰ σὲ ἐλεήσω»[59]. Ἄκου λοιπόν. Ἐπειδὴ γιὰ πολλὰ χρόνια διέπραττον ἁμαρτήματα μεγαλύτερα ἀπὸ αὐτὰ ποὺ μποροῦν νὰ συγχωρηθοῦν, καὶ οὔτε τὰ λόγια τῶν προφητῶν ἔκαμναν ἀποδεκτά, οὔτε ἀναλογίζονταν τὶς εὐεργεσίες τοῦ Θεοῦ, καὶ ἔτσι ἔπεσαν σὲ ἀθεράπευτη κακία, πάρθηκε τελεσίδικη ἀπόφαση ἐναντίον τους, ὥστε νὰ παραδοθοῦν στοὺς Βαβυλωνίους καὶ νὰ γίνουν ὑποχείριοι τῆς δύναμης τῶν ἐχθρῶν τους, ἐπειδὴ γνώριζε ὅτι εἶναι ἀμετανόητοι. Δὲν θὰ δείξω, λέγει, κανένα οἶκτο, γι' αὐτοὺς ποὺ ὑποφέρουν, πρᾶγμα ποὺ ἔκανα καὶ γιὰ τοὺς κατοίκους τῆς Νινευΐ. Ἐκεῖ βέβαια ἡ κλίση καὶ μεταβολή τους πρὸς τὸ καλύτερο ἔδωσε καιρὸ νὰ μετανοήσουν οἱ κατάκριτοι καὶ νὰ ἀνακληθεῖ ἡ ἀπόφαση, ἐδῶ ὅμως, ἐπειδὴ κανένας δὲν ἀποβλέπει πρὸς τὸ καλύτερο, ἀλλὰ ὅλοι ρέπουν πρὸς τὰ χειρότερα, ἀναγκαστικὰ καὶ ἡ ἀπόφαση ἐκδίδεται γιὰ ὅλους.

232.- ΣΤΟΝ ΜΟΝΑΧΟ ΠΑΥΛΟ
Ὅτι ξεπερνᾶ κάθε τόλμη, τὸ νὰ δογματίζουν αὐτοὶ ποὺ ζοῦν αἰσχρά, καὶ στὸ γραμμένο· «Ἐπιθυμοῦν νὰ γνωρίσουν τοὺς δρόμους μου σὰν λαὸς ποὺ ἐφαρμόζει τὴ δικαιοσύνη»[60].

Πρέπει, αὐτὸς ποὺ κάνει λόγο γιὰ τὸν Θεό, νὰ λάμπει μὲ τὶς

60. Ἡσ. 58, 2.

πολιτείας διαλάμπειν ἀρεταῖς. Τῷ γὰρ κακίας ἐραστῇ οὐδὲ περὶ τῶν δικαιωμάτων αὐτοῦ, μήτιγε αὐτοῦ κινεῖν τὴν γλῶτταν ἐπιτρέπει, ὡς ὑβριζομένων τῶν θείων νόμων, ὅταν διὰ μιαρᾶς προφέρωνται γλώττης. «Τῷ γὰρ ἁμαρτωλῷ», φησίν, «εἶπεν ὁ Θεός· Ἵνα τί σὺ ἐκδιηγῇ τὰ δικαιώματά μου καὶ ἀναλαμβάνεις τὴν διαθήκην μου διὰ στόματός σου;». Καὶ διὰ τοῦ Ἡσαΐου μεμφόμενος τοὺς βίου μὲν ἀρίστου μὴ ἐπιμελομένους, τὰς δὲ οἰκονομίας αὐτοῦ αἰτιωμένους, φησί· «Γνῶναί μου τὰς ὁδοὺς ἐπιθυμοῦσιν, ὡς λαὸς δικαιοσύνας πεποιηκώς, καὶ κρίσιν Θεοῦ αὐτοῦ μὴ ἐγκαταλελοιπώς». Εἰ δὲ οἱ τὰς ὁδοὺς αὐτοῦ, τουτέστι τὰς οἰκονομίας, πολυπραγμονοῦντες, πάντολμοι ἂν εἶεν, πῶς οὐκ ἂν ἐπέκεινα πάσης τόλμης χωροῦσιν, οἱ περὶ αὐτοῦ τοῦ Θεοῦ μιαρᾷ γλώττῃ λόγον κινοῦντες, καὶ μάλιστα ὅταν τί ἐστι πολυπραγμονῶσι; Χρὴ δὲ μὴ τί ἐστι περιεργάζεσθαι, ἀλλ' ὅτι ἐστὶν ἰσχυρίζεσθαι. Καὶ σιωπῶ, ὅτι παρὰ Λακεδαιμονίοις, τοῖς σκιὰς τῶν πράξεων τοὺς λόγους εἶναι εἰκότως ὁρισαμένοις, τὸν αἰσχρῶς βεβιωκότα, οὐδὲ γνώμην ἀγαθὴν ἀποφήνασθαι ἐξῆν. Εἰ τοίνυν ὀρθῶς σοι πιστεύοντι καὶ εὖ πράττοντι ἐπιφύονταί τινες πράγματά σοι παρέχοντες, μὴ ταράττου. Τοιοῦτον γὰρ τῶν φαύλων ἔθος. Ἡττώμενοι γὰρ περιφανῶς τῷ βίῳ, ἐπὶ τὴν ἔρευναν τοῦ Θείου καταφεύγουσιν, ὡς ἐκ τούτου πράγματα παρέξοντες τοῖς εὖ βιοῦσι καὶ τὴν παρρησίαν αὐτῶν ἀποκλείσοντες. Ἐχρῆν δὲ αὐτούς, ἐννοοῦντας ὅτι οἱ περὶ τὸ δῆλον πταίοντες, περὶ τοῦ δοκοῦντος ἀδήλου οὐκ ἂν εἶεν ἀξιόπιστοι λέγοντες, πρῶτον ἑαυτῶν τὸν βίον ῥυθμίσαι, καὶ οὕτως ἐπὶ τὴν ζήτησιν παρελθεῖν τῶν ἀνεφίκτων.

ΣΛΓ'.– ΤΩ ΑΥΤΩ

Ὅτι χρὴ τὰς ἀρχὰς τῶν λόγων ἀληθεῖς εἶναι καὶ πιστάς.

Χρὴ τὰς ἀρχὰς τῶν λόγων ἀληθεῖς εἶναι καὶ πιστάς. Ψεύδους γὰρ οὔσης τῆς ὑποθέσεως, ἀναγκαίως καὶ τὸ συμπέρασμα ἀσύστατον εὑρεθήσεται.

---

61. Ψαλμ. 49, 16.

62. Ἡσ. 58, 2.

ἀρετὲς τῆς ζωῆς του. Γιατὶ στὸν ἐραστὴ τῆς κακίας δὲν ἐπιτρέπει οὔτε γιὰ τὶς ἐντολές του νὰ κινεῖ τὴ γλώσσα του, ἐπειδὴ βρίζονται οἱ θεϊκοὶ νόμοι, ὅταν προφέρονται ἀπὸ μολυσμένη γλώσσα. Γιατὶ λέγει· «Εἶπε ὁ Θεὸς στὸν ἁμαρτωλό· Γιατί ἐσὺ διηγεῖσαι τὶς ἐντολές μου καὶ παίρνεις τὴ διαθήκη μου στὸ στόμα σου;»[61]. Καὶ μέσω τοῦ Ἡσαΐα, κατηγορώντας αὐτοὺς ποὺ δὲν φροντίζουν μὲ τὴν ἄριστη ζωή, ἀλλὰ κατηγοροῦν τὶς δικές του ἐνέργειες γιὰ τὴ διακυβέρνηση τοῦ κόσμου, λέγει· «Ἐπιθυμοῦν νὰ γνωρίσουν τὶς ἐνέργειές μου, σὰν λαὸς ποὺ ἔχει ἐφαρμόσει τὶς ἐντολές μου καὶ δὲν ἔχει ἐγκαταλείψει τὴν κρίση του»[62]. Ἂν ὅμως, ἐκεῖνοι ποὺ περιεργάζονται τὶς ὁδούς του, δηλαδὴ τὶς ἐνέργειές του, θὰ μποροῦσαν νὰ χαρακτηρισθοῦν ἀδιάντροποι, πῶς δὲν προχωροῦν πέρα ἀπὸ κάθε ἀδιαντροπιὰ αὐτοὶ ποὺ κάνουν λόγο γιὰ τὸν ἴδιο τὸν Θεὸ μὲ μολυσμένη γλώσσα, καὶ μάλιστα ὅταν ἀσχολοῦνται μὲ τὸ τί εἶναι αὐτός; Γιατὶ πρέπει ὄχι τὸ νὰ ἐρευνοῦν τί εἶναι ὁ Θεός, ἀλλὰ νὰ ἰσχυρίζονται ὅτι ὑπάρχει. Καὶ ἀποσιωπῶ, ὅτι στοὺς Λακεδαιμονίους, οἱ ὁποῖοι ὅρισαν εὔλογα ὅτι τὰ λόγια εἶναι σκιὲς τῶν πράξεων, αὐτὸς ποὺ ἔζησε μὲ τρόπο αἰσχρόν, δὲν ἐπιτρέπεται οὔτε καλὴ γνώμη νὰ ἐκφράσει. Ἐὰν λοιπὸν σὺ ποὺ πιστεύεις σωστὰ καὶ κάνεις εὐεργεσίες, ξεφυτρώνουν κάποιοι ποὺ σὲ ἐνοχλοῦν, νὰ μὴ ταράζεσαι. Γιατὶ αὐτὴ εἶναι ἡ συνήθεια τῶν αἰσχρῶν. Ἐπειδὴ δηλαδὴ νικῶνται ὁλοφάνερα μὲ τὴ ζωὴ ποὺ κάνουν, καταφεύγουν στὴν ἔρευνα τοῦ Θεοῦ, ὥστε μὲ αὐτὸ νὰ δημιουργήσουν προβλήματα σ' αὐτοὺς ποὺ ζοῦν ὅπως πρέπει, καὶ νὰ ἀποκλείσουν τὴν παρρησία τους. Ἔπρεπε ὅμως αὐτοί, σκεπτόμενοι, ὅτι ἐκεῖνοι ποὺ κάνουν σφάλμα σ' αὐτὸ ποὺ εἶναι φανερό, δὲν μποροῦν νὰ εἶναι ἀξιόπιστοι ὅταν μιλοῦν γι' αὐτὸ ποὺ φαίνεται ἄγνωστο, πρῶτα νὰ διορθώσουν τὴ ζωή τους, καὶ μετὰ νὰ προχωρήσουν στὴν ἀναζήτηση αὐτῶν ποὺ εἶναι ἁπλησίαστα.

233.- ΣΤΟΝ ΙΔΙΟ

Ὅτι πρέπει οἱ ἀρχὲς τῶν λόγων νὰ εἶναι ἀληθινὲς καὶ πειστικές.

Πρέπει οἱ ἀρχὲς τῶν λόγων νὰ εἶναι ἀληθινὲς καὶ πειστικές. Γιατί, ἐὰν ἡ ὑπόθεση εἶναι ψεύτικη, κατ' ἀνάγκη καὶ τὸ συμπέρασμα θὰ βρεθεῖ νὰ εἶναι ἀστήρικτο.

ΣΛΔ΄.- ΑΛΥΠΙΩ ΕΠΙΣΚΟΠΩ
Περὶ φιλαργυρίας.

Μὴ δυσχεράνῃς, ὦ βέλτιστε, ἐὰν ἐπαφῶ τὴν γλῶτταν τοῖς φιλαργύροις. Πρᾶγμα γὰρ λέξω σαφὲς καὶ ἁπλοῦν καὶ μαρτυρίας μὴ δεόμενον. Τοσοῦτον γὰρ κεχείρωνται τῷ νοσήματι, ὡς μηδὲ νόσημα αὐτὸ ἡγεῖσθαι. Καθάπερ γὰρ οἱ οὐρανοπολῖται, οἱ ἐν τοῖς ὄρεσι, φημί, μοναχοί, οὐδὲ ἴσασι τί ἐστι πλεονεξία, οὕτως οὐδὲ οὗτοι, ἀλλ' οὐχ ὁμοίως, ἀλλ' ἀπεναντίας ἐκείνοις. Ἐκεῖνοι μὲν γὰρ διὰ τὸ πόρρω εἶναι τοῦ πάθους ἀγνοοῦσι τὸ νόσημα, οὗτοι οὐδὲ νόσημα αὐτὸ ἡγοῦνται εἶναι. Οὕτω γὰρ παρώσατο τὴν ἀρετὴν ἡ κακία καὶ τυραννεῖ, καὶ πάντα ἄνω καὶ κάτω ποιεῖ, ὡς μηδὲ κακία εἶναι νομίζεσθαι.

ΣΛΕ΄.- ΖΩΣΙΜΩ ΠΡΕΣΒΥΤΕΡΩ
Ὅτι ἀθάνατος ἡ ψυχή.

Τὸ νομίζειν σε φθείρεσθαι μετὰ τοῦ σώματος τὴν ψυχήν, κωμῳδῇ γελοῖον καὶ ἠλίθιον καὶ τῷ ὄντι σαρκικοῦ ἀνθρώπου, καὶ βουλομένου μὲν μετὰ τὸν ἐνταῦθα βίον μηδὲν εἶναι, βεβαιοῦντος δὲ τὰ παρὰ πάσης ἡλικίας περὶ σοῦ τραγῳδούμενα. Δυσωπῆσαι μὲν οὖν σε ὀφείλουσι καὶ φιλόσοφοι καὶ ποιηταὶ καὶ ῥήτορες καὶ συγγραφεῖς, ὅσοι τὴν τῆς ψυχῆς ἀθανασίαν ἐδογμάτισαν, ὧν, εἰ καὶ ἄπειρος εἶ, ὡς ἀπαίδευτος ὢν ἐν πᾶσιν, ἀλλά γε παρὰ τῶν πεπαιδευμένων μαθεῖν δίκαιος ἂν εἴης. Δυσωπήσει δὲ καὶ λογισμὸς ἀναντίρρητος. Ἡ γὰρ τοῦ σώματος ἀεὶ ῥέοντος καὶ φθειρομένου ἐπιλαμβανομένη, καὶ τὸ θνητὸν αὐτοῦ καὶ ῥευστὸν ἐπισφίγγουσα καὶ τὸ πίπτον ἐγείρουσα, καὶ παρέχουσα τοῖς μὲν ἀπορρέουσι τροφήν, τοῖς δὲ μαραινομένοις ἀναβλάστησιν, οὐκ ἂν δήπου καθ' ἑαυτὴν γενομένη ἀπολείπῃ τὴν οἰκείαν δύναμιν, δι' ἧς καὶ τὸ σῶμα συνεῖχε καὶ διέσωζεν. Εἰ δὲ μήτε τοὺς ἔξωθεν σοφοὺς δυσωπηθείης, μήτε τούτῳ τῷ ἀναγκαίῳ λογισμῷ πεισθείης, ἅτε πολλῇ καὶ συγγνώμης μείζο-

234.- ΣΤΟΝ ΕΠΙΣΚΟΠΟ ΑΛΥΠΙΟ
Γιὰ τὴ φιλαργυρία.

Νὰ μὴ δυσαναχετήσεις, φίλε μου, ἐὰν ἐξαπολύσω τὴ γλώσσα μου ἐναντίον τῶν φιλαργύρων. Καθόσον θὰ πῶ κάτι καθαρὸ καὶ ἁπλό, ποὺ δὲν δέχεται μαρτυρία. Γιατὶ τόσο πολὺ κυριεύθηκαν ἀπὸ τὸ νόσημα, ὥστε οὔτε κἂν νὰ τὸ θεωροῦν αὐτὸ νόσημα. Ὅπως δηλαδὴ οἱ οὐρανοπολῖτες, ἐννοῶ οἱ μοναχοὶ ποὺ ζοῦν στὰ βουνά, δὲν ξέρουν οὔτε τί εἶναι πλεονεξία, ἔτσι οὔτε αὐτοί, ὄχι ὅμως ὅμοια μὲ αὐτούς, ἀλλὰ ἀντίθετα μ' ἐκείνους. Γιατὶ ἐκεῖνοι, ἐπειδὴ βρίσκονται μακριὰ ἀπὸ τὸ πάθος, ἀγνοοῦν τὸ νόσημα, ἐνῶ αὐτοὶ δὲν πιστεύουν οὔτε ὅτι αὐτὸ εἶναι νόσημα. Τόσο πολὺ δηλαδὴ μακριὰ ὤθησε ἡ κακία τὴν ἀρετὴ καὶ τὴν τυραννεῖ, καὶ ὅλα τὰ κάνει ἄνω-κάτω, ὥστε οὔτε κἂν νὰ θεωρεῖται ὅτι εἶναι κακία.

235.- ΣΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟ ΖΩΣΙΜΟ
Ὅτι ἡ ψυχὴ εἶναι ἀθάνατη.

Τὸ νὰ νομίζεις ὅτι ἡ ψυχὴ καταστρέφεται μαζὶ μὲ τὸ σῶμα, εἶναι πολὺ γελοῖο καὶ ἠλίθιο, καὶ πραγματικὰ γνώρισμα τοῦ σαρκικοῦ ἀνθρώπου, ὁ ὁποῖος θέλει μετὰ τὴν ἐδῶ ζωή του νὰ εἶναι μηδέν, καὶ ἐπιβεβαιώνει αὐτὰ ποὺ διαδίδονται γιὰ σένα ἀπὸ ὅλες τὶς ἡλικίες. Πρέπει λοιπὸν νὰ σὲ κάνουν νὰ ντρέπεσαι καὶ οἱ φιλόσοφοι καὶ οἱ ποιητὲς καὶ οἱ ρήτορες καὶ οἱ συγγραφεῖς, αὐτοὶ ποὺ δίδαξαν τὴν ἀθανασία τῆς ψυχῆς, ἀπὸ τοὺς ὁποίους, ἂν καὶ δὲν τοὺς γνωρίζεις, ἀφοῦ εἶσαι τελείως ἀπαίδευτος, ὅμως θὰ μποροῦσες νὰ μάθεις ἀπὸ τοὺς διδαγμένους. Θὰ σὲ συνετίσει ὅμως καὶ ὁ λογισμὸς ποὺ δὲν ἐπιδέχεται ἀντίρρηση. Γιατὶ αὐτὴ ποὺ φροντίζει γιὰ τὸ σῶμα, ποὺ διαρκῶς λειώνει καὶ φθείρεται, καὶ δένει σφιχτὰ τὸ θνητὸ καὶ ρευστὸ στοιχεῖο του, καὶ σηκώνει αὐτὸ ποὺ πέφτει, καὶ δίνει σ' αὐτὰ ποὺ ἀπορρέουν τροφή, καὶ αὐτὰ ποὺ μαραίνονται τὰ κάνει νὰ ξαναβλαστάνουν, ὁπωσδήποτε, ὅταν βρεθεῖ μόνη της, δὲν θὰ ἐγκαταλείψει τὴ δύναμή της, μὲ τὴν ὁποία καὶ τὸ σῶμα τὸ συγκρατοῦσε καὶ τὸ διέσωζε. Ἐὰν ὅμως οὔτε τοὺς μὴ χριστιανοὺς σοφοὺς ντρέπεσαι, οὔτε καὶ σ' αὐτὸν τὸν ἀναγκαῖο συλλογισμὸ πείθεσαι, ἐπειδὴ εἶσαι βουτηγμένος μέσα σὲ πολλὴ καὶ ἀνεπίδεκτη συγγνώμης κακία, θὰ σοῦ ἀναφέρω

νι κακίᾳ βεβαπτισμένος, χρησμόν σοι θεῖον ἀναγνωσόμεθα, δι' οὗ διαρρήδην ἡ τῆς ψυχῆς ἀθανασία κηρύττεται. Τί οὖν αὐτός φησι; «Μὴ φοβηθῆτε ἀπὸ τῶν ἀποκτενόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι». Μὴ τοίνυν ἐκ τῆς ὑπερβολῆς ὧν ἔδρασας κακῶν (οὐδὲν γὰρ ἄπρακτον, ὥς φασι, κατέλειψας), ἀσεβῆ δόγματα σαυτῷ δογμάτιζε, ἀλλὰ πιστεύων ἀθάνατον εἶναι τὴν ψυχήν, καὶ ὅτι πολλάκις μὲν κἀνταῦθα, πάντως δ' ἐκεῖσε δώσεις δίκην, ὡς οὐ λησόμενος τὴν δίκην, ἀπαλλάγηθι, κἂν ὀψέ ποτε, τῆς πονηρίας.

ΣΛΣ'.– ΕΥΛΟΓΙΩ
Ἐπαινετική.

Ὀλίγα εἰπών, ὃ βούλομαι φράσω. Βοιωτούς τις εἰς ἀπαιδευσίαν σκώπτων, ἔφη· "Ὦ Βοιωτοί, ὡς σφόδρα ἐστὲ Βοιωτοί". Δίκαιος δέ τις ἀνήρ, ἀδίκῳ πράγματι παρακαλούμενος ὑπὸ Μιλησίων συμπρᾶξαι, ἔφη· "Ὦ Μιλήσιοι, ὡς σφόδρα ἐστὲ Μιλήσιοι". Ἀλέξανδρος δὲ ἐρωτηθείς, διὰ τί λίαν τιμᾷ Ἀντίπατρον, ἔφη, "Ὅτι ἀντὶ πατρός μοί ἐστιν". Ἐγὼ δὲ φράσω· Ὦ Εὐλόγιε, ὡς σφόδρα εἶ Εὐλόγιος, ἐπαινεῖν ἐμὲ καὶ τοὺς κατ' ἐμὲ προῃρημένος.

ΣΛΖ'.– ΗΡΩΝΙ ΜΟΝΑΖΟΝΤΙ
Εἰς τό, «Πᾶς ἀνὴρ φαίνεται δίκαιος».

Πολλοὶ τῶν ἀνθρώπων (ὀκνῶ γὰρ εἰπεῖν πάντες, καίτοι τῆς Γραφῆς τοῦτο δοκούσης λέγειν), οὐ τῷ δικαιοσύνην ἀσπάζεσθαι, ἀλλὰ τῷ τοῖς ἀδικωτέροις ἑαυτοὺς παραβάλλειν τῇ συγκρίσει τῶν χειρόνων, τὴν τῆς δικαιοσύνης φαντασίαν καρποῦνται, οὐκ αὐτὰς καθ' ἑαυτὰς τὰς θείας ἐντολὰς δοκιμάζοντες καὶ πρὸς τὸν τούτων κανόνα ῥυθμίζοντες τὸν οἰκεῖον βίον, ἀλλὰ τοῖς ῥᾳθυμοῦσι τῶν πέλας παραμετροῦντες τὴν ἑαυτῶν πολιτεί-

63. Ματθ. 10, 28.

ἕναν θεϊκπ λόγο, μὲ τὸν ὁποῖο κηρύσσεται ἀπερίφραστα ἡ ἀθανασία τῆς ψυχῆς. Τί λέγει λοιπὸν αὐτή; «Νὰ μὴ φοβηθεῖτε ἀπὸ αὐτοὺς ποὺ σκοτώνουν τὸ σῶμα, ἀλλὰ δὲν μποροῦν νὰ σκοτώσουν τὴν ψυχή»[63]. Μὴ δογματίζεις λοιπὸν γιὰ τὸν ἑαυτό σου διδασκαλίες ἀσεβεῖς, ἐπηρεασμένος ἀπὸ τὸ πλῆθος τῶν κακῶν ποὺ ἔχεις διαπράξει (γιατί, ὅπως λένε, δὲν ἄφησες τίποτε ποὺ νὰ μὴ τὸ ἔχεις κάνει), ἀλλὰ πιστεύοντας, ὅτι ἡ ψυχὴ εἶναι ἀθάνατη, καὶ ὅτι πολλὲς φορὲς καὶ ἐδῶ, ὁπωσδήποτε ὅμως ἐκεῖ, θὰ τιμωρηθεῖς, γιατὶ δὲν θὰ ἀποφύγεις τὴν τιμωρία, ἀπαλλάξου, ἔστω καὶ ἀργά, ἀπὸ τὴν κακία.

236.– ΣΤΟΝ ΕΥΛΟΓΙΟ

Ἐπαινετική.

Θὰ σοῦ πῶ μὲ λίγα λόγια αὐτὸ ποὺ θέλω νὰ σοῦ πῶ. Κάποιος ἀπὸ τοὺς κατοίκους τῆς Βοιωτίας, εἰρωνευόμενος τὴν ἀπαιδευσία, εἶπε· "Ὦ Βοιωτοί, πόσο ὑπερβολικὰ Βοιωτοί εἴσαστε!". Ἐπίσης κάποιος ἄνδρας δίκαιος, τὸν ὁποῖο παρακαλοῦσαν οἱ κάτοικοι τῆς Μιλήτου νὰ πάρει μέρος σὲ μιὰ ὑπόθεση ἄδικη, εἶπε· "Ὦ Μιλήσιοι, πόσο ὑπερβολικὰ Μιλήσιοι εἴσαστε", «Καὶ ὁ Ἀλέξανδρος, ὅταν ἐρωτήθηκε γιατί ἐκτιμᾶ πολὺ τὸν Ἀντίπατρο, εἶπε· "Ἐπειδὴ γιὰ μένα εἶναι στὴ θέση τοῦ πατέρα μου". Καὶ ἐγὼ θὰ σοῦ πῶ· Ὦ Εὐλόγιε, πόσο πολὺ Εὐλόγιος εἶσαι, μὲ τὸ νὰ ἐπαινεῖς ἐμένα, καὶ νὰ προτιμᾶς αὐτοὺς ποὺ εἶναι ἐναντίον μου.

237.– ΣΤΟΝ ΜΟΝΑΧΟ ΗΡΩΝΑ

Στὴ ρήση· «Κάθε ἄνδρας φαίνεται δίκαιος»[64].

Πολλοὶ ἄνθρωποι (γιατὶ διστάζω νὰ πῶ ὅλοι, ἂν καὶ βέβαια ἡ ἁγία Γραφὴ αὐτὸ φαίνεται νὰ λέγει), ὄχι ἐπειδὴ ἀσπάζονται τὴ δικαιοσύνη, ἀλλὰ μὲ τὸ νὰ παραβάλλουν τοὺς ἑαυτούς μας μὲ τοὺς πιὸ ἄδικους, σὲ σύγκριση μὲ τοὺς χειρότερους, κερδίζουν τὴν ἐντύπωση τῆς δικαιοσύνης, ὄχι βέβαια ἐπιδοκιμάζοντας αὐτὲς τὶς ἴδιες τὶς θεϊκὲς ἐντολὲς καὶ ρυθμίζοντας τὴ ζωή τους σύμφωνα μὲ τὸν κανόνα αὐτῶν, ἀλλὰ ἀντιπαραβάλλοντας τὴ δική τους συμπεριφορὰ μὲ ἐκείνην τῶν συνανθρώπων τους ποὺ εἶναι ράθυμοι. Γι' αὐτὸ καὶ εἰπώθηκε αὐτὸ τὸ

64. Παροιμ. 21, 2.

αν. Διὸ καὶ τοῦτ' ἐρρέθη, ὅπερ μαθεῖν ἠθέλησας· «Πᾶς ἀνὴρ φαίνεται ἑαυτῷ δίκαιος». Πρὸς μὲν γὰρ τὰ κατορθώματα τῶν πέλας τυφλώττει, τὰ δὲ ἐλαττώματα ὀξέως ὁρᾷ, καὶ καθάπερ οἱ γύπες, λειμῶνας πολλάκις καὶ παραδείσους παρατρέχοντες, τοῖς νεκροῖς ἐφίπτανται σώμασιν. Ἐπήγαγε γοῦν· «Κατευθύνει δὲ καρδίας ὁ Κύριος», ἢ τῶν τὴν τοιαύτην φαντασίαν δηλονότι ἐξορισάντων, ἢ τῶν πρὸς τὰς θείας ἐντολὰς τὸν ἑαυτῶν ῥυθμισάντων βίον, ἢ τῶν ὑπερβεβηκότων τὸ ἄνθρωποι εἶναι καὶ εἰς κρείττονα τάξιν τε καὶ ἀξίαν διὰ τῆς ἀρίστης πολιτείας ἀναβιβασθέντων, κατὰ τὸ εἰρημένον· «Ἐγὼ εἶπα· θεοί ἐστε καὶ υἱοὶ τοῦ Ὑψιστοῦ πάντες».

ΣΛΗ'.– ΠΑΜΠΡΕΠΙΩ ΔΙΑΚΟΝΩ
Τί ἐστι τό, «Ἱερεῖς λαλήσατε εἰς τὴν καρδίαν Ἰερουσαλήμ».

Ἐπειδὴ τὸ μὲν λόγοις φιλοσοφεῖν ῥᾴδιον, τὸ δὲ ἔργοις δύσκολον, καὶ τὸ μὲν τὰς ἀκοὰς τέρπει, τὸ δὲ τὰς ψυχὰς παιδεύει, διὰ τοῦτο ὁ Θεὸς τοῖς τῆς ἱερωσύνης λειτουργίαν ἐστεμμένοις βοᾷ τοῦθ' ὅπερ μαθεῖν ἠθέλησας· «Ἱερεῖς λαλήσατε εἰς τὴν καρδίαν Ἰερουσαλήμ». Ἐπειδὴ γὰρ οἱ διὰ λόγων φιλοσοφοῦντες οὐ μόνον ἐνοχλοῦσι τοὺς ἀκούοντας, ἀλλὰ καὶ δι' ὧν τὰ ἐναντία οἷς λέγουσι πράττουσι, κωμῳδεῖσθαι ἑαυτοὺς παρασκευάζουσι, διὰ τοῦτο τὴν τῶν ἔργων ἀρετὴν τούτους ἀπαιτεῖ, τὴν τῆς ψυχῆς τῶν ἀκροατῶν ἁπτομένην. Ὥστε ἱερὸν εἶναι χρὴ τὸν ἱερωμένον. Ἱεράσθαι γὰρ τὸν ἀνίερον οὐ θέμις.

ΣΛΘ'.– ΠΑΛΛΑΔΙΩ ΔΙΑΚΟΝΩ
Ὅτι χαλεπὸν ἡ κακοδοξία καὶ ἀνόνητοι τῶν ταύτῃ κεκρατημένων οἱ πόνοι.

Ἀνάκτησαι σαυτοῦ, ὦ βέλτιστε, τὴν ὑπόληψιν, οὐ νοσήσα-

64α. Παροιμ. 21, 2.
65. Ὅπ. π.

ὁποῖο θέλησες νὰ μάθεις· «Κάθε ἄνδρας θεωρεῖ τὸν ἑαυτό του δίκαιο»[64α]. Γιατὶ μπροστὰ στὶς ἀρετὲς τῶν πλησίον του κλείνει τὰ μάτια του, ἐνῶ τὰ ἐλαττώματά τους τὰ βλέπει γρήγορα, ὅπως ἀκριβῶς καὶ τὰ ἁρπαχτικὰ πουλιά, ξεπερνώντας πολλὲς φορὲς λειβάδια καὶ κατάφυτους τόπους, πετοῦν πάνω ἀπὸ τὰ νεκρὰ σώματα. Γι' αὐτὸ καὶ πρόσθεσε· «Τὶς καρδιὲς ὅμως τὶς κατευθύνει ὁ Κύριος»[65]· ἢ δηλαδὴ ἐκείνων οἱ ὁποῖοι ἔβγαλαν ἀπὸ τὴν καρδιά τους αὐτὴ τὴ γνώμη, ἢ ἐκείνων ποὺ ρύθμισαν τὴ ζωή τους σύμφωνα μὲ τὶς θεϊκὲς ἐντολές, ἢ ἐκείνων ποὺ ξεπέρασαν τὴν ἀνθρώπινη φύση τους, καὶ ἀνέβηκαν στὴν ἀνώτερη τάξη καὶ ἀξία μὲ τὴν ἄριστη ζωή τους, σύμφωνα μὲ αὐτὸ ποὺ ἔχει λεχθεῖ· «Ἐγὼ εἶπα· Εἴσαστε ὅλοι θεοὶ καὶ υἱοὶ τοῦ Ὑψίστου»[66].

238.- ΣΤΟΝ ΔΙΑΚΟΝΟ ΠΑΜΠΡΕΠΙΟ
Τί σημαίνει τό· «Ἱερεῖς, μιλῆστε στὴν καρδιὰ τῆς Ἱερουσαλήμ»[67].

Ἐπειδὴ τὸ νὰ φιλοσοφοῦμε μὲ λόγια εἶναι εὔκολο, ἐνῶ τὸ νὰ μιλᾶμε μὲ ἔργα εἶναι δύσκολο, καὶ τὸ ἕνα βέβαια εὐχαριστεῖ τὰ αὐτιά, ἐνῶ τὸ ἄλλο παιδαγωγεῖ τὶς ψυχές, γι' αὐτὸ ὁ Θεὸς φωνάζει σ' ἐκείνους ποὺ εἶναι στεφανωμένοι μὲ τὸ λειτούργημα τῆς ἱερωσύνης αὐτὸ ποὺ θέλησες νὰ μάθεις· «Ἱερεῖς μιλῆστε στὴν καρδιὰ τῆς Ἱερουσαλήμ». Ἐπειδὴ δηλαδὴ αὐτοὶ ποὺ φιλοσοφοῦν μὲ λόγια, ὄχι μόνο ἐνοχλοῦν αὐτοὺς ποὺ τους ἀκοῦνε, ἀλλὰ καὶ ἐπειδὴ κάνουν καὶ τὰ ἀντίθετα μὲ αὐτὰ ποὺ λένε, κάνουν τοὺς ἑαυτούς τους νὰ διακωμωδοῦνται, γι' αὐτὸ ἀπαιτεῖ ἀπὸ αὐτοὺς τὴν ἀρετὴ τῶν ἔργων, ἡ ὁποία ἀγγίζει τὴν ψυχὴ τῶν ἀκροατῶν τους. Ὥστε ὁ ἱερωμένος πρέπει νὰ εἶναι ἱερός. Γιατὶ δὲν εἶναι σωστὸ νὰ γίνεται ἱερέας ὁ ἀνίερος.

239.- ΣΤΟΝ ΔΙΑΚΟΝΟ ΠΑΛΛΑΔΙΟ
Ὅτι εἶναι φοβερὴ ἡ κακοδοξία, καὶ ἀνώφελοι οἱ κόποι αὐτῶν ποὺ ἐξουσιάζονται ἀπὸ αὐτήν.

Ξανακέρδισε, φίλε μου, τὴν καλὴ φήμη σου, ἡ ὁποία δὲν ἀρρώ-

66. Ψαλμ. 81, 6.
67. Ἡσ. 40, 2.

σαν καὶ διαφθαρεῖσαν καὶ εἰς τὸ μὴ ὂν χωρήσασαν (ἧττον γὰρ ἦν ἴσως κακόν), ἀλλ' εἰς κακοδοξίαν τραπεῖσαν.

ΣΜ΄.– ΛΑΜΠΕΤΙΩ ΕΠΙΣΚΟΠΩ

Ὅτι οἱ ἀξιωθέντες μείζονος τιμῆς, καὶ μείζονα δώσουσι δίκην.

Οἶδα μέν, ὦ ἀγνείας ἀνάκτορον, ὅτι εἰκότως δυσχεραίνεις, Ζωσίμου τε καὶ Μαρτινιανοῦ, Μάρωνός τε καὶ Εὐσταθίου ἱερᾶσθαι δοκούντων, ἀνθρώπων πάσῃ μὲν ἀρετῇ ἀπροσίτων τε καὶ ἀβάτων, πάσῃ δὲ κακίᾳ ἱππήλατον ἑαυτοὺς κατασκευασάντων ὁδόν τε καὶ χῶρον. Ἀλλ' εὖ εἰδέναι ὀφείλεις, ὅτι ὅσῳ μείζονος ἠξιώθησαν τιμῆς, τοσούτῳ καὶ μείζονα δώσουσι δίκην, ὅτι μηδὲ τῇ εὐεργεσίᾳ βελτίους ἐγένοντο.

ΣΜΑ΄.– ΤΩ ΑΥΤΩ

Ὅτι, εἴ τι εὐδόκιμον λέγομεν, τῷ Θεῷ τὴν αἰτίαν λογιστέον, τῷ καὶ ἰδιώτας διὰ τὴν τῶν ἀκουόντων ὠφέλειαν πολλάκις σοφίζοντι.

Αὐτὸς μὲν ἴσως πολλῶν τε λόγων καὶ νοημάτων ἔχειν με νομίζεις παρασκευήν, ἐγὼ δὲ οἶδα σαφῶς, ὅτι οὐδὲν οἶδα. Εἰ δέ τι λεχθείη εὐδόκιμον, τῷ Θεῷ τὴν αἰτίαν λογιστέον, τῷ καὶ ἰδιώτας διὰ τὴν τῶν ἀκουόντων ὠφέλειαν πολλάκις σοφίζοντι.

ΣΜΒ΄.– ΝΕΙΛΑΜΜΩΝΙ ΣΧΟΛΑΣΤΙΚΩ

Ὅτι χρὴ τὴν μὲν ἀρετὴν ἀσπαστὴν εἶναι, κἂν πάντες ψέγωσιν, τὴν δὲ κακίαν φευκτήν, κἂν πάντες οἱ τῶν κακῶν ἐρασταὶ αὐτὴν ἀνακηρύττωσιν.

Εἰ καὶ τῷ δεινὸς εἶναι προλαβὼν τὴν ἀπολογίαν διέσυρας γεγραφώς, εἰπὲ πάλιν, ὅτι τῷ δόγματι οὐ λυμαίνεται ἡ ὑπερφυὴς Μαρτινιανοῦ καὶ Ζωσίμου, Μάρωνός τε καὶ Εὐσταθίου κακία, ὧν ὁ βίος λοιπὸν σκηνοβατεῖται, ἀδοξίαν καὶ κωμῳδίαν τῇ ἱερωτάτῃ θρησκείᾳ προστριβόμενος, ἀλλ' ἔγωγε οὐκ ἂν ἀπο-

στησε καὶ διαφθάρθηκε καὶ χάθηκε (γιατὶ θὰ ἦταν ἴσως μικρότερο τὸ κακό), ἀλλὰ μεταβλήθηκε σὲ κακοδοξία.

240.- ΣΤΟΝ ΕΠΙΣΚΟΠΟ ΛΑΜΠΕΤΙΟ

Ὅτι ἐκεῖνοι ποὺ ἀξιώθηκαν μεγαλύτερης τιμῆς, θὰ ὑποστοῦν καὶ μεγαλύτερη τιμωρία.

Γνωρίζω βέβαια, ναὲ τῆς ἀγνότητας, ὅτι δικαιολογημένα δυσανασχετεῖς, ἐπειδὴ ὁ Ζώσιμος καὶ ὁ Μαρτινιανός, ὁ Μάρωνας καὶ ὁ Εὐστάθιος, ποὺ νομίζουν ὅτι εἶναι ἱερεῖς, ἄνθρωποι ποὺ ἔκαναν τοὺς ἑαυτούς τους δρόμους καὶ χώρους ἀπλησίαστους καὶ ἀδιάβατους σὲ κάθε ἀρετή, καί, ἀντίθετα, κατάλληλους γιὰ τὴν εἰσχώρηση κάθε κακίας, ἀλλὰ πρέπει νὰ ξέρεις καλά, ὅτι ὅσο πιὸ μεγαλύτερη εἶναι ἡ τιμὴ τὴν ὁποία ἀξιώθηκαν, τόσο μεγαλύτερη θὰ εἶναι καὶ ἡ τιμωρία τους, ἐπειδὴ οὔτε μὲ τὴν εὐεργεσία ἔγιναν αἴτιοι.

241.- ΣΤΟΝ ΙΔΙΟ

Ὅτι, ἐὰν λέμε κάτι τὸ πετυχημένο, πρέπει νὰ ἀποδίδουμε τὴν αἰτία στὸν Θεό, ὁ ὁποῖος πολλὲς φορὲς πρὸς ὠφέλεια τῶν ἀκροατῶν κάνει σοφοὺς ἀκόμα καὶ τοὺς ἀγροίκους.

Σὺ βέβαια ἴσως νομίζεις ὅτι εἶμαι προετοιμασμένος γιὰ πολλοὺς λόγους καὶ σκέψεις, ἐγὼ ὅμως γνωρίζω καλά, ὅτι δὲν γνωρίζω τίποτε. Ἐὰν ὅμως λεχθεῖ κάτι τὸ πετυχημένο, νὰ ἀποδίδεις τὴν αἰτία στὸν Θεό, ὁ ὁποῖος ἀκόμα καὶ τοὺς ἀγροίκους πολλὲς φορὲς τοὺς κάνει σοφοὺς πρὸς ὠφέλεια ἐκείνων ποὺ τοὺς ἀκοῦν.

242.- ΣΤΟΝ ΣΧΟΛΑΣΤΙΚΟ ΝΕΙΛΑΜΜΩΝΑ

Ὅτι πρέπει ἡ ἀρετὴ νὰ γίνεται ἀποδεκτή, κι' ἂν ἀκόμα ὅλοι τὴν ψέγουν, ἐνῶ ἡ κακία νὰ ἀποφεύγεται, κι' ἂν ἀκόμα τὴν ἐπαινοῦν ὅλοι οἱ ἐραστὲς τῶν κακῶν.

Ἂν καί, ἐπειδὴ εἶσαι παμπόνηρος, προλαβαίνοντας διέσυρες τὴν ἀπολογία, γράφοντάς μου, Πές μου πάλι, ὅτι δὲν βλάπτει τὴ διδασκαλία ἡ πελώρια κακία τοῦ Μαρτινιανοῦ, τοῦ Ζωσίμου, τοῦ Μάρωνα καὶ τοῦ Εὐσταθίου, τῶν ὁποίων ἡ ζωὴ διακωμωδεῖται στὰ θέατρα, προκαλώντας δυσφήμηση καὶ γελοιοποίηση στὴν ἱερώτατη θρη-

σταίην τῆς ἀληθείας, ἀλλ' αὐτῇ πρὸς ἀπολογίαν χρησαίμην. Ἐπειδὴ γὰρ οὐκ ἔχων ὅ τι καὶ μέμψοιο τὴν θειοτάτην θρησκείαν, εἴς τινας τῶν ἱερωμένων ἔτρεψας τὴν κατηγορίαν, εὐφώρατός σοι ἡ σκαιωρία γέγονεν ὑπὸ πάντων τῶν συνέσεως οὐκ ἀμοιρούντων, τῶν τὴν μὲν θείαν ὑπερεπαινεσάντων πολιτείαν, τὴν δὲ κατηγορίαν εἰς ἐκείνους τρεψάντων. Εἰ δὲ καὶ αὐτὸς τῆς φιλονεικίας ἀποσταίης, ἀποδείξῃ τὰ εἰρημένα. Τί γὰρ ἄτοπόν φαμεν, λέγοντες ὅτι αὐτὸ τὸ πρᾶγμα βασανίζεσθαι χρή, καὶ εἰ μὲν καλὸν φωραθείη, ἀσπαστέον, κἂν τινες τῶν δοκούντων αὐτὸ μετιέναι εἰς αὐτὸν τῆς κακίας τὸν πυθμένα κατέπεσον, εἰ δ' αἰσχρόν, φευκτέον, κἂν τινες τῶν δοκούντων αὐτῷ προσκεκλίσθαι εἰς αὐτὴν τῆς ἀρετῆς δοκοῖεν ἐληλακέναι τὴν κορυφήν; Χρὴ γὰρ τὴν μὲν ἀρετὴν ἀσπαστὴν εἶναι, κἂν πάντες ψέγωσιν οἱ τὴν κρίσιν τῶν πραγμάτων οὐκ ἔχοντες ὀρθήν, τὴν δὲ κακίαν φευκτήν, κἂν πάντες οἱ τῶν κακῶν ἐρασταὶ αὐτὴν ἀνακηρύττωσιν. Οὐ γὰρ ἀπὸ τῶν νοσούντων, ἀλλ' ἀπὸ τῶν ὑγιαινόντων χρὴ λαμβάνειν τὰς περὶ τῶν πραγμάτων ψήφους. Εἰ γὰρ τοῖς νοσοῦσι ἑψόμεθα, καὶ φιλοσοφίας καταγνωσόμεθα.

ΣΜΓ'.– ΕΥΔΑΙΜΟΝΙ

Εἰς τό, «Αὕτη κληθήσεται γυνή, ὅτι ἐκ τοῦ ἀνδρὸς αὐτῆς ἐλήφθη».

Σὺ μὲν οὖν οὐ κατὰ λόγον ἔφης εἰρῆσθαι τό, «Αὕτη κληθήσεται γυνή, ὅτι ἐκ τοῦ ἀνδρὸς αὐτῆς ἐλήφθη», ἐγὼ δὲ οὐ μόνον κατὰ λόγον, ἀλλὰ καὶ θαυμασίως αὐτὸ γεγράφθαι φημί, καὶ ὅπως, ἄκουε. Ἡ γυνὴ παρὰ τὴν γονὴν εἴρηται. Αὕτη γοῦν κληθήσεται γυνή, τουτέστι γονίμη, ὅτι ἐκ τοῦ ἀνδρὸς αὐτῆς, τοῦ μέλλοντος γόνιμον ποιεῖν, ἐλήφθη. Τὴν γὰρ παρθένον ὁ ἀνὴρ συναπτόμενος, γυναῖκα, τουτέστι γόνιμον ποιεῖ. Διὸ καὶ παρ' Ἀθηναίοις ἡ συνάφεια ἡ κατὰ νόμον, ἐπ' ἀρότρῳ παίδων ἐλέγετο γίνεσθαι, καὶ γονεῖς οἱ τεκόντες καλοῦνται. Τοὺς γὰρ λέ-

σκεία, ἐγὼ ὅμως δὲν θὰ ἀπομακρυνθῶ ἀπὸ τὴν ἀλήθεια, ἀλλὰ θὰ τὴν χρησιμοποιήσω γιὰ νὰ ἀπολογηθῶ. Ἐπειδὴ δηλαδή, μὴ μπορώντας νὰ κατηγορήσεις γιὰ τίποτε τὴ θεϊκώτατη θρησκεία, ἔστρεψες τὴν κατηγορία σὲ μερικοὺς ἱερωμένους, ἡ σκευωρία σου ἔγινε τελείως ἀντιληπτὴ ἀπὸ ὅλους ἐκείνους ποὺ δὲν τοὺς λείπει ἡ σύνεση, οἱ ὁποῖοι τὴν θεϊκὴ βέβαια συμπεριφορὰ τὴν ἐπαίνεσαν πάρα πολύ, τὴν κατηγορία ὅμως τὴν ἔστρεψαν σ' ἐκείνους. Ἐὰν λοιπὸν καὶ σὺ παραιτηθεῖς ἀπὸ τὴ φιλονεικία, θὰ ἀποδείξεις αὐτὰ ποὺ ἔχουν λεχθεῖ. Τί δηλαδὴ παράλογο λέμε, ὑποστηρίζοντας ὅτι πρέπει αὐτὸ τὸ θέμα νὰ ἐρευνηθεῖ, καὶ ἂν φυσικὰ ἀποδειχθεῖ καλό, νὰ τὸ ἀποδεχθοῦμε, ἔστω καὶ ἂν μερικοὶ ἀπὸ αὐτοὺς ποὺ νομίζουν ὅτι τὸ ἀσκοῦν, ἔπεσαν στὸν πυθμένα τῆς κακίας, ἐὰν ὅμως εἶναι αἰσχρό, νὰ τὸ ἀποφεύγουμε, ἔστω καὶ ἂν μερικοὶ ἀπὸ αὐτοὺς ποὺ πιστεύουν ὅτι εἶναι ἀφοσιωμένοι σ' αὐτό, φαίνονται ὅτι ἔχουν φτάσει στὴν κορυφὴ τῆς ἀρετῆς; Γιατὶ πρέπει ἡ ἀρετὴ νὰ εἶναι ἀποδεκτή, ἔστω καὶ ἂν ὅλοι, ὅσοι δὲν ἔχουν σωστὴ τὴν κρίση τῶν πραγμάτων, τὴν κατηγοροῦν, ἐνῶ ἡ κακία νὰ ἀποφεύγεται, ἔστω καὶ ἂν ὅλοι, ὅσοι εἶναι ἐραστὲς τῶν κακῶν, τὴν ἀνακηρύττουν. Καθόσον πρέπει νὰ διαμορφώνουμε γνώμη γιὰ τὰ πράγματα ὄχι ἀπὸ τοὺς ἀρρώστους, ἀλλὰ ἀπὸ τοὺς ὑγιεῖς. Γιατί, ἂν ἀκολουθήσουμε τοὺς ἀρρώστους, θὰ κατηγορήσουμε καὶ τὴ φιλοσοφία.

243.- ΣΤΟΝ ΕΥΔΑΙΜΟΝΑ

Στὸ χωρίο· «Αὐτὴ θὰ ὀνομασθεῖ γυναίκα,
ἐπειδὴ ἔγινε ἀπὸ τὸν ἄνδρα της»[68].

Σὺ βέβαια εἶπες, ὅτι ὁ λόγος, «Αὐτὴ θὰ ὀνομασθεῖ γυναίκα, ἐπειδὴ ἔγινε ἀπὸ τὸν ἄνδρα της», δὲν εἰπώθηκε αἰτιολογημένα, ἐγὼ ὅμως λέγω, ὅτι ὄχι μόνο αἰτιολογημένα, ἀλλὰ καὶ γράφθηκε μὲ τρόπο θαυμάσιο, καὶ ἄκουσε μὲ ποιὸν τρόπο. Ἡ γυνὴ προέρχεται ἀπὸ τὴν γονή. Αὐτὴ λοιπὸν θὰ ὀνομασθεῖ γυνή, δηλαδὴ γόνιμη, ἐπειδὴ ἔγινε ἀπὸ τὸν ἄνδρα της, ὁ ὁποῖος ἐπρόκειτο νὰ τὴν κάνει γόνιμη. Γιατὶ ὁ ἄνδρας, ὅταν ἑνώνεται μὲ παρθένο, τὴν κάνει γυναίκα, δηλαδὴ γόνιμη. Γι' αὐτὸ καὶ ἀπὸ τοὺς Ἀθηναίους ἡ σύμφωνη μὲ τὸν νόμο ἕνωση λεγόταν, ὅτι γίνεται ὄργανο γιὰ τὴν παραγωγὴ παιδιῶν, καὶ αὐτοὶ

68. Γεν. 2, 23.

γοντας παρὰ τὰ γυῖα, τουτέστι τὰ μέλη, εἰρῆσθαι, οὐδὲ λόγου ἀξιωτέον. Τῷ μὲν γὰρ μέλει καὶ μέρει τὸ ὅλον καὶ τὸ πᾶν ἀντιδιαστέλλεται, τῇ δὲ γυναικὶ ὁ ἀνήρ, τουτέστι τῷ σπείροντι γεωργῷ καὶ ἀνορύττοντι τὴν γυναικείαν χώραν, παρ' ὃ καὶ ἀνήρ, ὡς οἶμαι, λέγεται. Τὸ γὰρ ἄνθρωπος κοινὸν αὐτοῖς ἐστιν ὄνομα· ἡ σπειρομένη γῆ, καὶ διὰ τοῦτο γόνιμος γινομένη. Τῶν «πρός τι» γὰρ ἡγοῦμαι καὶ τοῦτ' εἶναι. Ἅμα γὰρ εἴποις ἄνδρα, καὶ γυνὴ τῇ ἐννοίᾳ συνεισέρχεται, ὡς καὶ πατρὸς ῥηθέντος, ὁ παῖς συνυπακούεται, καὶ δεσπότου λεχθέντος, ὁ δοῦλος συνεπινοεῖται.

ΣΜΔ'.– ΔΙΟΣΚΟΡΩ

Χρὴ μὴ μόνον ὑπὲρ ὧν εὐεργετούμεθα χάριν εἰδέναι, ἀλλὰ καὶ ὑπὲρ ὧν κωλυόμεθα ἀδικεῖν.

Χρὴ μὴ μόνον ὑπὲρ ὧν εὐηργετήθης χάριν εἰδέναι, ἀλλὰ καὶ ὑπὲρ ὧν κωλύῃ ἀδικεῖν. Καὶ τοῦτο γάρ, εἰ καὶ παράδοξόν σοι φαίνεται, εὐεργεσίας εἶδος μέγιστον τυγχάνει.

ΣΜΕ'.– ΘΕΟΔΟΣΙΩ ΕΠΙΣΚΟΠΩ

Περὶ τῆς τῶν Πηλουσιωτῶν πόλεως, τῆς ὁλοφυρμῶν ἀξίας.

Εἰκότως, ὦ θαυμάσιε, τὴν Πηλουσιωτῶν νῦν καταθρηνεῖς πόλιν, καίτοι πρότερον μακαρίσας. Ὅτε μὲν γάρ, οἷα δὴ μήτηρ ἐπ' ἀριστοτόκοις παιδὸς ὠδῖσι, τῇ τοῦ ἀοιδίμου Ἀμμωνίου, τοῦ ὄντως ἐπισκόπου, προστασίᾳ ἐνηβρύνετο, εἰκότως ἐμακαρίζετο, ἅτε δὴ καὶ τῶν θείων καὶ τῶν ἀνθρωπίνων ἀγαθῶν ἀνάπλεως οὖσα, ὅτε δὲ μιαρὸν καὶ ξένον ἀνθρωπόμορφον θηρίον τὴν οἰκονομίαν αὐτῆς ἐνεχειρίσθη καὶ εἰς ἐσχάτην ἐρημίαν κατηνέχθη, εἰκότως ὁλοφυρμῶν ἐστιν ἀξία. Ἐπ' ἐκείνου μὲν γάρ, ὥσπερ αἱ τὴν βασιλίδα τοῦ σμήνους ἐν εὐδρόσοις λειμώνων ἄνθεσι περιιζάνουσι μέλιτται, οὕτω πάντες αὐτὸν περιεῖπον καὶ περὶ αὐτὸν ἐχόρευον. Ὄντως γὰρ ἦν καὶ τὴν ὁμιλίαν καὶ τὴν

ποὺ τὰ γέννησαν λέγονται γονεῖς. Γιατὶ αὐτοὶ ποὺ λένε ὅτι ὀνομάσθηκε ἀπὸ τὰ γυῖα, δηλαδὴ τὰ μέλη, δὲν ἀξίζει κἂν νὰ λέγεται. Γιατὶ τὸ μέλος καὶ τὸ μέρος λέγεται κατ' ἀντιδιαστολὴ πρὸς τὸ ὅλο καὶ τὸ σύνολο, ἐνῶ στὴ γυναίκα ἀντιδαστέλλεται ὁ ἄνδρας, δηλαδὴ ὁ γεωργὸς ποὺ σπέρνει καὶ ὀργώνει τὸ γυναικεῖο χωράφι, ἀπὸ τὸ ὁποῖο ὀνομάζεται, ὅπως νομίζω, καὶ ἄνδρας. Γιατὶ τὸ ὄνομα "ἄνθρωπος" εἶναι κοινὸ γι' αὐτούς. Ἡ γυναίκα εἶναι σπειρόμενη γῆ, καὶ γι' αὐτὸ γίνεται γόνιμη. Γιατὶ νομίζω ὅτι καὶ αὐτὸ εἶναι ἀπὸ τὰ "πρός τι". Γιατὶ μόλις πεῖς ἄνδρας, συνυπακούεται καὶ ἡ ἔννοια τῆς γυναίκας. Ὅπως καὶ ὅταν λεχθεῖ τὸ ὄνομα "πατέρας", συνυπακούεται τὸ παιδί, καὶ ὅταν λεχθεῖ τὸ "δεσπότης", ὑπονοεῖται μαζὶ μ' αὐτὸ καὶ ὁ δοῦλος.

244.- ΣΤΟΝ ΔΙΟΣΚΟΥΡΟ

Ὅτι πρέπει νὰ εὐχαριστοῦμε τὸν Θεὸ ὄχι μόνο γιὰ τὶς εὐεργεσίες ποὺ δεχόμαστε, ἀλλὰ καὶ γιὰ τὶς ἀδικίες ποὺ ἐμποδιζόμαστε νὰ κάνουμε.

Πρέπει νὰ εὐχαριστεῖς τὸν Θεὸ ὄχι μόνο γιὰ τὶς εὐεργεσίες ποὺ δέχθηκες, ἀλλὰ καὶ γιὰ τὶς ἀδικίες ποὺ ἐμποδίζεσαι νὰ κάνεις. Γιατὶ κι' αὐτό, ἂν καὶ σοῦ φαίνεται παράξενο, εἶναι πάρα πολὺ μεγάλο εἶδος εὐεργεσίας.

245.- ΣΤΟΝ ΕΠΙΣΚΟΠΟ ΘΕΟΔΟΣΙΟ

Γιὰ τὴν πόλη τῶν Πηλουσιωτῶν, τὴν ἄξια γιὰ θρήνους.

Δικαιολογημένα, θαυμάσιε, θρηνεῖς τώρα τὴν πόλη τῶν Πηλουσιωτῶν, ἂν καὶ παλαιότερα τὴν μακάρισες. Γιατὶ ὅταν τότε, βρισκόμενη κάτω ἀπὸ τὴν προστασία τοῦ ἀείμνηστου Ἀμμωνίου, τοῦ πραγματικοῦ ἐπισκόπου, καμάρωνε, ὅπως ἡ μητέρα γιὰ τοὺς πόνους τοῦ τοκετοῦ ἄριστων παιδιῶν, δικαιολογημένα μακαριζόταν, ἐπειδὴ ἦταν γεμάτη ἀπὸ θεϊκὰ καὶ ἀνθρώπινα ἀγαθά, ἀπὸ τὴ στιγμὴ ὅμως ποὺ ἀνέλαβε τὴ διοίκησή της κάποιο μιαρὸ καὶ παράξενο καὶ ἀνθρωπόμορφο τέρας καὶ ἐξέπεσε σὲ ἔσχατη ἐρημία, δικαιολογημένα εἶναι ἄξια θρήνων. Γιατὶ ὅσο ἐκεῖνος ἦταν ἐπίσκοπος, ὅπως οἱ μέλισσες περιτριγυρίζουν τὴ βασίλισσα τοῦ σμήνους μέσα σὲ ὁλόδροσα ἄνθη λιβαδιῶν, ἔτσι ὅλοι τὸν φρόντιζαν καὶ χόρευαν γύρω ἀπὸ αὐτόν. Γιατὶ

φωνὴν μελισταγῆς καὶ χειρωτικὸν ἐκέκτητο θέλγητρον. Ἐπὶ δὲ τούτου, ἀλλ' οὐδὲν βούλομαι δυσχερὲς εἰπεῖν, οἱ ὑπολειφθέντες τὸ πανηγυρικὸν ἀμείψαντες σχῆμα, καταθρηνοῦσι τὰς σφῶν συμφοράς. Τὸ δὲ αἴτιον, ὥς φασι, τουτέστι τὸ ἐπ' ἐκείνου μὲν τὸ θεῖον θυσιαστήριον τῆς προσηκούσης τυγχάνειν ἁγιστείας, ἱερέων αὐτὸ περιεπόντων εὐαγῶν, ἐπὶ δὲ τούτου, τοὺς μὲν ἐναγεῖς ἐγκρίνεσθαι, τοὺς σπουδαίους δ' ἀπελαύνεσθαι. Ὡς τῶν ἀναγκαίων τοιγαροῦν ἐρραθυμημένων, καὶ τὰ ἄλλα πάντα διέφθαρται. Τῶν γὰρ ἀδυνάτων ὑπὸ μιαρῶν ἀνθρώπων πατουμένων, ἄβατος καὶ ἡ πόλις εἰκότως γεγένηται. Μὴ τοίνυν, ὦ ἱερὰ κεφαλή, καταθρήνει μόνον αὐτήν, ἀλλὰ καὶ εὔχου, ὅπως εἰς τὴν ἀρχαίαν ἀρετήν τε καὶ εὐημερίαν ἀναδράμοι.

ΣΜΣ'.– ΠΕΤΡΩ

Περὶ εἰρήνης καὶ δικαιοσύνης, καὶ ὅτι εἰρήνη ὄντως ἐκείνη ἐστίν, ἡ τῇ δικαιοσύνῃ καὶ τῇ εὐσεβείᾳ σεμνυνομένη.

Ἡ εἰρήνη τῇ δικαιοσύνῃ συγκεκραμένη θεῖόν ἐστι χρῆμα. Εἰ δὲ θατέρα ἄνευ τῆς ἑτέρας εἴη, λυμαίνεται τῷ τῆς ἀρετῆς κάλλει. Ἔστι μὲν γὰρ εἰρήνη καὶ λῃσταῖς πρὸς ἑαυτοὺς καὶ λύκοις, τοῖς μὲν ἐπὶ λύμῃ τῶν ἀνθρώπων, τοῖς δὲ ἐπ' ὀλέθρῳ τῶν προβάτων, ἀλλ' οὐκ ἂν καλέσαιμι ταύτην εἰρήνην, τὴν τῇ δικαιοσύνῃ μὴ κοσμουμένην. Εἰ δ' αὐτῇ συνέλθοι, ὄντως εἰρήνη κεκλήσεται. Διό καὶ ὁ Χριστὸς ἔφη· «Οὐκ ἦλθον βαλεῖν εἰρήνην ἐπὶ τὴν γῆν, ἀλλὰ μάχαιραν». Ὅτι γὰρ οὐ πᾶσαν εἰρήνην, ἀλλὰ τὴν τῇ κακίᾳ συνεζευγμένην ἀποκηρύττει, ἀλλαχοῦ φησιν· «Εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν». Εἰρήνη γὰρ ὄντως ἐκείνη ἐστίν, ἡ τῇ δικαιοσύνῃ καὶ τῇ εὐσεβείᾳ σεμνυνομένη.

ΣΜΖ'.– ΕΥΤΟΝΙΩ ΔΙΑΚΟΝΩ

Ὅτι χρὴ μετὰ παρρησίας, θρασύτητος ἀπηλλαγμένης καὶ προσηνείᾳ κεκραμένης, ἀνύειν τὰ πρέποντα.

Μὴ φοβοῦ, ὦ μισοπονηρίας ἱερὸν τέμενος, τοὺς ἐλέγχειν

69. Ματθ. 20, 34.

70. Ἰω. 14, 27.

πραγματικὰ καὶ στὴν ὁμιλία καὶ στὴ φωνή του ἦταν μελιστάλακτος, καὶ εἶχε γοητεία ποὺ σὲ σκλάβωνε. Ἐνῶ κατὰ τὴν ἐπισκοπή αὐτοῦ, ἀλλὰ δὲν θέλω νὰ πῶ τίποτε τὸ δυσάρεστο, αὐτοὶ ποὺ ἀπέμειναν, ἀλλάζοντας τὴν πανηγυρικὴ ἐμφάνιση, καταθρηνοῦν τὶς συμφορές τους. Καὶ τὸ αἴτιο εἶναι, ὅπως λένε, τὸ ὅτι, ἐνῶ κατὰ τὴν ἐπισκοπὴ ἐκείνου τὸ ἱερὸ θυσιαστήριο εἶχε τὴν ἱερότητα ποὺ ἔπρεπε, ἐπειδὴ τὸ φρόντιζαν ἱερεῖς ἄμεμπτοι, ἀντίθετα κατὰ τὴν ἐπισκοπὴ αὐτοῦ οἱ μολυσμένοι ἐγκρίνονται, καὶ οἱ ἐξαίρετοι διώχνονται. Ἐπειδὴ λοιπὸν οἱ ἀναγκαῖοι ἔχουν γίνει ράθυμοι, καὶ ὅλα τὰ ἄλλα ἔχουν διαφθαρεῖ. Καθὼς δηλαδὴ καταπατοῦνται οἱ ἀδύνατοι ἀπὸ μαροὺς ἀνθρώπους, κατὰ φυσικὸ λόγο καὶ ἡ πόλη ἔγινε ἀπλησίαστη στοὺς πολλούς. Νὰ μὴ θρηνεῖς λοιπὸν αὐτὴν μόνο, ἱερὴ κεφαλή, ἀλλὰ καὶ νὰ προσεύχεσαι νὰ ἐπανέλθει στὴν παλιὰ ἀρετὴ καὶ εὐημερία.

246.- ΣΤΟΝ ΠΕΤΡΟ

Γιὰ τὴν εἰρήνη καὶ τὴ δικαιοσύνη, καὶ ὅτι πραγματικὴ εἰρήνη εἶναι ἐκείνη ποὺ στολίζεται μὲ τὴ δικαιοσύνη καὶ τὴν εὐσέβεια.

Ἡ εἰρήνη ἀναμιγμένη μὲ τὴ δικαιοσύνη εἶναι πρᾶγμα θεϊκό. Ἐὰν ὅμως ἡ καθεμιὰ εἶναι χωρὶς τὴν ἄλλη, καταστρέφει τὴν ὁμορφιὰ τῆς ἀρετῆς. Γιατὶ εἰρήνη ὑπάρχει καὶ στοὺς ληστὲς μεταξύ τους καὶ στοὺς λύκους, στοὺς πρώτους γιὰ τὴ βλάβη τῶν ἀνθρώπων, καὶ στοὺς ἄλλους γιὰ τὴν ἐξολόθρευση τῶν προβάτων, ἀλλὰ δὲν θὰ μποροῦσα νὰ τὴν ὀνομάσω εἰρήνη, αὐτὴν ποὺ δὲν στολίζεται μὲ τὴ δικαιοσύνη. Ἐὰν ὅμως ἑνωθεῖ μὲ αὐτήν, τότε θὰ ὀνομασθεῖ πραγματικὰ εἰρήνη. Γι' αὐτὸ καὶ ὁ Χριστὸς εἶπε· «Δὲν ἦρθα νὰ φέρω εἰρήνη στὴ γῆ, ἀλλὰ μάχαιρα»[69]. Ὅτι βέβαια δὲν ἀποκηρύττει κάθε εἰρήνη, ἀλλ' ἐκείνην ποὺ εἶναι συνενωμένη μὲ τὴν κακία, τὸ λέγει ἀλλοῦ· «Σᾶς δίνω τὴ δική μου εἰρήνη»[70]. Γιατὶ εἰρήνη πραγματικὰ εἶναι ἐκείνη ποὺ κοσμεῖται μὲ τὴ δικαιοσύνη καὶ τὴν εὐσέβεια.

247.- ΣΤΟΝ ΔΙΑΚΟΝΟ ΕΥΤΟΝΙΟ

Ὅτι πρέπει μὲ παρρησία, ἀπαλλαγμένη ἀπὸ θρασύτητα καὶ ἀναμιγμένη μὲ πραότητα, νὰ ἐκτελοῦμε τὰ πρέποντα.

Νὰ μὴ φοβᾶσαι, ἱερὲ ναὲ τοῦ μίσους τῆς κακίας, ἐκείνους ποὺ

μὲν ἀδυνατοῦντας, ἐλέγχεσθαι δὲ παραιτουμένους, ἀλλὰ τὴν παρρησίαν θρασύτητος μὲν ἀπηλλαγμένην, προσηνείᾳ δὲ κεκραμένην ἐπιδεικνύμενος, προσδόκα ἀνύειν τὰ πρέποντα. Εἰ δὲ καὶ μὴ ἀνύσειας, ὡς γέγραφας, καὶ Εὐσέβιος καὶ οἱ παρ' αὐτοῦ οὐ δεόντως χειροτονηθέντες, ἀντὶ τοῦ ἀμείβεσθαι, κακηγοροῦσι, μὴ ὀλιγώρει. Ὁ γὰρ ἀκοίμητος καὶ παντεπόπτης ὀφθαλμός, ὁ μισοπόνηρος καὶ φιλάγαθος, σὲ μὲν ἀμείψεται, ἐκείνους δὲ ἀμυνεῖται.

ΣΜΗ'.– ΖΩΣΙΜΩ ΠΡΕΣΒΥΤΕΡΩ

Περὶ ἀρετῆς καὶ κακίας.

Λόγος ἡμῖν ἔναγχος περὶ ἀρετῆς καὶ κακίας ἐκεκίνητο, καὶ πολλῶν πολλὰ λεγόντων, ἔφην ἐγώ, ὅτι ἡγοῦμαι πάντας ἀνθρώπους καὶ ἐλαττώματα ἔχειν καὶ πλεονεκτήματα, ἀλλὰ τοὺς μὲν εὐδοκίμους καὶ ἀρίστους μικρὰ μὲν ἔχειν καὶ εὐτελῆ τὰ ἐλαττώματα, μέγιστα δὲ καὶ ὑπερφυῆ τὰ κατορθώματα, τοὺς δὲ ἄλλους ἢ ἀναλογοῦντα τοῖς ἐλαττώμασι τὰ πλεονεκτήματα, ἢ καὶ πλεονεκτοῦντα ἢ καὶ πλεονεκτούμενα. Εἰσὶ γὰρ ἄνθρωποι, ἀπάνθρωποι μέν, σώφρονες δέ· ἢ ἀσελγεῖς μέν, ἐλεήμονες δέ· ἢ θρασύτατοι μέν, ῥᾳδίως δὲ μεταβαλλόμενοι· ἢ ἄδικοι μέν, μετριόφρονες δέ· ἢ ἅρπαγες μέν, ἐγκρατεῖς δέ· ἢ ἀκρατεῖς μὲν γλώττης, ἐγκρατεῖς δὲ ἡδονῶν· ἢ ἀκρατεῖς μὲν ἡδονῶν, ἐγκρατεῖς δὲ γλώττης· ἢ γαστρὸς μὲν ἥττονες, ὀργῆς δὲ κρείττονες· καὶ συλλήβδην εἰπεῖν, οὐκ ἂν ῥᾳδίως πιστεύσαιμι εἶναι ἄνθρωπον οὔτ' ἐλαττωμάτων ἄμοιρον, οὔτε κατορθωμάτων ἔρημον. Καὶ προὔφερον πρὸς ἀπόδειξιν, τῶν μὲν τὸν κριτὴν τῆς ἀδικίας, τὸν μήτε τὸν Θεὸν φοβούμενον, μήτε ἄνθρωπον ἐντρεπόμενον, ὅστις ἐποίησε καλόν, τὴν συνεχῶς ἱκετεύουσαν αὐτὸν ἐλεήσας χήραν, καὶ ἐπεξελθὼν τοῖς ἀδικοῦσι, τῶν δέ, «Τίς καυχήσεται ἁγνὴν ἔχειν τὴν καρδίαν, ἢ τίς παρρησιάσεται καθαρὸς εἶναι ἀπὸ ἁμαρτιῶν;».

---

70. Λουκᾶ 18, 3 ἑ.

ἀδυνατοῦν νὰ ἐλέγξουν, καὶ ἀποφεύγουν νὰ τοὺς ἀλέγχουν ἄλλοι, ἀλλὰ δείχνοντας παρρησία ἀπαλλαγμένη ἀπὸ τὴ θρασύτητα καὶ ἀναμιγμένη μὲ τὴν καλωσύνη, νὰ ἐλπίζεις ὅτι θὰ ἐπιτύχεις αὐτὰ ποὺ πρέπει. Ἀλλὰ καὶ ἂν δὲν μπορεῖς νὰ ἀντέξεις, ὅπως ἔχεις γράψει, καὶ ὁ Εὐσέβιος, καὶ ἐκεῖνοι ποὺ χειροτονήθηκαν ἀπὸ αὐτὸν ὄχι μὲ τὸν τρόπο ποὺ ἔπρεπε, ἀντὶ νὰ σὲ ἀμείβουν, σὲ κακολογοῦν, μὴ κυριεύεσαι ἀπὸ ἀδιαφορία. Γιατὶ ὁ ἀκοίμητος καὶ παντεπόπτης ὀφθαλμός, ποὺ μισεῖ τὴν κακία καὶ εἶναι φιλάγαθος, ἐσένα βέβαια θὰ σὲ ἀνταμείψει, ἐνῶ ἐκείνους θὰ τοὺς πολεμήσει.

248.– ΣΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟ ΖΩΣΙΜΟ

Γιὰ τὴν ἀρετὴ καὶ τὴν κακία.

Πρόσφατα γινόταν συζήτηση μαζί μου γιὰ τὴν ἀρετὴ καὶ τὴν κακία, καὶ ἐνῶ πολλοὶ ἔλεγαν πολλά, εἶπα ἐγώ· Νομίζω πὼς ὅλοι οἱ ἄνθρωποι ἔχουν καὶ ἐλαττώματα καὶ προτερήματα, ἀλλὰ οἱ διακεκριμένοι καὶ ἄριστοι ἔχουν μικρὰ καὶ ἀσήμαντα ἐλαττώματα, καὶ πολὺ μεγάλα καὶ θαυμάσια κατορθώματα, ἐνῶ οἱ ἄλλοι ἔχουν ἢ ἀνάλογα πρὸς τὰ ἐλαττώματα καὶ προτερήματα, ἢ καὶ περισσότερα, ἢ καὶ λιγώτερα. Γιατὶ ὑπάρχουν ἄνθρωποι, ποὺ εἶναι βέβαια ἀπάνθρωποι, ἀλλὰ σώφρονες, ἢ εἶναι ἀσελγεῖς, ἀλλὰ ἐλεήμονες, ἢ εἶναι θρασύτατοι, ἀλλὰ μεταβάλλονται εὔκολα, ἢ εἶναι ἄδικοι, ἀλλὰ μετριόφρονες, ἢ εἶναι ἅρπαγες, ἀλλ᾽ ἐγκρατεῖς, ἢ εἶναι ἀσυγκράτητοι στὴ γλώσσα, ἀλλὰ συγκρατημένοι στὶς ἡδονές, ἢ εἶναι ἀσυγκράτητοι στὶς ἡδονές, ἀλλ᾽ ἐγκρατεῖς στὴ γλώσσα, ἢ εἶναι ὑποδουλωμένοι στὴν κοιλιά, ἀλλὰ κυρίαρχοι τῆς ὀργῆς. Καὶ γιὰ νὰ συνοψίσω, δὲν θὰ μποροῦσα νὰ πιστέψω εὔκολα ὅτι ὑπάρχει ἄνθρωπος ποὺ δὲν ἔχει ἐλαττώματα, οὔτε καὶ ἄνθρωπος ποὺ νὰ εἶναι γυμνὸς ἀπὸ κατορθώματα. Καὶ γιὰ νὰ τὸ ἀποδείξω ἀνέφερα, ἀπὸ τοὺς πρώτους τὸν ἄδικο δικαστή, ὁ ὁποῖος οὔτε τὸν Θεὸ φοβόταν, οὔτε τὸν ἄνθρωπο ντρεπόταν, ποὺ ὅμως ἔκανε πράξη καλή, ἐλεώντας τὴ χήρα καὶ τιμωρώντας αὐστηρὰ ἐκείνους ποὺ τὴν ἀδικοῦσαν[70], καὶ ἀπὸ τοὺς ἄλλους· «Ποιὸς μπορεῖ νὰ καυχηθεῖ, ὅτι ἔχει ἁγνὴ καρδιά, ἢ ποιὸς μπορεῖ νὰ πεῖ μὲ θάρρος, ὅτι εἶναι καθαρὸς ἀπὸ ἁμαρτία»[71];

71. Παροιμ. 20, 9.

Ὡς δὲ πάντες οἱ παρόντες ἐπῄνουν, καὶ κρότος ὑπὲρ πᾶσαν ἐλπίδα ἀνερρήγνυτο, ἐγὼ μὲν ἠρυθριάσα (πρὸς γὰρ τοὺς ἐπαίνους ἐρυθριᾶν μᾶλλον πέφυκα, ἢ θρασύνεσθαι), εἷς δὲ τῶν παρόντων, καὶ λόγῳ καὶ βίῳ εὐδόκιμος (οὐ γὰρ ἂν ἀποκρυψαίμην τὴν ἀλήθειαν, εἰ καὶ ἀνατρέπειν τὰ παρ' ἐμοῦ λελεγμένα ἐπειρᾶτο), ὀλίγα ἐφησυχάσας, ὦ βέλτιστε Ζώσιμε, καὶ τὸν σὸν προφέρων βίον, ἐλέγχειν τὸν λόγον ἐπειρᾶτο. Πάντα μὲν τὰ ἐλαττώματα ἐν σοὶ χορεύειν δεικνύς, κατορθώματος δὲ οὐδὲ ἴχνος. Ὡς δὲ ἠπίστουν ἐγώ, πάντες οἱ ὄντες ἐμαρτύρουν αὐτῷ ὡς ἀληθεύοντι καὶ ὡς ἡττωμένης πάσης γλώττης εἰς τὸ τὰ σὰ ἀκριβῶς ἐκφράσαι κακά. Ὡς δὲ ἀκούων ἡσυχίαν ἦγον, ζυγομαχεῖν γὰρ ἄτοπον ἡγούμην, ἔφασαν ἐκεῖνοι· "Οὐ τὸν σὸν ἀνατρέποντες, ὦ σοφώτατε, λόγον ταῦτά φαμεν. Ἀληθὴς γάρ ἐστι καὶ πάσης εὐφημίας κρείττων, ἀλλ' ἐκεῖνον τοῦ τῶν ἀνθρώπων ἀποδοκιμάζοντες εἶναι γένους καὶ ἀνθρωπόμορφον θηρίον ἢ δαίμονα ἀλάστορα καὶ τῆς φύσεως ἐχθρὸν ὁριζόμενοι". Καὶ ταῦτα μὲν σχεδὸν πάντες ὥσπερ ἐξ ἑνὸς στόματος ἐφθέγγοντο, τινὲς δὲ ἐξ αὐτῶν λιπαρῶς παρεκάλουν αὐτά ταῦτα μηνυθῆναί σοι, τάχα πως γνωσιμαχήσειας. Ἐγὼ δὲ ἐξ ἀρχῆς μὲν ἀνεβαλλόμην, ὕστερον δὲ ἐνδοὺς πρὸς τὰς ἱκεσίας, γράφειν ἐπηγγειλάμην. Σὸν δ' ἂν εἴη λοιπὸν τὰ κατὰ σαυτὸν σκοπῆσαι, ἵνα κωμῳδίας καὶ γέλωτος καὶ τιμωρίας ἀπαλλαγείης. Εἰ δὲ νομίζων τὸν θάνατον εἰς ἀνυπαρξίαν παραπέμπειν ἀδεῶς πλημμελεῖς, σεαυτὸν ἀπατῶν λανθάνεις. Ὁ θάνατος γάρ, ὁ δοκῶν τὸ εὐγενὲς φυτὸν μαραίνειν, οὐδὲν ἕτερόν ἐστιν, ἢ χωρισμὸς ψυχῆς τε καὶ σώματος. Εἰ δὲ ἀπιστεῖς, ἄκουε Πλάτωνος λέγοντος· "Ἐπιόντος θανάτου ἐπὶ ἄνθρωπον, τὸ μὲν θνητόν, ὡς ἔοικεν, αὐτοῦ ἀποθνῄσκει, τὸ δὲ ἀθάνατον σῶον καὶ ἀδιάφθορον οἴχεται, ὑποχωρῆσαν τῷ θανάτῳ.

ΣΜΘ'.– ΙΣΙΔΩΡΩ ΔΙΑΚΟΝΩ

Εἰς τό, «Ἐξολοθρευθήσεται χρῖσμα» καὶ τὰ ἑξῆς.

Ἐξ ἱερωσύνης καὶ βασιλείας, ὦ ὁμώνυμε, τὰ πράγματα

---

72. Δαν. 9, 26 ε.

Καθὼς ὅλοι οἱ παρόντες μὲ ἐπαινοῦσαν καὶ γινόταν θόρυβος ἀνέλπιστα, ἐγὼ βέβαια κοκκίνησα ἀπὸ ντροπὴ (γιατὶ στοὺς ἐπαίνους ἀπὸ τὴ φύση μου κοκκινίζω μᾶλλον, παρὰ ἀποθρασύνομαι), ἕνας ὅμως ἀπὸ τοὺς παρόντες, διακεκριμένος καὶ στὸν λόγο καὶ στὴ ζωή, (γιατὶ δὲν θὰ μποροῦσα νὰ κρύψω τὴν ἀλήθεια, ἂν καὶ προσπαθοῦσε νὰ ἀνατρέψει αὐτὰ ποὺ εἶχα πεῖ), ἀφοῦ ἡσύχασε λίγο, φίλε Ζώσιμε, προβάλλοντας τὴ ζωή σου, ἐπιχειροῦσε νὰ κατηγορήσει τὸν λόγο μου, δείχνοντας, ὅτι ὅλα τὰ ἐλαττώματα ὑπάρχουν σὲ σένα, καὶ κανένα ἴχνος ἀρετῆς. Ἐπειδὴ ὅμως ἐγὼ δὲν πίστευα, ὅλοι οἱ παρόντες βεβαίωναν, ὅτι εἶπε τὴν ἀλήθεια, καὶ ὅτι καμμιὰ γλώσσα δὲν μποροῦσε νὰ ἐκφράσει ἀκριβῶς τὰ δικά σου ἐλαττώματα. Καθὼς λοιπὸν ἐγὼ ἀκούοντάς τα σιωποῦσα, ἐπειδὴ θεωροῦσα ἀπρεπὲς νὰ φιλονεικήσω, ἐκεῖνοι εἶπαν· "Δὲν τὰ λέμε αὐτά, σοφώτατε, γιὰ νὰ ἀνατρέψουμε τὸν λόγο σου, γιατὶ εἶναι ἀληθινὸς καὶ ἀνώτερος κάθε ἐπαίνου, ἀλλὰ γιὰ νὰ ἀποδοκιμάσουμε ἐκεῖνον, πού, ἐνῶ ἀνήκει στὸ ἀνθρώπινο γένος, ἔχει καταντήσει σὲ ἀνθρωπόμορφο θηρίο, ἢ δολοφόνο δαίμονα, καὶ ἐχθρὸ τῆς φύσεώς μας". Καὶ αὐτὰ βέβαια τὰ ἔλεγαν σχεδὸν ὅλοι, σὰν μὲ ἕνα στόμα, μερικοὶ ὅμως ἀπὸ αὐτοὺς παρακαλοῦσαν μὲ ἐπιμονή, αὐτὰ τὰ ἴδια νὰ σοῦ τὰ γνωστοποιήσω, μήπως καὶ μετανοήσεις. Ἐγὼ ὅμως στὴν ἀρχὴ ἀνέβαλλα, ἀλλ' ἔπειτα, ὑποχωρώντας στὶς παρακλήσεις τους, ὑποσχέθηκα νὰ σοῦ γράψω. Σὲ σένα λοιπὸν ἀπομένει νὰ ἐξετάσεις τὶς πράξεις σου, ὥστε ν' ἀπαλλαγεῖς ἀπὸ τὴ διακωμώδηση, τὰ γέλια καὶ τὴν τιμωρία "Αν ὅμως, νομίζοντας ὅτι ὁ θάνατος ὁδηγεῖ στὴν ἀνυπαρξία, διαπράττεις πλημμελήματα χωρὶς φόβο, δὲν καταλαβαίνεις ὅτι ἀπατᾶς τὸν ἑαυτό σου. Γιατὶ ὁ θάντος, ποὺ φαίνεται ὅτι μαραίνει τὸ εὐγενικὸ φυτό, δὲν εἶναι τίποτε ἄλλο, παρὰ χωρισμὸς τῆς ψυχῆς καὶ τοῦ σώματος. Ἐὰν ὅμως δὲν πιστεύεις, ἄκουσε τὸν Πλάτωνα ποὺ λέγει· ""Οταν ἔρθει στὸν ἄνθρωπο ὁ θάνατος, τὸ θνητὸ βέβαια μέρος του, ὅπως εἶναι φυσικό, πεθαίνει, ἐνῶ τὸ ἀθάνατο φεύγει σῶο καὶ ἀβλαβές, ἀποχωρώντας μὲ τὸν θάνατο.

249.- ΣΤΟΝ ΔΙΑΚΟΝΟ ΙΣΙΔΩΡΟ

Στό· «Θὰ ἐξολοθρευθεῖ τὸ χρῖσμα»[72] καὶ τὰ λοιπά.

Τὰ πράγματα, συνονόματε, συνίστανται ἀπὸ τὴν ἱερωσύνη καὶ τὴ

συνέστηκεν, εἰ γὰρ καὶ πολλῷ ἀλλήλων διαφέρουσιν. Ἡ μὲν γὰρ ὡς ψυχή ἐστιν, ἡ δὲ σῶμα, ἀλλ' εἰς ἓν ὁρῶσι τέλος, τὴν τῶν ὑπηκόων σωτηρίαν. Διὰ τοῦτο καὶ ἡνίκα τὰ ἰουδαϊκὰ πράγματα ἀρχὴν ἐλάμβανεν, ἡ ἱερωσύνη ἀναγκαιοτέρα ἐθεσμοθετήθη καὶ ἐπὶ πολὺ διήρκεσεν. Ἐπειδὴ δὲ σαρκικώτεροι ὄντες καὶ παχύτεροι καὶ βασιλείαν ἐξεζήτησαν, καὶ αὕτη ἤδη ἐδόθη, χρησιμωτάτη οὖσα καὶ ἀναστέλλουσα τὰ πταίσματα τῶν τῇ ἱερωσύνῃ μὴ πειθομένων, ἐπεὶ τοίνυν πῇ μὲν τὴν ἱερωσύνην ἔχοντες διέλαμπον, πῇ δὲ τὴν βασιλείαν κτησάμενοι διεσώζοντο, ἀμφοτέρων δ' ἀναιρουμένων οὐδεμία αὐτοῖς ὑπελείπετο σωτηρίας ὑπόθεσις, βουλόμενος δεῖξαι ὁ προφήτης Δανιὴλ τὴν παντελῆ τῶν ἰουδαικῶν πραγμάτων μετὰ τὸν σταυρὸν καθαίρεσιν καὶ ὡς οὐδὲ λείψανον αὐτοῖς χρηστῆς ἐλπίδος περιλειφθήσεται, οὐδέ τις προσδοκία αὐτοῖς ἀμείνων φανεῖται, ἔφη, «Ἐξολοθρευθήσεται χρῖσμα, καὶ κρῖμα οὐκ ἔσται ἐν αὐτῇ», διὰ μὲν τοῦ χρίσματος τὴν ἱερωσύνην μηνύων, διὰ δὲ τοῦ κρίματος τὴν βασιλείαν καὶ τὴν πολιτικὴν κατάστασιν. Μάλιστα μὲν γὰρ διὰ τῆς ἀναιρέσεως τῆς ἱερωσύνης, καὶ τὴν τῆς βασιλείας καὶ τῶν ἄλλων ἁπάντων συνανέφηνε. Τοῦ γὰρ κεφαλαιωδεστέρου καὶ κυριωδεστέρου παντάπασι καταλυομένου, οὐδ' ἄλλο τι συστῆναι ἠδύνατο, ἐπεὶ καὶ τῆς βασιλείας ἡ κηπίς, ἡ πρὸς τὸ Θεῖον ἐτύγχανε εὐσέβεια, ἥτις ἐν τῇ πρὸς Θεὸν ἐκρίνετο λατρείᾳ. Πλὴν ἀλλὰ καὶ τὴν βασιλείαν ἔφη τελευτήσειν, παντελῆ προαναφαίνων τῆς ἰουδαϊκῆς πολιτείας τὴν ἀναίρεσιν. Καὶ μαρτυρεῖ τὰ πράγματα ἐπὶ βελτίονα πολλῷ καὶ θειοτέραν θρησκείαν ἐπαναχθέντα.

ΣΝ'.– ΤΩ ΑΥΤΩ

Εἰς τὸ γεγραμμένον ἐν τῷ νόμῳ· «Πενήτα οὐκ ἐλεήσεις ἐν κρίσει».

Ἐπειδὴ ὁ μὲν δεόμενος δεῖται τοῦ δώσοντος, ὁ δὲ ἀμφισβητῶν τοῦ δικάσοντος, οὐ τὴν πενίαν φιλοπραγμονεῖν βούλεται, ἀλλὰ παρακαλεῖν. Εἰ δέ, τὴν παράκλησιν ἀφεῖσα, εἰς συκο-

βασιλεία, ἂν καὶ βέβαια διαφέρουν πολὺ μεταξύ τους, γιατὶ ἡ μία εἶναι σὰν ψυχή, καὶ ἡ ἄλλη σῶμα, ὅμως ἀποβλέπουν σὲ ἕνα σκοπό, στὴ σωτηρία τῶν ὑπηκόων. Γι' αὐτὸ καὶ ὅταν ἄρχιζαν τὰ ἰουδαϊκὰ πράγματα, ἡ ἱερωσύνη θεσμοθετήθηκε ὡς πιὸ ἀναγκαία καὶ διήρκεσε γιὰ πολὺ χρόνο. Ἐπειδὴ ὅμως οἱ Ἰουδαῖοι ἦταν πιὸ σαρκικοὶ καὶ ἀνόητοι, ζήτησαν καὶ βασιλεία, καὶ δόθηκε καὶ αὐτή, γιατὶ ἦταν πολὺ χρήσιμη, καὶ σταματοῦσε τὰ πταίσματα ἐκείνων ποὺ δὲν πείθονταν στὴν ἱερωσύνη. Ἐπειδὴ λοιπὸν ἄλλοτε ἔχοντας τὴν ἱερωσύνη διέπρεπαν, ἄλλοτε πάλι, ὅταν ἀπέκτησαν τὴ βασιλεία, σώζονταν, ἐνῶ ὅταν καταργοῦνταν καὶ οἱ δύο, δὲν τοὺς ἔμενε καμμιὰ ἐλπίδα σωτηρίας, θέλοντας ὁ προφήτης Δανιὴλ νὰ δείξει τὴν ὁλοκληρωτικὴ κατάργηση τῶν ἰουδαϊκῶν πραγμάτων μετὰ τὴ σταύρωση, καὶ ὅτι δὲν θὰ μείνει σ' αὐτοὺς κανένα λείψανο ἀγαθῆς ἐλπίδας, οὔτε καὶ θὰ φανεῖ καμμιὰ καλύτερη προσδοκία, εἶπε· «Θὰ καταστραφεῖ τὸ χρῖσμα, καὶ δὲν θὰ ὑπάρχει κρίση σ' αὐτήν»[72α], φανερώνοντας μὲ τὸ χρῖσμα τὴν ἱερωσύνη, καὶ μὲ τὴν κρίση τὴ βασιλεία καὶ τὴν πολιτικὴ κατάσταση. Μὲ τὴν κατάργηση μάλιστα τῆς ἱερωσύνης καὶ τῆς βασιλείας συμπεριέλαβε καὶ ὅλα τὰ ἄλλα. Γιατί, ἐφόσον θὰ καταργοῦνταν τελείως τὸ πρωταρχικώτατο καὶ τὸ πλέον κυριώτερο, δὲν μποροῦσε τίποτε νὰ παραμείνει, ἐπειδὴ καὶ τῆς βασιλείας τὸ θεμέλιο ἦταν ἡ πίστη στὸν Θεό, ἡ ὁποία κρινόταν κατὰ τὴ λατρεία τοῦ Θεοῦ. Ὡστόσο εἶπε ὅτι καὶ ἡ βασιλεία θὰ τερματήσει, προλέγοντας καὶ τὴν ὁλοκληρωτικὴ κατάργηση τῆς ἰουδαϊκῆς πολιτείας. Καὶ τὸ βεβαιώνουν αὐτὸ τὰ πράγματα ποὺ ἐπανῆλθαν σὲ πολὺ καλύτερη καὶ θεϊκώτερη θρησκεία.

250.– ΣΤΟΝ ΙΔΙΟ

Σ' αὐτὸ ποὺ εἶναι γραμμένο στὸν νόμο· «Νὰ μὴ ἐλεήσεις φτωχὸν ὅταν δικάζεται»[73].

Ἐπειδὴ αὐτὸς ποὺ ἔχει ἀνάγκη χρειάζεται ἐκεῖνον ποὺ θὰ τοῦ δώσει, ἐνῶ ἐκεῖνος ποὺ διαφωνεῖ χρειάζεται τὸν δικαστή, δὲν θέλει ὁ φτωχὸς νὰ πολυπραγμονεῖ, ἀλλὰ νὰ παρακαλεῖ. Ἐὰν ὅμως, ἀφήνοντας τὴν παράκληση, στραφεῖ στὴ συκοφαντία, δὲν ἔχει δικαίωμα νὰ

73. Ἐξ. 23, 3.

φαντίαν τραπείη, ἐλεεῖσθαι ἐν κρίσει οὐκ ἂν εἴη δικαία. Διὰ τοῦτο ἔφη, «Οὐκ ἐλεήσεις πτωχὸν ἐν κρίσει». Ἐλεητέον μὲν γάρ, οὐ κρινόμενον δέ, ἀλλ' ἀντιβολοῦντα. Εἰ δὲ τὸ παρακαλεῖν εἰς τὸ ἐγκαλεῖν τρέψειεν, τὸ δίκαιον ἔμπροσθεν τοῦ ἐλέου θετέον. Οὐ γὰρ δίκαιον τὸ δίκαιον διαφθείρεσθαι.

ΣΝΑ΄.–ΤΩ ΑΥΤΩ

Ὅτι οὐδὲν τῶν λαμπρῶν τοῦ κόσμου οὕτω πέφυκε σεμνύνειν τὸν ἄνθρωπον, ὡς ἀρετὴ καὶ φιλοσοφία.

Οὐ πλοῦτος, οὐ ῥώμη, οὐκ εὐγλωττία, οὐ λαμπρὸν ἢ ὑπέρλαμπρον ἀξίωμα, οὐχ ὁ τῶν ὑπάρχων θρόνος, οὐχ ἁλουργὶς καὶ διάδημα σεμνύνειν τοὺς ἔχοντας πέφυκεν, ὡς ἀρετὴ καὶ φιλοσοφία. Τίνος οὖν ἕνεκεν οἱ πολλοὶ τῶν ἀθρώπων, περὶ μὲν ἐκεῖνα ἐπτόηνται, τούτων δὲ ἧττον φροντίζουσιν; Ἐπειδὴ οἱ μὲν τὰ δοκοῦντα πρὸ τῶν ὄντων θηρεύσουσιν, οἱ δὲ τὸ αὐτίκα μάλα τοῦ μικρὸν ὕστερον συνοίσοντος προτιμῶσιν, οἱ δὲ τὴν κρίσιν τῶν πραγμάτων διεφθαρμένην ἔχουσιν, οἱ δ' οὐδὲ εἶναί τι μετὰ τόνδε τὸν βίον νομίζουσιν. Ὡς οἵ γε φιλάρετοι καὶ αὐτὴν καθ' ἑαυτὴν τὴν ἀρετὴν τιμῶσι καὶ τοὺς μέλλοντας στεφάνους ὀνειρο-πολοῦντες μετίασιν αὐτήν.

ΣΝΒ΄.– ΔΩΡΟΘΕΩ ΛΑΠΡΟΤΑΤΩ

Εἰς τὸ εἰρημένον ὑπὸ τοῦ Θεοῦ· «Ἧ δ' ἂν ἡμέρᾳ φάγεσθε ἀπ' αὐτοῦ».

Λίαν θαυμάζω καὶ ἐκπλήττομαι, πῶς οἱ φιλαμαρτήμονες, ἀεὶ ἀποθνήσκοντες, οὐδέποτε τεθνηκέναι νομίζουσι. Διὸ καὶ ζήτημα, ὡς γέγραφας, οἷόν τε εἶναι ἐκεῖνο τὸ πρὸς τοὺς πρωτοπλάστους εἰρημένον· «Ἧ δ' ἂν ἡμέρᾳ φάγητε ἀπὸ τοῦ ξύλου, θανάτῳ ἀποθανεῖσθε». Ὁ γὰρ κακοῦργος καὶ ὁ ἀνδροφόνος, τότε κυρίως ἀποθνήσκει, ὅταν τοὺς νόμους παραβαίη καὶ τὸ ἁμάρτημα ἐργάσοιτο, κἂν δοκοίη ζῆν. Εἰ γὰρ καὶ μὴ τῇ πεῖρᾳ, ἀλλά γε τῇ ἀποφάσει καὶ τῷ δικαίῳ τέθνηκεν, εἰ καὶ δοκοίη

74. Γεν. 2, 17..

ἐλεηθεῖ κατὰ τὴν δίκη. Γι' αὐτὸ εἶπε, «Νὰ μὴν ἐλεήσεις φτωχὸ κατὰ τὴν δίκη». Γιατὶ πρέπει νὰ ἐλεεῖται, ἀλλ' ὄχι καταφεύγοντας στὸ δικαστή, ἀλλὰ παρακαλώντας. Γιατί, ἐὰν μετατρέψει τὴν παράκληση σὲ κατηγορία, πρέπει νὰ μπαίνει τὸ δίκαιο μπροστὰ ἀπὸ τὴν ἐλεημοσύνη, γιατὶ δὲν εἶναι σωστὸ νὰ καταστρέφεται τὸ δίκαιο.

251.- ΣΤΟΝ ΙΔΙΟ

Ὅτι κανένα ἀπὸ τὰ λαμπρὰ τοῦ κόσμου δὲν κοσμοῦν συνήθως τόσο πολὺ τὸν ἄνθρωπο, ὅσο ἡ ἀρετὴ καὶ ἡ φιλοσοφία.

Οὔτε ὁ πλοῦτος, οὔτε ἡ σωματικὴ δύναμη, οὔτε ἡ εὐγλωττία, οὔτε τὸ λαμπρὸ ἢ ὑπέρλαμπρο ἀξίωμα, οὔτε ὁ θρόνος τῶν ὑπάρχων, οὔτε τὸ πορφυρὸ ἔνδυμα καὶ τὸ στέμμα κάνουν συνήθως ἀπὸ μόνα τους ἄξιους σεβασμοῦ ἐκείνους ποὺ τὰ ἔχουν, ὅσο ἡ ἀρετὴ καὶ ἡ φιλοσοφία. Γιὰ ποιὸ λόγο λοιπὸν πολλοὶ ἀπὸ τοὺς ἀνθρώπους γιὰ ἐκεῖνα βέβαια κυριεύονται ἀπὸ σφοδρὸ πόθο, ἐνῶ γι' αὐτὰ ἐνδιαφέρονται πολὺ λίγο; Ἐπειδὴ ἄλλοι ἐπιδιώκουν αὐτὰ ποὺ φαίνονται πρὶν ἀπὸ ἐκεῖνα ποὺ ὑπάρχουν, ἄλλοι προτιμοῦν περισσότερο αὐτὸ ποὺ συμφέρει πρὸς στιγμή, παρὰ ἐκεῖνο ποὺ θὰ τοὺς συμφέρει λίγο ἀργότερα, ἄλλοι πάλι ἔχουν διαστρεβλωμένη τὴν κρίση τῶν πραγμάτων, καὶ ἄλλοι οὔτε κἂν πιστεύουν ὅτι ὑπάρχει κάτι μετὰ ἀπὸ αὐτὴ τὴ ζωή. Ἐνῶ οἱ φιλάρετοι καὶ τὴν ἴδια τὴν ἀρετὴ τὴν τιμοῦν, καὶ ἐπειδὴ ποθοῦν διακαῶς τὰ μελλοντικὰ στεφάνια, τὴν ἀσκοῦν.

252.- ΣΤΟΝ ΕΚΛΑΜΠΡΟΤΑΤΟ ΔΩΡΟΘΕΟ

Σ' αὐτὸ ποὺ εἰπώθηκε ἀπὸ τὸν Θεό· «Ὅποια μέρα θὰ φᾶτε ἀπὸ αὐτόν ...»[74].

Ἀπορῶ πολὺ καὶ δοκιμάζω ἔκπληξη, πῶς οἱ φίλοι τῆς ἁμαρτίας, ἐνῶ πάντοτε πεθαίνουν, νομίζουν ὅτι ποτὲ δὲν θὰ πεθάνουν. Γι' αὐτὸ καὶ ὑπάρχει ζήτημα, ὅπως ἔγραψες, γιὰ τὸ τί σημαίνει ἐκεῖνο ποὺ εἰπώθηκε στοὺς πρωτόπλαστους· «Ὅποια μέρα θὰ φᾶτε ἀπὸ τὸν καρπὸ τοῦ δένδρου, θὰ πεθάνετε». Γιατὶ ὁ κακοῦργος καὶ ὁ δολοφόνος, πεθαίνει κυρίως τότε, ὅταν παραβεῖ τοὺς νόμους καὶ διαπράξει τὸ ἁμάρτημα, ἔστω καὶ ἂν φαίνεται ὅτι ζεῖ. Γιατί, ἂν καὶ ὄχι στὴν πραγματικότητα, ἀλλὰ μὲ τὴν ἀπόφαση καὶ τὴ δικαιοσύνη ἔχει πεθάνει, ἂν

μηδέπω εἰς τὰς τῶν νόμων σαγήνας ἐμπεπτωκέναι. Εἰ δὲ καὶ θάνατον τῆς ἀθανάτου ψυχῆς ὁρίζεται τὴν τοῦ ἁγίου Πνεύματος ἀποφοίτησιν (οὐ γὰρ κατοικήσει ἐν σώματι κατάχρεῳ ἁμαρτίας), καὶ οὕτω νοείσθω. Ὥσπερ γὰρ τὸ σῶμα ζῇ παρούσης ψυχῆς, οὕτω καὶ ἡ ψυχὴ παρόντος τοῦ θείου Πνεύματος. Καὶ ὥσπερ ἀναχωρησάσης τῆς ψυχῆς νεκρὸν μένει τὸ σῶμα, οὕτω καὶ ἀποφοιτήσαντος τοῦ ἁγίου Πνεύματος, ἀπολέσει ἡ ψυχὴ τὴν μακαρίαν ζωήν, οὐκ εἰς τὸ μὴ ὂν ἀναλυομένη, ἀλλὰ θανάτου παντὸς χαλεπωτέραν βιοῦσα ζωήν. «Ἄφες», γάρ φησι ὁ Χριστός, «τοὺς νεκροὺς θάψαι τοὺς ἑαυτῶν νεκρούς», καὶ «Ὁ υἱός μου οὗτος νεκρὸς ἦν καὶ ἀνέζησε». Τὸ γὰρ λεγόμενον παρά τινων, ὅτι πρὸ τῆς τῶν χιλίων ἐτῶν συμπληρώσεως ἐτεθνήκεσαν (γέγραπται γάρ· «Μία ἡμέρα Κυρίου ὡς χίλια ἔτη»), οὐκ ἀγνοούμενον πιθανὸν εἶναί μοι δοκεῖ καὶ τοῖς ἁπλουστέροις μᾶλλον εὐπαράδεκτον.

ΣΝΓ'.– ΕΡΜΙΝΩ ΚΟΜΗΤΙ
Περὶ τοῦ ἀποσταλέντος εἰς αὐτὸν λόγου Περὶ εἱμαρμένης.

Ἐπειδὴ γέγραφας λόγον, μᾶλλον δέ, εἰ χρὴ εἰπεῖν τἀληθές, λογίδιόν μοι πρώην γεράφθαι περὶ τοῦ μὴ εἶναι εἱμαρμένην, παρά τινων μὲν ἐνθειασθέν, παρά τινων δὲ καὶ τῶν ἄλλων συγγραμμάτων τῶν εἰς τοῦτο παρά τινων πεπονημένων προκριθέν, καὶ παρεκάλεσας τοῦτό σοι πεμφθῆναι, πέπομφα αὐτό· τοιγαροῦν μὴ ἀπὸ τῆς φήμης ψηφίζου, ἀλλὰ ἀκριβῶς βασανίσας δοκίμασον. Καὶ εἰ μὲν εὖ ἔχει, τῷ Θεῷ ἴσθι, εἰ δὲ δόξει σοι ἐλλιπεῖ γεγράφθαι, τῇ ἀνθρωπίνῃ ἀσθενείᾳ συγγίνωσκε, τῇ μὴ δυναμένῃ ὡς βούλεται φράσαι.

ΣΝΔ'.– ΠΑΥΛΩ
Εἰς τὸ ῥητόν, «Ὁ βλέπων γυναῖκα...».

Ἐπειδὴ ἐκ τοῦ ὁρᾶν τὸ ἐρᾶν τίκτεται, διὰ τοῦτο καὶ ὁ Χρι-

75. Ματθ. 8, 21. 76. Λουκᾶ 15, 25.

καὶ φαίνεται, ὅτι ποτὲ δὲν ἔπεσε στὰ δίχτυα τῶν νόμων. Ἂν πάλι ἐννοεῖ ὡς θάνατο τῆς ἀθάνατης ψυχῆς τὴν ἀπομάκρυνση τοῦ ἁγίου Πνεύματος (γιατὶ δὲν μπορεῖ νὰ κατοικήσει σὲ σῶμα καταχρεωμένο μὲ ἁμαρτίες), καὶ ἔτσι νὰ ἐννοεῖται. Γιατί, ὅπως τὸ σῶμα ζεῖ ὅταν εἶναι παροῦσα ἡ ψυχή, ἔτσι καὶ ἡ ψυχή, ὅταν εἶναι παρὸν τὸ ἅγιο Πνεῦμα. Καὶ ὅπως ὅταν ἀναχωρήσει ἡ ψυχή, τὸ σῶμα μένει νεκρό, ἔτσι καὶ ὅταν φύγει τὸ ἅγιο Πνεῦμα, ἡ ψυχὴ χάνει τὴ μακάρια ζωή, χωρὶς νὰ διαλύεται στὴν ἀνυπαρξία, ἀλλὰ ζώντας ζωὴ χειρότερη ἀπὸ κάθε εἶδος θανάτου. Γιατὶ ὁ Χριστὸς λέγει· «Ἀφῆστε τοὺς νεκροὺς νὰ θάψουν τοὺς νεκρούς τους»[75], καί, «Ὁ υἱός μου αὐτὸς ἦταν νεκρὸς καὶ ξαναβρῆκε τὴ ζωή του»[76]. Ὅσο γ' αὐτὸ ποὺ λέγεται ἀπὸ μερικούς, ὅτι ἔχουν πεθάνει πρὶν ἀπὸ χίλια χρόνια (γιατὶ ἔχει γραφεῖ, «Μία ἡμέρα τοῦ Κυρίου ἀντιστοιχεῖ μὲ χίλια χρόνια»[77]), μοῦ φαίνεται ὅτι εἶναι πιθανὸ ποὺ δὲν πρέπει νὰ ἀγνοεῖται, καὶ εἶναι εὔκολα ἀποδεκτὸ ἀπὸ τοὺς ἁπλοϊκώτερους.

253.– ΣΤΟΝ ΚΟΜΗ ΕΡΜΙΝΟ
Γιὰ τὸν λόγο Περὶ εἱμαρμένης ποὺ στάλθηκε σ' αὐτόν.

Ἐπειδὴ μοῦ ἔγραψες παρακαλώντας με νὰ σοῦ στείλω ἕνα λόγο μου, ἢ καλύτερα, γιὰ νὰ πῶ τὴν ἀλήθεια, ἕνα λογύδριό μου, ποὺ γράφτηκε πρὸ πολλοῦ, γιὰ τὸ ὅτι δὲν ὑπάρχει εἱμαρμένη (τύχη), τὸ ὁποῖο ἀπὸ μερικοὺς βέβαια ἐκθειάσθηκε, ἐνῶ ἀπὸ ἄλλους προκρίθηκε ἀπὸ τὰ ἄλλα συγγράμματα ποὺ ἔχουν ἐκπονηθεῖ ἀπὸ ἄλλους γιὰ τὸ ἴδιο θέμα, σοῦ τὸ ἔχω στείλει, ἀλλ' ὅμως μὴ ἐκφράζεις τὴ γνώμη σου στηριζόμενος στὶς φῆμες, ἀλλὰ κρίνε το, ἀφοῦ τὸ μελετήσεις μὲ προσοχή. Καὶ ἐὰν βέβαια εἶναι καλό, ἀπόδωσέ το στὸν Θεό., ἐὰν ὅμως σοῦ φανεῖ, ὅτι εἶναι γραμμένο μὲ ἐλλείψεις, συγχώρησε τὴν ἀνθρώπινη ἀδυναμία, ποὺ δὲν μπορεῖ νὰ ἐκφράσει αὐτὸ ποὺ θέλει.

254.– ΣΤΟΝ ΠΑΥΛΟ
Στὴ ρήση· «Αὐτὸς ποὺ βλέπει γυναίκα ...»[78].

Ἐπειδὴ τὸ ρῆμα ἐρῶ προέρχεται ἀπὸ τὸ ὁρῶ, γι' αὐτὸ καὶ ὁ

77. Ψαλμ. 39, 4.

78. Ματθ. 5, 28.

στὸς τὸν ἀκολάστως ἑστιῶντα τὰς ὄψεις, μοιχὸν εἶναι ἀπεφήνατο, οὐ τὴν πρᾶξιν μόνον, ἀλλὰ καὶ τὴν ἔννοιαν προαναστέλλων· καὶ ἐπὶ τοῦ φόνου δέ, ὁ μὲν νόμος τὸν ἀνδροφόνον, ὁ δὲ Χριστὸς καὶ τὸν ὀργιζόμενον τιμωρεῖται. Ὁ μὲν γὰρ τῇ ψυχῇ, ὁ δὲ τῇ χειρὶ νομοθετεῖ, καὶ διὰ τὸ μὴ συγχωρῆσαι φύναι τὴν ῥίζαν, καὶ τοὺς κλάδους προαναστέλλει. Χαλίνου τοίνυν καὶ τὸν ὀφθαλμὸν καὶ τὸν θυμόν, ἵνα μὴ ὁ μὲν εἰς μοιχείαν, ὁ δὲ εἰς φόνον σε χειραγωγήσῃ.

ΣΝΕ'.– ΕΡΜΙΝΩ ΚΟΜΗΤΙ

Περὶ εὐημερίας καὶ φιλοσοφίας.

Μὴ μεταβαλλέτω σε, ὦ ἄριστε, ὡς ἕνα τῶν πολλῶν εὐημερίας αὖρα, ἀλλὰ φυλαττέτω βέβαιον τοῖς φίλοις ἡ σύντροφος φιλοσοφία. Ἐκεῖνο μὲν γὰρ τοῖς ἀπειροκάλοις καὶ ἀγελαίοις εἴωθε συμβαίνειν, τοῦτο δὲ τοῖς κομιδῇ σοφοῖς, ὧν εἰς τὸν σύλλογον ἐνεγράφης.

ΣΝΣ'.– ΕΥΔΑΙΜΟΝΙ

Περὶ τῶν ἐγκωμίων τοῦ θεοφιλοῦς ἐπισκόπου Θεοδοσίου.

Ἑτόλμησα ἂν εἰς τὸν ἀγῶνα τῶν ἐγκωμίων τοῦ θεοφιλοῦς Θεοδοσίου τοῦ ἐπισκόπου κατελθεῖν, εἰ μὴ ἐδεδοίκειν μήποτε, ἐνδεῶς εἰπών, τῶν προσόντων αὐτῷ ἀγαθῶν ἐλαττώσω τὴν δόξαν. Ἀλλ' ἐπειδὴ πᾶσα λόγου δύναμις παραχωρεῖ τῷ μεγέθει τῆς ὑποθέσεως, εἰκότως καὶ αὐτὸς σιγὴν ἐμαυτοῦ κατεψηφισάμην, καίτοι γινώσκω, ὅτι, ἐὰν ὁ ἐγκωμιαζόμενος ἐκ τῆς ἀληθείας τὴν μαρτυρίαν ἔχῃ, οὐδὲν ἡ τῆς ἀρετῆς κτῆσις καταβλάπτεται ὑπὸ τῆς ἀσθενείας τοῦ λέγοντος. Ἐν γὰρ ταῖς ὑπερβολαῖς οὐχ ὁ ἡττηθεὶς τῆς ἀξίας κατῄσχυνεν, ἀλλὰ πλέον ἐλάμπρυνε, δείξας ἑαυτὸν ὑπὸ τοῦ τῶν πραγμάτων μεγέθους καλυφθέντα.

ΣΝΖ'.– ΠΑΥΛΩ

Εἰς τὸ εἰρημένον ὅτι, «Καὶ τὴν πόλιν καὶ τὸ ἅγιον διαφθερεῖ σὺν τῷ ἡγουμένῳ».

Τὸ εἰρημένον παρὰ τοῦ ἀγγέλου τῷ Δανιήλ, ὅτι «Καὶ τὴν

---

79. Δαν. 9, 26.

Χριστὸς αὐτὸν ποὺ τρώει μὲ τὰ μάτια του τὰ πρόσωπα μὲ τρόπο ἀκόλαστο, εἶπε ὅτι εἶναι μοιχός, ἀνακόπτοντας ὄχι μόνο τὴν πράξη, ἀλλὰ καὶ τὴ σκέψη. Ἐπίσης καὶ στὴν περίπτωση τοῦ φόνου, ὁ νόμος τιμωρεῖ τὸν δολοφόνο, ἐνῶ ὁ Χριστὸς καὶ αὐτὸν ποὺ ὀργίζεται. Γιατὶ ὁ Χριστὸς νομοθετεῖ γιὰ τὴν ψυχή, ἐνῶ ὁ νόμος γιὰ τὸ χέρι, καὶ γιὰ νὰ μὴ ἀφήσει νὰ φυτρώσει ἡ ρίζα, κόβει ἀπὸ πρὶν καὶ τὰ κλαδιά. Νὰ βάζεις λοιπὸν χαλινάρι καὶ στὸ μάτι καὶ στὸν θυμό, γιὰ νὰ μὴ σὲ ὁδηγήσουν τὸ ἕνα στὴ μοιχεία, καὶ τὸ ἄλλο σὲ φόνο.

255.- ΣΤΟΝ ΚΟΜΗΤΑ ΕΡΜΙΝΟ

Γιὰ τὴν εὐημερία καὶ τὴ φιλοσοφία.

Ἂς μὴ σὲ μεταβάλλει, ἄριστε, σὰν ἕνα ἀπὸ τοὺς πολλούς, ἡ αὔρα τῆς εὐημερίας, ἀλλὰ ἂς σὲ φυλάσσει σταθερὰ ἑνωμένον μὲ τοὺς φίλους ἡ σύντροφος φιλοσοφία. Γιατὶ ἐκεῖνο συνήθως συμβαίνει στοὺς ἀκαλαίσθητους καὶ στοὺς κοινοὺς ἀνθρώπους, ἐνῶ αὐτὸ στοὺς πολὺ σοφούς, στὸν σύλλογο τῶν ὁποίων ἔχεις γραφεῖ.

256.- ΣΤΟΝ ΕΥΔΑΙΜΟΝΑ

Γιὰ τὰ ἐγκώμια τοῦ θεοφιλοῦς ἐπισκόπου Θεοδοσίου.

Θὰ τολμοῦσα νὰ πάρω μέρος στὸν ἀγώνα τῶν ἐγκωμίων τοῦ ἀγαπητοῦ στὸν Θεὸ ἐπισκόπου Θεοδοσίου, ἂν δὲν φοβόμουν μήπως, μιλώντας πολὺ φτωχά, μειώσω τὴ δόξα τῶν ἀρετῶν του. Ἀλλ' ἐπειδὴ ὅλη ἡ δύναμη τοῦ λόγου ὑποχωρεῖ μπροστὰ στὸ μέγεθος τῆς ὑπόθεσης, δικαιολογημένα καὶ ἐγὼ ἀποφάσισα νὰ σιωπήσω, ἂν καὶ γνωρίζω, ὅτι, ἐὰν ὁ ἐγκωμιαζόμενος ἔχει τὴ μαρτυρία ἀπὸ τὴν ἴδια τὴν ἀλήθεια, ἡ ἀποκτημένη ἀρετὴ δὲν μειώνεται καθόλου ἀπὸ τὴν ἀδυναμία τοῦ ὁμιλητοῦ. Γιατὶ στὶς ὑπερβολές, αὐτὸς ποὺ φάνηκε κατώτερος δὲν μείωσε τὴν ἀξία, ἀλλὰ μᾶλλον τὴ λάμπρυνε, δείχνοντας τὸν ἑαυτό του καλυμμένον ἀπὸ τὸ μέγεθος τῆς πραγματικότητας.

257.- ΣΤΟΝ ΠΑΥΛΟ

Σ' αὐτὸ ποὺ ἔχει λεχθεῖ· «Ὅτι καὶ τὴν πόλη καὶ τὸ ἱερὸ θὰ τὰ καταστρέψει μαζὶ μὲ τὸν ἐρχόμενο ἡγούμενο»[79].

Αὐτὸ ποὺ εἰπώθηκε ἀπὸ τὸν ἄγγελο στὸν Δανιήλ, ὅτι «Θὰ κατα-

πόλιν καὶ τὸ ἅγιον διαφθερεῖ σὺν τῷ ἡγουμένῳ [τῷ ἐρχομένῳ]», εἰ μὲν περὶ ἄλλου τινὸς οἴονται εἰρῆσθαι, ἑρμηνευέτωσαν ὡς βούλονται, τῆς ἀληθείας μηδὲν παραβλαπτομένης, εἰ δὲ ὁ Χριστός ἐστιν ὁ λεγόμενος ἔρχεσθαι κατὰ τὰς Γραφάς, «Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου», καὶ «Σὺ εἶ ὁ ἐρχόμενος, ἢ ἕτερον προσδοκῶμεν;», τοιοῦτόν ἐστιν. Οὐ μόνον ὁ Πατὴρ πάντα τῶν Ἰουδαίων τὰ σεμνὰ καὶ περίβλεπτα ἀνατρέψει, ἀλλὰ καὶ ὁ Χριστὸς ὁ παρ αὐτῶν ὡς λυτρωτὴς αὐτῶν προσδοκώμενος. Ἐπειδὴ γὰρ εἰς αὐτὸν τὸν Υἱὸν τοῦ βασιλέως ἐπαρῴνησαν, ἄξια τὰ ἐπίχειρα πείσονται. Οὐ μόνον γὰρ ἡ πόλις, ἀλλὰ καὶ τὸ ἅγιον διαφθαρήσεται, τουτέστιν ὁ ναὸς καθαιρεθήσεται. Καὶ θέα τὴν ἀκρίβειαν· οὐκ εἶπε, "Διαφθαρήσεται σὺν τῷ ἡγουμένῳ", ὡς οἴονταί τινες, ἀλλά, «Διαφθερεῖ ὁ Πατὴρ τὸν ναὸν καὶ τὴν πόλιν», συμπράττοντος τοῦ ἡγουμένου, τοῦ παροινηθέντος δηλονότι παρ' αὐτῶν ἐν τῇ πρώτῃ ἐπιφανείᾳ. Εἰ δὲ ἀσαφές ἐστι, λελέξεται πάλιν σαφέστερον. Ὁ Θεὸς καὶ ὁ ἡγούμενος, τουτέστιν ὁ Χριστός· «Ἐκ σοῦ», γάρ φησι πρὸς τὴν Βηθλεέμ, «ἐξελεύσεται ἡγούμενος, ὅστις διαφθερεῖ τὴν πόλιν καὶ τὸν νεών». Ὥστε, εἰ καὶ Ῥωμαίοις ἀνήφθη τοὖργον, ἀλλά γε θεήλατος ἦν ἡ ὀργή, καὶ μάρτυς Ἰώσηπος, λέγων· "Μὴ προσχαρίζεσθαι Ῥωμαίοις, ὅτι πάντας ἡμᾶς ὁ πρὸς αὐτοὺς πόλεμος διέφθειρεν. Οὐ γὰρ ἐκείνων ἰσχύι ταῦτα συμβέβηκεν, ἀλλὰ ἡ κρείττων γενομένη αἰτία τὸ δοκεῖν ἐκείνοις νικᾶν παρέσχε". Ποία δὲ ἦν ἡ αἰτία; Ἡ δηλονότι τὸ ἁμάρτημα τῆς Ἰερουσαλὴμ τὸ εἰς τὸν Σωτῆρα, ὅπερ τὰ Ἰουδαίων πράγματα εἰς γόνυ ἔκλινε, μᾶλλον δὲ ἠφάνισε. Εἰ δὲ ἀπιστοῦσιν Ἰουδαῖοι, εἰπάτωσαν δι' ἣν αἰτίαν αἰχμαλωσίαν νῦν ὑπομένουσιν ἀνακλήσεως ἄμοιρον;

ΣΝΗ'.– ΑΘΑΝΑΣΙΩ ΠΡΕΣΒΥΤΕΡΩ
Περὶ Χαιρήμονος καὶ Εὐσεβίου.

Εἰ καὶ Χαιρήμων, ὁ δοκῶν εἶναι διάκονος, παραπλήσιόν τοι, ὡσπερανεὶ καὶ νόσος ἀνίατος ἐξουσίαν λάβοι, μηδενὸς ὤν

79α. Δαν. 9, 26. 80. Ματθ. 23, 39.

στρέψει καὶ τὴν πόλη καὶ τὸ ἱερὸ μαζὶ μὲ τὸν ἡγούμενο ποὺ ἔρχεται»,[79α] ἐὰν βέβαια νομίζουν ὅτι εἰπώθηκε γιὰ κάποιον ἄλλο, ἂς τὸ ἑρμηνεύουν ὅπως θέλουν, ἀφοῦ ἡ ἀλήθεια δὲν βλάπτεται καθόλου, ἐὰν ὅμως ὁ Χριστὸς εἶναι αὐτὸς ποὺ λέγεται ἀπὸ τὶς Γραφὲς ὅτι ἔρχεται, «Εὐλογημένος αὐτὸς ποὺ ἔρχεται στὸ ὄνομα τοῦ Κυρίου»[80], καί, «Σὺ εἶσαι ἐρχόμενος, ἢ περιμένουμε ἄλλον;»[80α], σημαίνουν τὰ ἑξῆς· Ὅτι ὄχι μόνο ὁ Πατέρας θὰ καταστρέψει ὅλα τὰ ἱερὰ καὶ ἐπιφανῆ τῶν Ἰουδαίων, ἀλλὰ καὶ ὁ Χριστός, ποὺ ἀναμένεται ἀπὸ αὐτοὺς ὡς λυτρωτής. Ἐπειδὴ δηλαδὴ φέρθηκαν σὰν μεθυσμένοι πρὸς τὸν ἴδιο τὸ Υἱὸ τοῦ βασιλιᾶ, θὰ πάθουν ἀντάξιες τιμωρίες. Γιατί, ὄχι μόνο ἡ πόλη, ἀλλὰ θὰ καταστραφεῖ καὶ τὸ ἱερό, δηλαδὴ ὁ ναός. Καὶ πρόσεχε τὴν ἀκρίβεια. Δὲν εἶπε, "Θὰ καταστραφεῖ μαζὶ μὲ τὸν ἡγούμενο", ὅπως νομίζουν μερικοί, ἀλλὰ «Θὰ καταστρέψει ὁ Πατέρας τὸν ναὸ καὶ τὴν πόλη», μὲ τὴν συνεργασία τοῦ ἡγουμένου, δηλαδὴ ἐκείνου ποὺ ταπεινώθηκε ἀπὸ αὐτοὺς κατὰ τὴν πρώτη φανέρωσή του. Κι' ἂν εἶναι ἀσαφές, θὰ λεχθεῖ καὶ πάλι πιὸ καθαρά. Ὁ Θεὸς καὶ ὁ ἡγούμενος, δηλαδὴ ὁ Χριστός· γιατὶ λέγει στὴ Βηθλεέμ· «Ἀπὸ σένα θὰ προέλθει ἡγούμενος, ποὺ θὰ καταστρέψει τὴν πόλη καὶ τὸν ναό»[81]. Ὥστε λοιπόν, ἂν καὶ τὸ ἔργο ἐκτελέστηκε ἀπὸ τοὺς Ρωμαίους, ὅμως ἡ ὀργὴ ἦταν θεόσταλτη, καὶ μάρτυρας ὁ Ἰώσηπος, ὁ ὁποῖος λέγει· «Νὰ μὴ κάνουμε τὴ χάρη στοὺς Ρωμαίους, ὅτι ὅλους ἐμᾶς μᾶς ἐξαφάνισε ὁ πόλεμος μὲ αὐτούς. Γιατὶ αὐτὰ δὲν συνέβησαν μὲ τὴ δύναμη ἐκείνων, ἀλλ' ἡ αἰτία ἐκείνη ποὺ φάνηκε ἀνώτερη, ἔδωσε σ' ἐκείνους τὴ δυνατότητα νὰ νομίζουν ὅτι νικοῦν". Καὶ ποιὰ ἦταν ἡ αἰτία; Ἐκείνη, δηλαδὴ τὸ ἁμάρτημα τῆς Ἱερουσαλήμ, ποὺ ἔκανε τὰ ἔργα τῶν Ἰουδαίων νὰ κλίνουν τὸ γόνατο στὸ Σωτήρα, ἢ καλύτερα τὰ ἐξαφάνισε. Ἐὰν ὅμως οἱ Ἰουδαῖοι δὲν πιστεύουν, ἂς ποῦν, γιὰ ποιὸν λόγο ὑποφέρουν τώρα αἰχμαλωσία, ποὺ δὲν ἔχει τέλος;

258.- ΣΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟ ΑΘΑΝΑΣΙΟ
Γιὰ τὸν Χαιρήμονα καὶ τὸν Εὐσέβιο.

Ἂν καὶ ὁ Χαιρήμων, ποὺ νομίζει ὅτι εἶναι διάκονος, ὅμοια σχεδὸν μὲ ἀνίατη ἀρρώστια, ὅταν πάρει τὴν ἐξουσία δὲν δείχνει

80α Ματθ. 11, 3. 81. Μιχ. 5, 1.

ὀρέγεται φείδεσθαι, ἀλλὰ τοῖς ἐπαγγελομένοις ἰᾶσθαι, ἐρρῶσθαι φράσασα, ἐκ τῶν τὸν θάνατον ὠδινόντων ἑαυτὸν ἑστιάσει, ἀλλ' ἐγὼ οὐκ αὐτὸν τοσοῦτον, ὡς Εὐσέβιον, τὸν τὰ θεῖα αὐτῷ μυστήρια ἐμπιστεῦσαι τολμήσαντα, αἴτιον ἡγοῦμαι τῶν τοσούτων κακῶν. Ὁ γὰρ τὰ σπέρματα παρασχών, τῶν φυτῶν δηλονότι αἴτιος.

ΣΝΘ΄.– ΕΡΜΟΓΕΝΕΙ ΕΠΙΣΚΟΠΩ

Περὶ τῶν διδασκάλων, καὶ ὅτι χρὴ τούτους τὴν πολιτείαν τὴν ἑαυτῶν εἰκόνα τινὰ σοφῶς γεγραμμένην τοῖς μαθηταῖς προτιθέναι, ἵν' ὡς οἷόν τε μιμήσωνται.

Ἐγὼ τῷ διδασκάλῳ δύο ταῦτα προσεῖναι παντὶ σθένει νομίζω, τήν τε τοῦ βίου καθαρότητα, τήν τε τοῦ λόγου ἱκανότητα, ἣν σκιάν τις τῶν ἔργων ὁριζόμενος, οὐκ ἄν μοι δοκεῖ διαμαρτάνειν τῆς ἀληθείας, ἵνα πῇ μὲν ῥυθμίζῃ τὸν φοιτητήν, πῇ δὲ σωφρονίζῃ τὸν ἀπειθῆ. Ὥσπερ γὰρ οἱ γραμματισταὶ τὴν γραφίδα λαβόντες μετὰ πολλοῦ τοῦ κάλλους τὰ στοιχεῖα χαράττουσι καὶ τοῖς ἀρτιμαθέσι παρέχουσιν, ἵν' ὡς οἷόν τε μιμήσασθαι δυνηθεῖεν, οὕτω καὶ τοὺς ὑφηγητὰς χρὴ τὴν πολιτείαν τὴν ἑαυτῶν εἰκόνα τινὰ σοφῶς γεγραμμένην τοῖς μαθηταῖς προτιθέναι, ἵν' ὡς οἷόν τε μιμήσωνται. Εἰ δ' ἐκεῖνοι, μὴ μόνον βίον ἄληπτον, ἀλλὰ καὶ θαυμάσιον ὁρῶντες, οὐκ ἐνάγονται εἰς ἀρετήν, τοῦτο οὐκ ἔτι τοῦ διδασκάλου τις ὁριεῖται ἔγκλημα, τοῦ μηδὲν παραλείψαντος τῶν ὀφειλόντων πραχθῆναι, ἀλλὰ τῆς τῶν μαθητῶν ῥᾳθυμίας. Ἐπειδὴ δέ φασί τινες, Δι' ἣν γὰρ αἰτίαν τῷ φόβῳ οὐκ ἀπείργουσι τοὺς φοιτητὰς τῶν ἐγκλημάτων; φαμέν· Καὶ τίς ὁ τοῦ παραπαιδευτοῦ φόβος ἐπιτιμῆσαι; Τοῦτο πολλάκις γεγενημένον οὐκ ἴσχυσε. Πεῖσαι τῇ βακτήρια; Ἀλλ' οὐκ ἔξεστιν. Ἀποκηρύξαι; Καὶ τοῦτο ἐξελήλεγκται. Τῆς πόλεως ἐκβαλεῖν; Ἀλλ' οὐ τοσούτου γε κύριος. Ἐπαγγείλασθαι τὴν βασιλείαν τῶν οὐρανῶν; Ἀλλὰ μῦθος εἶναι δοκεῖ τοῖς ῥᾳθυμοτέροις. Ἀπειλῆσαι τὴν κρίσιν; Ἀλλὰ γελῶσι ἀκούοντες. Ἐξ-

εὐσπλαγχνία γιὰ τίποτε ἀπὸ αὐτὰ ποὺ ἐπιθυμεῖ, ἀλλὰ σ' αὐτοὺς ποὺ ὑπόσχεται ὅτι θὰ τοὺς θεραπεύσει, ἀφοῦ τοὺς εὐχηθεῖ νὰ ἀναρρώσουν, ἀπὸ αὐτὰ ποὺ προκαλοῦν τὸν θάνατο, ἀπὸ αὐτὰ τρέει τὸν ἑαυτό της, ἐγὼ ὅμως δὲν θεωρῶ αὐτὸν τόσο πολὺ αἴτιον τῶν τόσο μεγάλων κακῶν, ὅσο τὸν Εὐσέβιο ποὺ τόλμησε νὰ τοῦ ἐμπιστευθεῖ τὰ θεῖα μυστήρια. Γιατὶ αὐτὸς ποὺ ἔδωσε τὸν σπόρο, εἶναι ὁλοφάνερα αἴτιος τῶν φυτῶν.

259.- ΣΤΟΝ ΕΠΙΣΚΟΠΟ ΕΡΜΟΓΕΝΗ

Γιὰ τοὺς δασκάλους, καὶ ὅτι πρέπει αὐτοὶ νὰ προβάλλουν τὴ ζωή τους στοὺς μαθητές τους σὰν κάποια εἰκόνα καθαρὰ ζωγραφισμένη, γιὰ νὰ τὴν μιμηθοῦν ὅσο μποροῦν.

Ἐγὼ νομίζω ὅτι πρέπει στὸν δάσκαλο νὰ ὑπάρχουν ὁπωσδήποτε δύο προσόντα, ἡ καθαρότητα τῆς ζωῆς του, καὶ ἡ ἱκανότητα τοῦ λόγου, τὴν ὁποία χαρακτηρίζοντάς την κανεὶς σκιαγραφία τῶν ἔργων, νομίζω πὼς δὲν θὰ ἔπεφτε ἔξω ἀπὸ τὴν ἀλήθεια, ὥστε ἄλλοτε νὰ καθοδηγεῖ τὸν μαθητή, καὶ ἄλλοτε νὰ συνετίζει τὸν ἀπείθαρχο. Γιατί, ὅπως οἱ δάσκαλοι, παίρνοντας τὸ ὄργανο τῆς γραφῆς, χαράζουν μὲ πολλὴ ὀμορφιὰ τὰ γράμματα, καὶ τὰ δίνουν στοὺς ἀρχάριους γιὰ νὰ τὰ μιμηθοῦν ὅσο τοὺς εἶναι δυνατόν, ἔτσι καὶ οἱ δάσκαλοι πρέπει νὰ προβάλλουν τὴ ζωή τους στοὺς μαθητές τους σὰν κάποια εἰκόνα καθαρὰ ζωγραφισμένη, γιὰ νὰ τὴν μιμηθοῦν ὅσο μποροῦν. Καὶ ἐὰν ἐκεῖνοι, ἐνῶ βλέπουν ὄχι μόνο ζωὴ ἀσύλληπτη, ἀλλὰ καὶ θαυμάσια, δὲν προτρέπονται στὴν ἀρετή, τὸ σφάλμα αὐτὸ δὲν μπορεῖ νὰ τὸ ἀποδώσει στὸν δάσκαλο, ὁ ὁποῖος δὲν παρέλειψε τίποτε ἀπὸ αὐτὰ ποὺ ἔπρεπε νὰ γίνουν, ἀλλὰ στὴ ραθυμία τῶν μαθητῶν. Ἐπειδὴ ὅμως μερικοὶ ἐρωτοῦν· Καὶ γιὰ ποιὸν λόγο δὲν ἐμποδίζουν μὲ τὴ φοβέρα τοὺς μαθητὲς νὰ κάνουν λάθη; λέμε· Καὶ ποιὸς φόβος τοῦ βοηθοῦ δασκάλου θὰ τοὺς συμμορφώσει; Αὐτό, ἂν καὶ ἐφαρμόστηκε πολλὲς φορές, δὲν ἔφερε ἀποτέλεσμα. Νὰ τοὺς πείσει μὲ τὸ ραβδί; Ἀλλὰ δὲν ἐπιτρέπεται. Νὰ τοὺς ἀποκηρύξει; Καὶ αὐτὸ εἶναι ἀξιόμεμπτο. Νὰ τοὺς ἀπομακρύνει ἀπὸ τὴν πόλη; Ἀλλὰ δὲν ἔχει ἐξουσία νὰ τὸ κάνει αὐτό. Νὰ τοὺς ὑποσχεθεῖ τὴ βασιλεία τῶν οὐρανῶν; Ἀλλ' αὐτὸ φαίνεται στοὺς πιὸ ἀδιάφορους ὅτι εἶναι μῦθος. Νὰ τοὺς ἀπειλήσει μὲ τὴν

ελάσαι τῆς Ἐκκλησίας; Πρόχειρον μέν, ἐπανόρθωμα δὲ οὐκ ἔχον.

Εἰ μὲν γὰρ παρὰ τοῦ δεῖνος δικαίως κατεψηφισμένῳ πᾶσα ἐφεξῆς ἦν ἡ Ἐκκλησία ἄβατος, καὶ συνηγανάκτουν ἅπαντες τῷ ταύτην θεμένῳ τὴν ψῆφον, ἴσως ἂν ἐκεῖνος σωφρονισθεὶς ἐγνωσιμάχει. Νῦν δὲ ἅμα κατέγνωσταί τις ὑπὸ τούτου, καὶ παρ' ἄλλου πολλάκις θεραπεύεται, καὶ Ἐκκλησία ἑτέρα ἀναπεπταμένη καὶ δορυφορία καὶ δῶρα, καὶ γίνεται τῷ ἐκβεβλημένῳ χρηματισμὸς ἡ μετάστασις. Εἶθ' ὅτι μὲν καταγνωσθεὶς ἐξεβλήθη, οὐ λέγει, ὡς δ' ἑκὼν ἀπεπήδησε, τοῦτο πλάττεται. Κἂν εἴρηταί τις, διά τί, λογοποιεῖ καὶ δεινὰ καὶ τὰ τῆς ὑποδεξαμένης δοκοῦντα. Λαβόντες δὲ ταῦτα οὐκ ὀρθῶς βιοῦντές τινες, καὶ ὥσπερ ἀπολογίαν τῶν οἰκείων πταισμάτων ταύτην ἔχειν οἰόμενοι, μεγαλύνουσιν, ἐμπιπλῶσι τὰ πάντα ῥημάτων, τοῖς κατασκευακόσι πρεπόντων. Ἐκ δὲ τούτων ὁ μὲν πταίσας οὐδὲν ἀμείνων καθίσταται, τῷ σωφρονιστῇ δέ, τὸ δοκεῖν εἶναι μιαρῷ, περιγίνεται.

Διὰ ταῦτα, ὦ σοφώτατε, καὶ οἱ εὐδόκιμοι τῶν διδασκάλων (ἀλίγοι δέ εἰσιν οὗτοι) ἀπενάρκησαν σωφρονίζειν τοὺς πλημμελοῦντας, ἐπειδὴ οἱ μὴ προσηκόντως εἰς ταύτην εἰσκωμάσαντες τὴν ἀρχὴν (πολλοὶ δέ εἰσιν οὗτοι) τὰς τῶν ἄλλων εὐδοκιμήσεις οἰκείας ἡγούμενοι συμφορᾶς, τῶν εἰκότως ἀγανακτούντων τὰς ψήφους ἀνατρέπειν ἐπιχειροῦσιν, ἵνα μὴ σβεσθῇ ἡ κακία, ἀλλὰ καὶ ἐπιτρίβοιτο, περὶ ὧν φορτικώτερα μὲν οἶδα λέξων, ὅμως δ' ἐρῶ, τάχα πως διόρθωσίς τις παρακολουθήσει. Τί γὰρ ὄφελος ἀπολωλότας θρηνεῖν, παρόν, τό γε ἐφ' ἡμῖν, σώζειν, ἡνίκα ἔξεστιν; Οἱ γὰρ μηδ' ἐν τοῖς ὑπηκόοις ὀφείλοντες τετάχθαι, οὗτοι ἐπιπηδᾶν τῷ διδασκαλικῷ θρόνῳ τολμῶσι, καὶ τοῦ βήματος κρατεῖν οἴονται. οἱ μηδ' ἑαυτῶν κεκρατηκότες, καὶ ἄλλων ἐξηγεῖσθαι νομίζουσιν, οἱ μηδ' ἑαυτῶν ἄρξαι δυνηθέντες, δι' οὓς ἄνω καὶ κάτω γέγονε τὰ τῆς Ἐκκλησίας πράγματα.

μέλλουσα κρίση; Ἀλλὰ γελοῦν ὅταν τὸ ἀκοῦν. Νὰ τοὺς διώξει ἀπὸ τὴν Ἐκκλησία; Εἶναι βέβαια εὔκολο, ἀλλὰ δὲν ἔχει ἐπανόρθωση.

Καὶ πράγματι, ἐὰν γιὰ τὸν τάδε, ὁ ὁποῖος δίκαια τιμωρήθηκε, ἦταν στὸ ἔξῆς κάθε ἐκκλησία ἀπλησίαστη, καὶ ἀγανακτοῦσαν ὅλοι μαζὶ μὲ ἐκεῖνον ποὺ πῆρε αὐτὴ τὴν ἀπόφαση, ἴσως τότε ἐκεῖνος νὰ συνετιζόταν καὶ νὰ ἀναγνώριζε τὴν πλάνη του. Τώρα ὅμως, μόλις τιμωρηθεῖ κάποιος ἀπὸ αὐτόν, πολλὲς φορὲς θεραπεύεται ἀπὸ ἄλλον, καὶ ἄλλη Ἐκκλησία ἔχει ἀνοιχτὲς τὶς πύλες της, καὶ ὑπάρχουν καὶ προστάτες καὶ δῶρα, καὶ ἡ μετάθεση τοῦ διωγμένου γίνεται ὑπόθεση χρηματισμοῦ. Ἔπειτα, τὸ ὅτι διώχθηκε, ἐπειδὴ τιμωρήθηκε, δὲν τὸ λέγει, ἀλλὰ ὑποκρίνεται ὅτι ἔφυγε μὲ τὴ θέλησή του. Κι' ἂν κάποιος τὸν ρωτήσει, γιατί; Πλάθει καὶ διάφορα δεινά, καὶ αὐτὰ ποὺ φαίνονται ἀρεστὰ στὴν ἐκκλησία ποὺ τὸν δέχθηκε. Παίρνοντάς τα λοιπὸν αὐτὰ μερικοὶ ποὺ δὲν ζοῦν σωστά, καὶ νομίζοντας ὅτι τὰ ἔχουν σὰν δικαιολογία καὶ γιὰ τὰ δικά τους πταίσματα, τὰ μεγαλοποιοῦν καὶ τὰ γεμίζουν ὅλα μὲ λόγια ποὺ ταιριάζουν σ' αὐτοὺς ποὺ τὰ κατασκεύασαν. Ἀπὸ αὐτὰ ὅμως ὁ φταίχτης δὲν γίνεται καλύτερος, ἐνῶ γιὰ τὸν σωφρονιστὴ ἐνισχύεται ἡ γνώμη ὅτι εἶναι μολυσμένος.

Γι' αὐτό, σοφώτατε, καὶ οἱ διακεκριμένοι δάσκαλοι (εἶναι βέβαια λίγοι αὐτοὶ) διστάζουν νὰ σωφρονίσουν αὐτοὺς ποὺ ἁμαρτάνουν, ἐπειδὴ αὐτοὶ ποὺ δὲν μπῆκαν ὅπως ἔπρεπε σ' αὐτὴ τὴν ἐξουσία (καὶ εἶναι πολλοὶ αὐτοί), θεωρώντας τὶς προόδους τῶν ἄλλων δικές τους συμφορές, ἐπιχειροῦν νὰ ἀνατρέψουν τὶς γνῶμες αὐτῶν ποὺ ἀγανακτοῦν δικαιολογημένα, γιὰ νὰ μὴ σβησθεῖ ἡ κακία, ἀλλὰ νὰ ἀναρριπίζεται, γιὰ τοὺς ὁποίους γνωρίζω νὰ πῶ πιὸ ἐπιβαρυντικά, ὅμως δὲν θὰ τὰ πῶ, μήπως καὶ ἐπακολουθήσει κάποια διόρθωση. Ποιὸ δηλαδὴ τὸ ὄφελος νὰ θρηνοῦμε αὐτοὺς ποὺ χάθηκαν, ἐνῶ εἶναι δυνατόν, ὅσο ἐξαρτᾶται ἀπὸ μᾶς, νὰ τοὺς σώσουμε, ὅταν εἶναι δυνατόν; Γιατί, ἐκεῖνοι ποὺ δὲν ἔπρεπε νὰ ἀνήκουν οὔτε στοὺς πιστούς, αὐτοὶ τολμοῦν νὰ ἀνεβαίνουν στὸν διδασκαλικὸ θρόνο, καὶ νομίζουν ὅτι εἶναι κύριοι τοῦ βήματος, αὐτοὶ ποὺ οὔτε κύριοι τοῦ ἑαυτοῦ τους δὲν εἶναι, καὶ πιστεύουν ὅτι θὰ μπορέσουν νὰ γίνουν ἡγέτες τῶν ἄλλων, αὐτοὶ ποὺ οὔτε τοὺς ἑαυτούς τους δὲν μποροῦν νὰ ὁδηγήσουν, ἐξαιτίας τῶν ὁποίων ἔγιναν ἄνω-κάτω τὰ πράγματα τῆς Ἐκκλησίας.

ΣΞ΄.– ΖΩΣΙΜΩ ΠΡΕΣΒΥΤΕΡΩ

Ὅτι οὐ τοῖς ἱερωμένοις καπηλεύειν τὰ πράγματα ἐπέτρεψεν, οὐδὲ πρὸς τὸ οἰκεῖον κέρδος ὁρᾶν ἐθέσπισεν, ἀλλὰ πρὸς τὸ τῶν ἀρχομένων συμφέρον πάντα ἐνομοθέτησεν ὁ πάσης ἁγνείας καὶ καθαρότητος νομοθέτης.

Ἀνήρ τις οὐ μόνον αἰσχρῶν λημμάτων κρείττων, ἀλλὰ καὶ τὰ οἰκεῖα τοῖς δεομένοις διανέμων, πυθόμενος ὅτι ἰχθῦς ὀλίγους εἰληφὼς παρά τινος ἐπιορκήσαντος, ἀπολῦσαι αὐτόν, τόγε ἐπὶ σοί, τοῦ ἁμαρτήματος ἐτόλμησας, στενάξας μέγα, τὸ Δημοσθενικὸν ἐκεῖνο ἀπεφθέγξατο, ὡς ἔμοιγε δοκεῖ. Καὶ γὰρ εἰ φορτικώτερον εἶναι τὸ ῥηθησόμενον δόξει, λέξω, καὶ οὐκ ἀποκρύψομαι, κατὰ τοῦτό γε αὐτὸ ἄξιον αὐτὸν εἶναι θανάτῳ ζημιῶσαι, ἵνα ἐν ᾅδου θῇ τοῖς ἀσεβέσι τοῦτον τὸν νόμον. Ἀλλὰ τοῦτο μὲν ἐκεῖνος περιαλγὴς γενόμενος ἔφη, ἐμοὶ δ' ἔδοξε καὶ πᾶσι τοῖς παροῦσι μηδὲν ἀπεικὸς εἰρηκέναι. Οὐ γὰρ τὸ σὲ δώροις ἐξευμενισθῆναι, ἀπολύει ἐκεῖνον τοῦ ἐγκλήματος, ἀλλὰ τὸ ἀπολαβεῖν τὰ οἰκεῖα τὸν ἐκ τῆς ἐπιορκίας ἀδικηθέντα. Μὴ τοίνυν κέρδους ἕνεκεν αἰσχροῦ ἢ παραποίει ἢ παρερμήνευε τοὺς θείους χρησμούς. Οὐ γὰρ ἀδικεῖν μέν, προσφέρειν δὲ τοῖς ἱερωμένοις προστάττουσιν, ἀλλὰ τοῖς ἀδικηθεῖσιν ἀπολογεῖσθαι διὰ τῶν πραγμάτων θεσπίζουσι. Τὸ γάρ, «Ἐὰν δήσητε», περὶ τῶν ἁμαρτανόντων εἴρηται, καὶ τό, «Ἐὰν λύσητε», περὶ τῶν γνωσιμαχούντων. Ἀπολύεται δὲ τοῦ ἐγκλήματος, οὐχ ὁ τὸν ἱερέα ἐκμειλισσόμενος, ἀλλὰ ὁ τὸν ἀδικηθέντα ἐξευμενιζόμενος. Εἰ γὰρ τοῖς ἱερωμένοις νομίζεις δεδόσθαι τὴν τοιαύτην ἐξουσίαν, τῶν πλημμελούντων μὴ σπουδαζόντων ἀποτρίψασθαι τὰ πταίσματα, τυραννικὸς μὲν εἶναι δόξει ὁ χρησμὸς καὶ πρὸς τὸ ἱερατικὸν κέρδος μόνον ὁρᾶν, τῶν δὲ ἀδικηθέντων οὐδένα ποιούμενος λόγον, ὠμότατοι δὲ ἀπανθρωπότατα οἱ τὴν τῆς ἱερωσύνης ἐστεμμένοι λειτουργίαν, μὴ πάντας ἀπολύοντες τῶν ἐγκλημάτων.

Ἀλλ' οὐκ ἔστι ταῦτα, οὐκ ἔστι. Μὴ σαυτὸν παραλογίσῃ,

260.- ΣΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟ ΖΩΣΙΜΟ

Ὅτι δὲν ἐπέτρεψε στοὺς ἱερωμένους νὰ ἐμπορεύονται τὰ πράγματα, οὔτε νὰ ἀποβλέπουν στὸ δικό τους κέρδος, ἀλλὰ τὰ νομοθέτησε ὅλα πρὸς τὸ συμφέρον τῶν πιστῶν, ὁ νομοθέτης κάθε ἁγνότητας καὶ καθαρότητας.

Κάποιος ἄνδρας, ὁ ὁποῖος ὄχι μόνο εἶναι ἀνώτερος τῶν δωροδοκιῶν, ἀλλὰ μοιράζει καὶ τὰ δικά του σ' αὐτοὺς ποὺ ἔχουν ἀνάγκη, μαθαίνοντας ὅτι, ἐπειδὴ πῆρες λίγα ψάρια ἀπὸ κάποιον ἐπίορκο, τόλμησες, ὅσο ἐξαρτῶταν ἀπὸ σένα, νὰ τὸν ἀπαλλάξεις ἀπὸ τὸ ἁμάρτημά του, ἀφοῦ στέναξε βαθειά, εἶπε ἐκεῖνο τὸ ρητὸ τοῦ Δημοσθένη, ὅπως ἐγὼ νομίζω. Γιατί, ἂν καὶ αὐτὸ ποὺ θὰ πῶ θὰ φανεῖ πολὺ βαρύ, θὰ τὸ πῶ καὶ δὲν θὰ τὸ ἀποσιωπήσω· "Γι' αὐτὸ τὸ λόγο εἶναι ἄξιο νὰ τὸν τιμωρήσει αὐτὸν μὲ θάνατο, ὥστε νὰ θεσπίσει τὸν νόμο αὐτὸν στὸν ἅδη γιὰ τοὺς ἀσεβεῖς". Ἀλλὰ αὐτὸ βέβαια εἶπε ἐκεῖνος γεμᾶτος πόνο, σὲ μένα ὅμως καὶ σὲ ὅλους τοὺς παρόντες φάνηκε πὼς δὲν εἶπε τίποτε τὸ ἀπρεπές. Γιατί, τὸ ὅτι σὲ ἐξευμένισε μὲ δῶρα, δὲν ἀπαλλάσσει ἐκεῖνον ἀπὸ τὴν ἐνοχή, ἀλλὰ τὸ νὰ πάρει τὰ δικά του αὐτὸς ποὺ ἀδικήθηκε ἀπὸ τὴν ἐπιορκία. Νὰ μὴ παραποιεῖς λοιπόν, οὔτε νὰ παρερμηνεύεις τοὺς θείους νόμους ἐξαιτίας αἰσχροῦ κέρδους. Γιατὶ δὲν ὁρίζουν νὰ προσφέρουμε στοὺς ἱερωμένους κάνοντας ἀδικίες, ἀλλὰ νὰ ἀπολογούμαστε ἔμπρακτα γι' αὐτοὺς ποὺ ἀδικήσαμε. Γιατὶ τό, «Ἐὰν δέσετε», εἰπώθηκε γι' αὐτοὺς ποὺ ἁμαρτάνουν, καὶ τό, «Ἐὰν συγχωρήσετε»[81α], γι' αὐτοὺς ποὺ μετανοοῦν εἰλικρινά. Καὶ ἀπαλλάσσεται ἀπὸ τὴν κατηγορία, ὄχι αὐτὸς ποὺ καλοπιάνει τὸν ἱερέα, ἀλλὰ αὐτὸς ποὺ ἐξευμενίζει ἐκεῖνον ποὺ ἀδικήθηκε. Γιατί, ἂν νομίζεις ὅτι ἡ ἐξουσία αὐτὴ δόθηκε στοὺς ἱερωμένους, χωρὶς αὐτοὶ ποὺ ἁμαρτάνουν νὰ σπεύδουν νὰ ἐξαλείψουν τὰ πταίσματά τους, ὁ νόμος αὐτὸς θὰ θεωρηθεῖ ὅτι εἶναι τυραννικὸς καὶ ὅτι ἀποβλέπει μόνο στὸ κέρδος τῶν ἱερέων, χωρὶς νὰ κάνει καθόλου λόγο γι' αὐτοὺς ποὺ ἀδικήθηκαν, καὶ αὐτοὶ ποὺ εἶναι στεφανωμένοι μὲ τὸ λειτούργημα τῆς ἱερωσύνης θὰ εἶναι ὠμότατοι κατὰ τρόπον ἀπανθρωπότατο, μὴ συγχωρώντας ὅλους γιὰ τὰ ἁμαρτήματά τους.

Ἀλλὰ αὐτὰ δὲν εἶναι εἶναι σωστά, δὲν εἶναι. Μὴ ἐξαπατᾶς τὸν

81α. Ματθ. 16, 19.

μᾶλλον δὲ μὴ σαυτὸν καὶ τοὺς ἀκούοντάς σου εἰς βάραθρον ὤσῃς, μηδὲ τὰ τῶν Γραμματέων καὶ Φαρισαίων κακὰ ἀνανεώσῃς, τῶν παραμυθίας τινὰς τοῖς ἐπιορκοῦσι δι' αἰσχρὸν κέρδος ἐπινοησάντων, καὶ τοὺς παῖδας κατὰ τῶν γονέων ὁπλισάντων, καὶ τὰς θείας ἐντολὰς παρερμηνευσάντων καὶ ἀνατρεψάντων τὰς ἐντολάς, ἀλλ' εὐαγῶς καὶ εἰλικρινῶς τοῖς διὰ τῶν χρησμῶν θεσμοθετηθεῖσιν ἕπου, οἷς καὶ ὁ ἱερὸς ἀπόστολος ἀκολούθως ἔλεγεν· «Οὐ γὰρ δυνάμεθά τι κατὰ τῆς ἀληθείας, ἀλλ' ὑπὲρ τῆς ἀληθείας». [82] Ἤ ἂν μὲν πλούσιος ᾖ ὁ ἐπιορκήσας καὶ προσενέγκῃ τῷ ἱερεῖ, ἀπολύεται, ἐὰν δὲ πένης καὶ μὴ προσενέγκῃ, εὐθύνεται. Ἀλλὰ ταῦτα οὔ φημι πράττειν, ἀλλ' οὐδὲ ἐννοεῖν θέμις. Ἐρεῖ γάρ σοι ὁ κριτής· «Ὑπέλαβες ἄν με, ὅτι ἔσομαί σοι ὅμοιος;». Καὶ πῶς οἷόν τε; Ὁ γὰρ προστάξας τοῖς ὑπηκόοις τὰ δῶρα ἐπ' ἀθώοις μὴ δέχεσθαι, οὐκ ἂν δή που τοὺς ἱερωμένους τούτοις καταρρυπαίνεσθαι τοῖς αἰσχροῖς κέρδεσι προσέταττεν. Ἀλλὰ τοῦτο ἔφη, ἵνα μετὰ τὴν ἀπολογίαν τῶν ἀποστερηθέντων συνευχόμενοι καὶ συνηστεύοντες τοῖς πταίσασι, λύσιν αὐτοῖς οὐρανόθεν πορίσοιντο, ἐκεῖνο μηδ' εἰς νοῦν λαμβάνοντες τό· «Δεῦτε, κληρονομήσωμεν ἑαυτοῖς τὸ θυσιαστήριον τοῦ Θεοῦ». Λειτουργοί γάρ εἰσιν, οὐ κοινωνοί, πρέσβεις, οὐ κριταί, μεσῖται, οὐ βασιλεῖς. Οἱ γὰρ καὶ περὶ οἰκείων ἁμαρτημάτων, ὡς ἔφη ὁ ἀπόστολος, θυσίας προσφέροντες, οὐκ ἂν δήπου ἐξ αὐθεντίας καὶ τοῖς ἀμετανοήτοις, εἰ καὶ πλούσιοι εἶεν, δύναιντ' ἀφεῖναι ἁμαρτίας.

Ὅτι γὰρ οὐ τοῖς ἱερωμένοις καπηλεύειν τὰ πράγματα ἐπέτρεψεν, οὐδὲ πρὸς τὸ οἰκεῖον κέρδος ὁρᾶν ἐθέσπισεν, ἀλλὰ πρὸς τὸ τῶν ἀρχομένων συμφέρον πάντα ἐνομοθέτησεν ὁ πάσης ἁγνείας καὶ καθαρότητος ἀνάκτορον αὐτοὺς εἶναι βουλόμενος, μεμήνυκε μὲν καὶ διὰ τοῦ ἱεροφάντου Μωϋσέως, μεμήνυκε δὲ καὶ δι' ἑαυτοῦ. Διὰ μὲν τοῦ νομοθέτου φήσας, ὅτι «Εἴ τις παρακαταθήκην νοθεύσειε, πρῶτον μὲν ἀποδιδότω τὰ ἀφαιρεθέντα, εἶτα ἡκέτω εἰς τὸν νεών, οὐ τὸν ἱερέα, ἀλλὰ τὸν

82. Β' Κορ. 13, 8. 83. Ἡσ. 46, 5.

ἑαυτό σου, ἢ καλύτερα μὴ σπρώχνεις τὸν ἑαυτό σου καὶ τοὺς ἀκροατές σου σὲ βάραθρο, οὔτε νὰ ἀνανεώνεις τὰ κακὰ τῶν Γραμματέων καὶ Φαρισαίων, οἱ ὁποῖοι ἐπινόησαν κάποιες παρηγοριὲς στοὺς ἐπίορκους, χάριν αἰσχροῦ κέρδους, καὶ ὅπλισαν τὰ παιδιὰ ἐναντίον τῶν γονέων τους, καὶ παρερμήνευσαν καὶ ἀνέτρεψαν τὶς θεῖες ἐντολές, ἀλλὰ ν' ἀκολουθεῖς μὲ τρόπο ἄμεμπτο καὶ εἰλικρινῆ αὐτὰ ποὺ θεσμοθετήθηκαν μὲ τὶς ἐντολές, γιὰ τὶς ὁποῖες καὶ ὁ ἱερὸς Ἀπόστολος ἔλεγε τὰ ἑξῆς· «Γιατὶ δὲν μποροῦμε νὰ κάνουμε κάτι ἐναντίον τῆς ἀληθείας, ἀλλὰ ὑπὲρ τῆς ἀλήθειας»[82]. Ἂν δηλαδὴ ὁ ἐπίορκος εἶναι πλούσιος καὶ κάνει προσφορὰ στὸν ἱερέα, ἀπολύεται, ἐὰν ὅμως εἶναι φτωχὸς καὶ δὲν προσφέρει, εἶναι ἔνοχος. Ἀλλ' αὐτὰ ὄχι μόνο λέγω νὰ μὴ τὰ κάνουν, ἀλλ' οὔτε καὶ νὰ τὰ βάζουν στὸ νοῦ τους ἐπιτρέπεται. Γιατὶ ὁ κριτὴς θὰ σοῦ πεῖ· «Τόλμησες νὰ σκεφθεῖς, ὅτι θὰ γίνω ὅμοιος μὲ σένα;»[83]. Καὶ πῶς εἶναι δυνατόν; Γιατί, αὐτὸς ποὺ πρόσταξε τοὺς πιστούς του νὰ μὴ δέχονται δῶρα γιὰ ἀθώους, δὲν θὰ ἦταν δυνατὸν φυσικὰ νὰ διατάξει τοὺς ἱερωμένους νὰ καταλερώνονται μὲ αὐτὰ τὰ αἰσχρὰ κέρδη. Ἀλλὰ τὸ εἶπε αὐτό, ὥστε μετὰ τὴν ὁμολογία τῶν ὅσων ἀπεστέρησαν, ἀφοῦ προσευχηθοῦν καὶ νηστέψουν μαζὶ μὲ ἐκείνους ποὺ διέπραξαν τὰ πταίσματα, νὰ δοθεῖ λύση ἀπὸ τὸν οὐρανό, χωρὶς οὔτε κἂν νὰ βάζουν στὸ νοῦ τους ἐκεῖνο τό· «Ἐλᾶτε, νὰ κληρονομήσουμε γιὰ τοὺς ἑαυτούς μας τὸ θυσιαστήριο τοῦ Θεοῦ»[84]. Γιατὶ εἶναι λειτουργοί, ὄχι μέτοχοι, εἶναι πρεσβευτές, ὄχι κριτές, εἶναι μεσίτες, ὄχι βασιλεῖς. Γιατὶ αὐτοὶ ποὺ καὶ γιὰ τὰ δικά τους ἁμαρτήματα, ὅπως εἶπε ὁ Ἀπόστολος, προσφέρουν θυσίες[85], δὲν θὰ μποροῦσαν κατὰ τρόπο αὐθαίρετο νὰ συγχωρήσουν ἁμαρτίες τῶν ἀμετανοήτων, ἔστω καὶ ἂν εἶναι πλούσιοι.

Ὅτι ὅμως δὲν ἐπέτρεψε στοὺς ἱερωμένους νὰ ἐμπορεύονται τὶς πράξεις, οὔτε νὰ ἀποβλέπουν στὸ δικό τους κέρδος, ἀλλὰ τὰ νομοθέτησε ὅλα πρὸς τὸ συμφέρον τῶν πιστῶν, ἐκεῖνος ποὺ ἤθελε αὐτοὶ νὰ εἶναι ναὸς κάθε ἁγνότητας καὶ καθαρότητας, τὸ ἔχει βέβαια προμηνύσει μὲ τὸν ἱεροφάντη Μωυσῆ, ἀλλὰ τὸ δήλωσε καὶ ὁ ἴδιος, λέγοντας μέσω τοῦ νομοθέτη, «Ἐὰν κάποιος νοθεύσει παρακαταθήκη, πρῶτον νὰ ἐπιστρέψει αὐτὰ ποὺ ἀφαίρεσε, ἔπειτα νὰ μεταβεῖ στὸν ναό, ὄχι γιὰ

84. Ψαλμ. 82, 13.

85. Ἑβρ. 5, 1 ἑ.

κριτὴν ἐξιλασόμενος», διὰ δὲ ἑαυτοῦ, «Λάβετε Πνεῦμα ἅγιον· ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφέωνται, καὶ ὧν ἂν κρατῆτε, κεκράτηνται». Εἰ τοίνυν διὰ τὸ θεῖον Πνεῦμα ταύτην εἰλήφασι τὴν ἐξουσίαν, οἱ δι' ὧν ἁμαρτάνουσι, τοῦτο ἀπελαύνοντες, ταύτην δηλονότι τὴν ἐξουσίαν οὐκ ἔχουσιν, ἀλλ' ἐκεῖνοι οἱ διὰ τοῦ ἁγίου Πνεύματος εἰδότες, τίνες μέν εἰσιν ἀφέσεως, τίνες δὲ κατακρίσεως ἄξιοι. Ἐπειδὴ γὰρ τὸν ἀνθρώπινον τοῦτο ὑπερβαίνει νοῦν, ὁ Παράκλητος, ὁ τῆς θείας οὐσίας καὶ δόξης κοινωνός, διδάσκαλος τοῖς ἀξίοις τῆς ὑποδοχῆς αὐτοῦ ἐγίνετο, ὧν ὁ ἀνθρώπινος νοῦς οὐκ ἀφικνεῖτο.

ΣΞΑ'.– ΤΩ ΑΥΤΩ
Περὶ τῶν ἁμαρτιῶν.

Ὥσπερ αἱ ἔχεις τῷ τῆς μητρὸς θανάτῳ, οὕτω καὶ αἱ ἁμαρτίαι τῷ τῶν τικτόντων μαιοῦνται ὀλέθρῳ.

ΣΞΒ'.– ΗΡΑΚΛΕΙΩ ΕΠΙΣΚΟΠΩ
Μεσολαβητική.

Ἦκεν εἰς σὲ ὁ φίλος ὁμηρεύσων ὑπὲρ τοῦ πατρός, κἀκεῖνον ἀπολύσων τοῦ δεσμωτηρίου. Σύμπραττε τοίνυν αὐτῷ, οὐ χρημάτων ἕνεκεν, ἀλλ' εὐσεβείας καὶ εὐκλείας πρὸς τοῦτον ἀποδυσαμένῳ τὸν ἀγῶνα.

ΣΞΓ'.– ΛΥΣΟΝΙΩ ΚΟΡΡΗΚΤΩΡΙ
Συμβουλευτικὴ πρὸς ὀρθὴν ἄσκησιν τῆς ἐξουσίας.

Καλῶς ἄν, ὦ ἐλλογιμώτατε, διοικήσειας τὴν ἀρχήν, εἰ τοῦ μὲν δικαίου φύλαξ ἀκλινὴς γένοιο, ἴσον δ' ἀπόσχοιο ἀπεχθείας ἀδίκου καὶ χάριτος. Καὶ ἐν μὲν τοῖς ἤθεσι τὴν δίκην, ἐν δὲ τοῖς ὀφθαλμοῖς τὴν αἰδῶ, ἐν δὲ τοῖς χείλεσι τὴν πειθὼ χορεύουσαν ἔχοις, τὸ δὲ ξίφος ἄχραντον, ὡς ἐνδέχεται, τηρήσειας, ταῖς ἀπειλαῖς τὰ πταίσματα προαναστέλλων.

---

86. Ἐξ. 22, 7 ἑ.

ἐξιλεώσει τὸν ἱερέα, ἀλλὰ τὸν κριτή»[86], καὶ αὐτὸς ὁ ἴδιος· «Λάβετε Πνεῦμα ἅγιο. Ἂν συγχωρήσετε τὶς ἁμαρτίες κάποιων, θὰ εἶναι συγχωρημένες. Καὶ ἂν κάποιων δὲν τὶς συγχωρήσετε, θὰ μένουν ἀσυγχώρητες»[87]. Ἐφόσον λοιπὸν ἔλαβαν αὐτὴ τὴν ἐξουσία ἀπὸ τὸ ἅγιο Πνεῦμα, ἐκεῖνοι πού, μὲ τὶς ἁμαρτίες ποὺ κάνουν, τὸ διώχνουν, εἶναι φανερὸ ὅτι αὐτὴ τὴν ἐξουσία δὲν τὴν ἔχουν, ἀλλὰ μόνο ἐκεῖνοι ποὺ μὲ τὸ ἅγιο Πνεῦμα γνωρίζουν, ποιοὶ εἶναι ἄξιοι συγχωρήσεως, καὶ ποιοὶ κατακρίσεως. Ἐπειδὴ ὅμως αὐτὸ ξεπερνᾶ τὸν νοῦ τοῦ ἀνθρώπου, ὁ Παράκλητος, ποὺ εἶναι μέτοχος τῆς οὐσίας καὶ τῆς δόξας τοῦ Θεοῦ, γινόταν δάσκαλος στοὺς ἄξιους νὰ τὸν δεχθοῦν, γι᾽ αὐτὰ ποὺ ὁ ἀνθρώπινος νοῦς δὲν μποροῦσε νὰ τὰ φτάσει.

261.- ΣΤΟΝ ΙΔΙΟ
Γιὰ τὶς ἁμαρτίες.

Ὅπως οἱ ὀχιὲς γεννιοῦνται μὲ τὸν θάνατο τῆς μητέρας τους, ἔτσι καὶ οἱ ἁμαρτίες μὲ τὴν καταστροφὴ αὐτῶν ποὺ τὶς γεννοῦν.

262.- ΣΤΟΝ ΕΠΙΣΚΟΠΟ ΗΡΑΚΛΕΙΟ
Μεσολαβητική.

Ἦρθε σὲ σένα ὁ φίλος, γιὰ νὰ μείνει ὡς ὅμηρος γιὰ τὸν πατέρα του καὶ νὰ ἀπολύσεις ἐκεῖνον ἀπὸ τὸ φυλακή. Συνεργάσου λοιπὸν μὲ αὐτόν, ὄχι λόγω χρημάτων, ἀλλὰ ἀπὸ σεβασμὸ καὶ καλὴ φήμη πρὸς αὐτὸν ποὺ ἀνέλαβε αὐτὸν τὸν ἀγώνα.

263.- ΣΤΟΝ ΣΩΦΡΟΝΙΣΤΗ ΛΥΣΟΝΙΟ
Συμβουλευτικὴ πρὸς ὀρθὴ ἄσκηση τῆς ἐξουσίας.

Θὰ διαχειρισθεῖς καλά, ἐλλογιμώτατε, τὴν ἐξουσία, ἐὰν γίνεις σταθερὸς φύλακας τοῦ δικαίου καὶ ἀπέχεις ἐξίσου ἀπὸ τὴν ἄδικη ἔχθρα καὶ χάρη, καὶ ἂν ἔχεις πάντοτε στὶς σχέσεις πρὸς τοὺς ἀνθρώπους τὴ δικαιοσύνη, στὰ μάτια τὴ ντροπή, στὰ χείλη τὴν πειθώ, καὶ διατηρήσεις, ὅσο εἶναι δυνατόν, τὸ ξῖφος καθαρό, προλαβαίνοντας τὰ πταίσματα μὲ ἀπειλές.

---

87. Ἰω. 22, 22-23.

ΣΞΔ΄.– ΤΩ ΑΥΤΩ

Εἰς τό, «Ἀναπεσὼν ἐκοιμήθης ὡς λέων».

Ἐγώ, εἰ καὶ παράδοξον εἶναι δόξει τὸ ῥηθησόμενον, μεγαλοφροσύνην τὴν μετὰ λόγου φρόνησιν εἶναι ὁρίζομαι. Οὐ γάρ, εἴ τις μὴ εἴη κόλαξ, τοῦτον ἀλαζόνα γραπτέον, οὐδ' εἴ τις κόλαξ εἴη καὶ ἀγεννής, τοῦτον μετριόφρονα νομιστέον, ἀλλὰ τὸν τὰ πρέποντα μὲν πράττοντα, μὴ φυσώμενον δὲ κατὰ τῶν πέλας, μηδ' αὐτὸν ὑπερτιθέντα ἁπάντων, ἀλλ' ἐν τῇ προσηκούσῃ τάξει τῇ ἐλευθέροις πρεπούσῃ ἑαυτὸν φυλάττοντα. Μεγαλόψυχον μὲν γὰρ εἶναι χρή, οὐχ ὑπερήφανον, ἀνδρεῖον, οὐ θρασύν, ἐπιεικῆ, οὐ δουλοπρεπῆ, μετριόφρονα, οὐ ταπεινοφροσύνην ὑποκρινόμενον, ἐλευθέριον, οὐκ ἀνδραποδώδη. Οἷος ἦν καὶ ὁ θεοφιλὴς Ἀβραάμ, ὃς λαφύρων μὲν ὑπερεφρόνει Περσικῶν καὶ σκύλων βαρβαρικῶν, ξενοδοχῶν δέ, ἁπάντων ταπεινότερος ἦν, τὰ οἰκετῶν διαπραττόμενος, καὶ θείας ὁμιλίας ἀξιούμενος, ἔλεγεν· «Ἐγώ εἰμι γῆ καὶ σποδός». Τοῦτό ἐστιν, ὡς ἀληθῶς συναγαγεῖν εἰς ταυτὸ μετριοφροσύνην καὶ ταπεινότητα καὶ ὕψος, καὶ τοῦτό ἐστιν ἐλευθεριότητα δεῖξαι ὑπερηφανίας ἀπηλλαγμένην. Οἱ δὲ ταῖς κακίαις τὰ τῶν ἀρετῶν ὀνόματα περιτιθέντες, καὶ ταῖς ἀρεταῖς τὰ τῶν κακιῶν, καὶ πάντα χρήματα μιγνύντες, ἵνα ἡ ἀρετὴ δυσδιάγνωστος γένηται, αὐτὴν τὴν ἀρετὴν ἐξοστρακίζειν μοι δοκοῦσιν.

ΣΞΕ΄.– ΑΠΟΛΛΩΝΙΩ ΕΠΙΣΚΟΠΩ

Ὅτι χρὴ τοὺς εἰς τὸν διδασκαλικὸν θρόνον ἱδρυθέντας, καὶ ἀλείφειν τοὺς ἀγωνιζομένους, καὶ ἀνακηρύττειν τοὺς νενικηκότας.

Ἐπὶ μὲν τῶν ἔξωθεν ἀγώνων ἄλλος ἐστὶν ὁ ἀγωνιστής, καὶ ἄλλος ὁ κήρυξ, ὁ τοὺς νικῶντας ἀνακηρύττων, ἐπὶ δὲ τῶν θείων τὸν στεφανίτην καὶ κήρυκα εἶναι νενομοθέτηται. Μὴ τοίνυν τινὲς τῶν εἰς τὸν διδασκαλικὸν ἱδρυθέντων θρόνον, ὡς, ἀγῶνα

88. Γεν. 49, 9.

264.– ΣΤΟΝ ΙΔΙΟ

Στό· «Ἔπεσες καὶ κοιμήθηκες σὰν λιοντάρι»[88].

Ἐγώ, ἂν καὶ θὰ φανεῖ παράξενο αὐτὸ ποὺ θὰ λεχθεῖ, μεγαλοφροσύνη θεωρῶ τὴ λογικὴ φρονιμάδα. Γιατὶ δὲν πρέπει, ὅταν κάποιος δὲν εἶναι κόλακας, νὰ τὸν χαρακτηρίζουμε ἀλαζόνα, οὔτε καὶ ὅταν κάποιος εἶναι κόλακας καὶ ἄνανδρος, νὰ τὸν θεωροῦμε μετριόφρονα, ἀλλὰ αὐτὸν ποὺ κάνει βέβαια αὐτὰ ποὺ πρέπει, ἀλλὰ δὲν ὑπερυφανεύεται ἐναντίον τῶν πλησίον του, οὔτε τοποθετεῖ τὸν ἑαυτό του πάνω ἀπὸ ὅλους, ἀλλὰ κρατᾶ γιὰ τὸν ἑαυτό του τὴ θέση ποὺ ταιριάζει σὲ ἐλεύθερους. Γιατὶ πρέπει νὰ εἶναι μεγαλόψυχος, καὶ ὄχι ὑπερήφανος, ἀνδρεῖος, ὄχι θρασύς, ἐπιεικής, ὄχι δουλοπρεπής, μετριόφρων, χωρὶς νὰ ὑποκρίνεσαι ταπεινοφροσύνη, ἐλεύθερος, καὶ ὄχι δουλεπρεπής. Τέτοιος ἦταν καὶ ὁ φίλος τοῦ Θεοῦ Ἀβραάμ, ὁ ὁποῖος περιφρονοῦσε τὰ περσικὰ λάφυρα καὶ τὰ βαρβαρικὰ κατάλειπα τοῦ πολέμου, καὶ περιποιούμενος τοὺς ξένους, ἦταν πιὸ ταπεινὸς ἀπὸ ὅλους, κάμνοντας τὴ δουλειὰ τῶν ὑπηρετῶν, καὶ ἐνῶ ἀξιωνόταν νὰ μιλάει μὲ τὸν Θεό, ἔλεγε· «Ἐγὼ εἶμαι χῶμα καὶ στάχτη»[89]. Αὐτὸ εἶναι πραγματικὰ νὰ συνδυάζει κανεὶς ταυτόχρονα μετριοφροσύνη καὶ ταπεινοφροσύνη καὶ ὕψος, καὶ αὐτὸ εἶναι νὰ δείχνει γενναιοδωρία ἀπαλλαγμένη ἀπὸ ὑπερηφάνεια. Ἐνῶ ἐκεῖνοι ποὺ περιβάλλουν τὶς κακίες μὲ τὰ ὀνόματα τῶν ἀρετῶν, καὶ τὶς ἀρετὲς μὲ τὰ ὀνόματα τῶν κακιῶν, καὶ ἀναμιγνύουν ὅλα τὰ πράγματα, γιὰ νὰ γίνει ἡ ἀρετὴ δυσδιάκριτη, νομίζω ὅτι ἐξοστρακίζουν τὴν ἴδια τὴν ἀρετή.

265.– ΣΤΟΝ ΕΠΙΣΚΟΠΟ ΑΠΟΛΛΩΝΙΟ

Ὅτι πρέπει αὐτοὶ ποὺ τοποθετήθηκαν στὸν διδασκαλικὸ θρόνο καὶ νὰ γυμνάζουν τοὺς ἀγωνιζόμενους, καὶ νὰ στεφανώνουν τοὺς νικητές.

Στοὺς κοσμικοὺς βέβαια ἀγῶνες ἄλλος εἶναι ὁ ἀγωνιστὴς καὶ ἄλλος ὁ κήρυκας, ποὺ ἀνακηρύττει τοὺς νικητές, ἐνῶ στοὺς θείους ἀγῶνες ἔχει νομοθετηθεῖ ὁ νικητὴς νὰ εἶναι καὶ κήρυκας. Ἂς μὴ νομίζουν λοιπὸν μερικοὶ ἀπὸ αὐτοὺς ποὺ ἐγκαταστάθηκαν στὸν διδασκα-

89. Γεν. 18,27.

ἄλλοις διατιθέντες, τῶν ἀγώνων ἔξω εἶναι νομιζέτωσαν, μήτ' ἀρκεῖν αὐτοῖς ἡγείσθωσαν τὸ ἀνακηρύττειν τοὺς νενικηκότας, ἀλλ' αὐτοὶ σεμνότητός τε καὶ πάσης ἀρετῆς ἀγωνισταὶ καὶ στεφανῖται τυγχάνοντες, καὶ ἀλειφέτωσαν τοὺς ἀγωνιουμένους, καὶ ἀνακηρυττέτωσαν τοὺς νενικηκότας. Εἰ δὲ θάτερον χρῆναι μόνον προσεῖναι αὐτοῖς νομίζοντες, ἑαυτοὺς παραλογίζονται, κωμῳδηθήσονται μὲν παρὰ πάντων καὶ ἐξευτελισθήσονται ὡς ἄνανδροι, ἐλεγχθήσονται δὲ παρὰ τοῦ Παύλου, φράζοντος· «Ὑπωπιάζω μου τὸ σῶμα καὶ δουλαγωγῶ, μήπως, ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος γένωμαι». Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· Οὐκ εἰς ἀγωνοθέτας μόνον ἐμαυτὸν ἐνέκρινα, οὐδ' ἐς κήρυκας, οὐδὲ τούτοις σεμνύνομαι τοῖς ὀνόμασιν, ἀλλ' ἀξιόνικος ἐν τῇ πολιτείᾳ ὀφθεὶς καὶ ὀφθῆναι γλιχόμενος, τὴν παροῦσαν ἀρχὴν ἐνεχειρίσθην, καὶ ἵνα μὴ καθυβρίσω τὰ τοῖς ἀγωνισταῖς πρέποντα διαπονῶ, οὐ τῷ δόξαι τετιμῆσθαι εἰς ῥᾳθυμίαν ἀποκλίνων, ἀλλὰ τοῖς πόνοις τῷ εἰκότως τετιμῆσθαι δηλῶν, καὶ τὴν δωρεὰν διατηρῶ ἀκέραιον, καὶ τὸ μὴ ἀνέσεσιν, ἀλλ' ἱδρῶσιν ἐμαυτὸν ἐκδιδόναι.

ΞΖ'.– ΕΥΤΟΝΙΩ ΔΙΑΚΟΝΩ

Περὶ σωφροσύνης.

Σωφροσύνη κυρίως εἴρηται ἡ ἀντιδιαστελλομένη τῇ μανίᾳ, παρὰ τὸ σώας ἔχειν τὰς φρένας. Καὶ τοῦτο οὐ μόνον οἱ ἔξωθεν ἴσασι σοφοί, ἀλλὰ καὶ ὁ θεσπέσιος Παῦλος. Τοῦ γὰρ ἡγεμόνος εἰρηκότος αὐτῷ, «Μαίνῃ, Παῦλε· τὰ πολλά σε γράμματα εἰς μανίαν περιτρέπει, Οὐ μαίνομαι», φησί,« κράτιστε, ἀλλὰ σωφροσύνης καὶ ἀληθείας ῥήματα ἀποφθέγγομαι», τῇ μανίᾳ τὴν σωφροσύνην ἀντιδιαστείλας. Καὶ ἄλλοις δὲ πάλιν ἔγραφεν· «Εἴτε ἐξέστημεν, Θεῷ, εἴτε σωφρονοῦμεν, ὑμῖν», τῇ ἐκστάσει τῶν φρενῶν τὸ σώας αὐτὰς ἔχειν κἀνταῦθα ἀντιδιαστείλας.

---

90. Α' Κορ. 9,27.
91. Πράξ. 26,24.

λικὸ θρόνο, ὅτι, ρυθμίζοντας τὸν ἀγώνα τῶν ἄλλων, αὐτοὶ εἶναι ἔξω ἀπὸ τοὺς ἀγῶνες, οὔτε νὰ νομίζουν ὅτι εἶναι ἀρκετὸ σ' αὐτοὺς τὸ νὰ ἀνακηρύττουν μόνο τοὺς νικητές, ἀλλ', ὄντας οἱ ἴδοι ἀγωνιστὲς καὶ στεφανίτες τῆς σεμνότητας καὶ κάθε ἀρετῆς, νὰ προετοιμάζουν αὐτοὺς ποὺ ἀγωνίζονται καὶ νὰ ἀνακηρύττουν τοὺς νικητές. Ἂν ὅμως νομίζουν ὅτι αὐτοὶ πρέπει μόνο νὰ παρευρίσκονται καὶ στὰ δύο, παραλογίζονται, καὶ ἐξαιτίας αὐτοῦ καὶ θὰ διακωμωδηθοῦν ἀπὸ ὅλους, καὶ θὰ ἐξευτελισθοῦν ὡς ἄνανδροι, ἀλλὰ καὶ θὰ κατηγορηθοῦν ἀπὸ τὸν Παῦλο, ὁ ὁποῖος λέγει· «Σκληραγωγῶ τὸ σῶμα μου καὶ τὸ μεταχειρίζομαι σὰν δοῦλο, ἀπὸ φόβο μήπως, ἐνῶ κήρυξα σὲ ἄλλους, ἐγὼ ὁ ἴδιος θεωρηθῶ ἀποτυχημένος»[90]. Αὐτὸ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· Δὲν τοποθέτησα τὸν ἑαυτό μου μόνο στοὺς ἀγωνοθέτες, οὔτε στοὺς κήρυκες, οὔτε καμαρώνω γι' αὐτοὺς τοὺς τίτλους, ἀλλ' ἐπειδὴ θεωρήθηκα ἱκανὸς νὰ νικήσω στὴ ζωή, καὶ ἐπιθυμώντας πολὺ νὰ φανῶ τέτοιος, δέχθηκα καὶ τὴν ἐξουσία αὐτήν, καὶ γιὰ νὰ μὴ τὴν ντροπιάσω, ἀσκοῦμαι σ' αὐτὰ ποὺ ταιριάζουν στοὺς ἀγωνιστές, χωρὶς νὰ κλίνω πρὸς τὴν ραθυμία ἐπειδὴ θεωρήθηκα ἄξιος τῆς τιμῆς, ἀλλὰ δείχνοντας μὲ τοὺς κόπους μου, ὅτι δικαιολογημένα ἔχω τιμηθεῖ, καὶ διατηρώντας ἀκέραια τὴ δωρεά, καὶ τὸ νὰ μὴ παραδώσω τὸν ἑαυτό μου σὲ ἀνέσεις, ἀλλὰ σὲ ἱδρῶτες.

266.- ΣΤΟΝ ΔΙΑΚΟΝΟ ΕΥΤΟΝΙΟ
Γιὰ τὴ σωφροσύνη.

Σωφροσύνη κυρίως λέγεται ἡ ἀντίθετη πρὸς τὴν μανία ἐκδήλωση, ἀπὸ τὸ ὅτι ἔχει κανεὶς σώας τὰς φρένας (μυαλά). Καὶ αὐτὸ δὲν τὸ γνωρίζουν μόνο οἱ ἔξω τοῦ χριστιανισμοῦ σοφοί, ἀλλὰ καὶ ὁ θεόπνευστος Παῦλος. Γιατί, ὅταν ὁ ἡγεμόνας τοῦ εἶπε, «Παῦλε, εἶσαι τρελλός· τὰ πολλὰ γράμματα σὲ ὁδηγοῦν στὴ μανία», ἀπάντησε· «Δὲν εἶμαι μανιακός, ἐξοχώτατε, ἀλλὰ λέγω λόγια σωφροσύνης καὶ ἀλήθειας»[91], ἀντιδιαστέλλοντας στὴ μανία τὴ σωφροσύνη»[91]. Καὶ σὲ ἄλλους πάλι ἔγραφε· «Ἐὰν βγήκαμε ἔξω ἀπὸ τὸν ἑαυτό μας, τὸ κάναμε γιὰ τὸν Θεό, ἐὰν εἴμαστε λογικοί, αὐτὸ γίνεται γιὰ τὴ δική σας ὠφέλεια»[92], ἀντιδιαστέλλοντας καὶ ἐδῶ τὴν ἔξω ἀπὸ τὰ λογικὰ συμπεριφορά, ἀπὸ

92. Β' Κορ. 5, 13.

Σωφροσύνη μὲν οὖν πᾶν τὸ ἀναμάρτητον. Νέμουσι δὲ αὐτῷ τὴν προσηγορίαν κατ' ἐξοχήν, εὖ ποιοῦντές τινες, τῷ τῆς ἁγνείας πράγματι ἐξοχωτάτῳ τῶν ἄλλων ὑπάρχοντι. Εἰ μὲν οὖν τῇ μανίᾳ ἀντιδιασταλείη, τὸ καθεστᾶναι μηνύει, εἰ δὲ τῇ λαγνείᾳ, τὴν ἐγκράτειαν καὶ τὴν ἁγνείαν δηλοῖ.

ΣΞΖ'.– ΤΩ ΑΥΤΩ

Ὅτι οὐ χρὴ κατὰ πάντα λαμβάνειν τὰ παραδείγματα τῆς Γραφῆς, ἀλλὰ τὸ χρήσιμον ἐκλέγειν.

Ἴσθι, ὦ ἱερὰ κεφαλή, ὅτι τὰ παραδείγματα οὐ κατὰ πάντα λαμβάνεται καὶ τοῖς προκειμένοις ἁρμόζεται (ἐπεὶ οὐκ ἂν εἴη παραδείγματα, ἀλλὰ ταυτότης), ἀλλὰ τὸ χρήσιμον ἡμᾶς καὶ εἰς ὃ παρείληπται ἐκλεξαμένους, τὸ λοιπὸν ἅπαν χαίρειν ἐᾶν. Καὶ ἵνα ἓν ἢ δύο προβαλλόμενος καὶ τοῖς λοιποῖς ἀνατέμω ἑρμηνείας ὁδόν, ἄκουσον τί φησιν ὁ πατριάρχης περὶ τοῦ Σωτῆρος· «Ἀναπεσὼν ἐκοιμήθης ὡς λέων». Ἆρ' οὖν πάντα τὰ τῷ θηρίῳ προσόντα προσαρμόσωμεν τῷ Χριστῷ; Ἄπαγε. Ἀλλὰ τὸ ἄμαχον καὶ φοβερὸν καὶ βασιλικὸν ἐκλαμβάνοντες, τὸ θηριῶδες καὶ εἴ τι ἄλλο πρόσεστι τῷ λέοντι, εὖ ποιοῦντες, παριππεύσομεν. Καὶ ὅταν λέγῃ, «Ἀπαντήσομαι αὐτοῖς ὡς ἄρκτος ἀποροumένη», τὸ τιμωρητικὸν μόνον ἐκληψόμεθα, οὐκ ἄλλο τι τῶν τῇ ἄρκτῳ προσόντων. Οὕτω καὶ ἐπὶ τῶν λοιπῶν παραδειγμάτων ποιεῖν χρή. «Δίδου γὰρ σοφῷ ἀφορμήν, καὶ σοφώτερος ἔσται».

ΣΞΗ'.– ΙΣΙΔΩΡΩ ΔΙΑΚΟΝΩ

Ὅτι κορυφὴ τῶν ἀρετῶν ἡ εὐσέβεια.

Ἡ συμμετρία τῶν ἀρετῶν τὸ τῆς δικαιοσύνης κάλλος δημιουργεῖ, ὅπερ ἔννοιάν τε ὑπερβάλλει πᾶσαν καὶ σοφίαν ὁπόση χειρός τε καὶ χρωμάτων. Ἀλλ' ὥσπερ ἐπὶ τοῦ σώματος τὸ τυραννικώτερον μέρος τῆς εὐμορφίας τὸ τῶν ὀφθαλμῶν ἐστι κάλ-

---

93. Γεν. 49, 9. 94. Ὡσηὲ 13, 8. 95.

τὸ νὰ ἔχει κανεὶς τὰ λογικά του. Σωφροσύνη λοιπὸν εἶναι κάθε τι τὸ ἀναμάρτητο. Καὶ ἀπιδίδουν τὸν χαρακτηρισμὸ αὐτὸ κυρίως σ' αὐτόν, κάνοντας καλά, γιατὶ στὸ θέμα τῆς ἀγνότητας εἶναι ὁ πραγματικὰ ἐξοχώτατος ἀπὸ τοὺς ἄλλους. Ἐὰν λοιπὸν ἀντιδιασταλεῖ στὴ μανία, φανερώνει ὅτι στέκεται κανεὶς στὰ λογικά του, ἐὰν πάλι ἀντιδιασταλεῖ στὴ λαγνεία, φανερώνει τὴν ἐγκράτεια καὶ τὴν ἁγνότητα.

267.- ΣΤΟΝ ΙΔΙΟ

Ὅτι δὲν πρέπει τὰ παραδείγματα τῆς Γραφῆς νὰ ἐκλαμβάνονται γιὰ ὅλα ἀπόλυτα, ἀλλὰ νὰ ἐκλέγεται μόνο τὸ χρήσιμο.

Γνώριζε, ἱερώτατε, ὅτι τὰ παραδείγματα δὲν πρέπει νὰ ἐκλαμβάνονται γιὰ ὅλα ἀπόλυτα καὶ νὰ προσαρμόζονται στὰ ἐξεταζόμενα θέματα (γιατὶ τότε δὲν θὰ ἦταν παραδείγματα, ἀλλὰ ταυτότητα), ἀλλὰ πρέπει ἐμεῖς νὰ διαλέγουμε αὐτὸ ποὺ εἶναι χρήσιμο καὶ ἀναφέρεται σ' αὐτὸ γιὰ τὸ ὁποῖο χρησιμοποιήθηκε, ἀφήνοντας τὸ ὑπόλοιπο. Καὶ γιὰ νὰ παρουσιάσω ἕνα ἢ δύο παραδείγματα καὶ νὰ ἀνοίξω τρόπο ἑρμηνείας καὶ στὰ ἄλλα, ἄκουσε τί λέγει ὁ πατριάρχης γιὰ τὸν Σωτήρα· «Ἔπεσε καὶ κοιμήθηκε σὰν λιοντάρι»[93]. Ἄραγε θὰ ἐφαρμόσουμε ὅλα τὰ προσόντα τοῦ θηρίου στὸν Χριστό; Μακριὰ μιὰ τέτοια σκέψη· ἀλλὰ παίρνοντας τὴν ἀκαταμάχητη καὶ φοβερὴ καὶ βασιλικὴ ἰδιότητά του, τὴ θηριωδία καὶ ὅ,τι ἄλλο ὑπάρχει στὸ λιοντάρι, ἐνεργώντας σωστά, τὰ παρακάμπτουμε. Καὶ ὅταν λέγει, «Θὰ ὁρμήσω ἐναντίον τους σὰν ἀρκούδα πεινασμένη»[94], θὰ πάρουμε μόνο τὴν τιμωρητικότητα. Κανένα ἄλλο ἀπὸ τὰ προσόντα τῆς ἀρκούδας. Ἔτσι πρέπει νὰ κάνουμε καὶ στὰ ἄλλα παραδείγματα. Ἄλλωστε λέγει· «Δίνε ἀφορμὴ στὸν σοφό, καὶ θὰ γίνει σοφώτερος»[95].

268.- ΣΤΟΝ ΔΙΑΚΟΝΟ ΙΣΙΔΩΡΟ

Ὅτι ἡ εὐσέβεια ἀποτελεῖ τὴν κορυφὴ τῶν ἀρετῶν.

Ἡ συμμετρία τῶν ἀρετῶν δημιουργεῖ τὴν ὁμορφιὰ τῆς δικαιοσύνης, ἡ ὁποία ξεπερνᾶ κάθε σκέψη καὶ σοφία, ὅση ὑπάρχει στὸ χέρι καὶ στὰ χρώματα. Ἀλλὰ ὅπως στὸ σῶμα τὸ πιὸ τυραννικὸ μέρος τῆς ὁμορφιᾶς εἶναι ἡ ὁμορφιὰ τῶν ματιῶν, ἔτσι καὶ στὴν ψυχὴ τὸ πιὸ

Παροιμ. 9, 9.

λος, οὕτω καὶ ἐπὶ τῆς ψυχῆς τὸ κορυφαιότατον μέρος ἐστὶν ἡ εὐσέβεια. Εἰ δὲ καὶ ἡ συμμετρία τῶν ἀρετῶν συνδράμοι, ὑπέρκαλλον γενήσεται τὸ κάλλος.

ΣΞΘ΄.– ΠΑΥΛΩ

Ὅτι χαλεπωτάτη ἡ κακοδοξία καὶ ἀνόνητοι τῶν ταύτῃ κεκρατημένων οἱ πόνοι.

Ἐπειδὴ οἱ κακῶς δογματίσαντες θανάτου μείζονα τιμωρίαν τοῖς ἀπερισκέπτως πιστεύσασιν ἔτεκον, ἔστω τοῖς βεβλημένοις ἄριστον φάρμακον ἡ μετάγνωσις.

ΣΟ΄.– ΛΑΜΠΕΤΙΩ ΕΠΙΣΚΟΠΩ

Συμβουλευτικὴ πρὸς ἀντιμετώπισιν τῆς δυσχεροῦς καταστάσεως τῶν Πηλουσιωτῶν.

Ἀποδέχομαι μέν σε τῆς περὶ τὴν πόλιν εὐνοίας, ἐκεῖνο δὲ παραινέσαι δίκαιον ᾠήθην, μὴ θρήνοις, ἀλλ᾽ εὐχαῖς αὐτὴν ἀνακτήσασθαι. Εἰ γὰρ καί, ὡς γέγραφας, Ἀμμωνίῳ θανόντι συντέθνηκεν ἡ πόλις, ἀλλ᾽ ἐλπίς ἐστι, τῆς θείας προηγουμένως βοηθούσης ῥοπῆς, πάλιν αὐτὴν ἀναστῆναι. Ὄντως γάρ, ἔφης, εὐανδρίᾳ πρώην καὶ χρήμασι κομῶσα καὶ ἀρετῇ κεκοσμημένη, διὰ τὰς ἐκείνου τοῦ ἀοιδίμου εὐχάς, νῦν εἰς τοσαύτην κατηνέχθη πενίαν καὶ σωμάτων καὶ χρημάτων καὶ οἰκοδομημάτων, ὡς τῶν ὑπολειφθέντων τοὺς μὲν ἀποπτῆναι τῆς πατρίδος, τοὺς δὲ τυπτομένους ἐν δεσμωτηρίοις ἀποθανεῖν, τοῦ δοκοῦντος ἡγεῖσθαι μηδεμίαν ποιουμένου πρόνοιαν, ἀλλ᾽ ἐντρυφῶντος μὲν ἀφ᾽ ὧν οὐ θέμις, τὰς ἀναγκαίας τῶν πενήτων τροφὰς εἰς ἰδίας φιλοτιμίας ἀναλίσκοντος, πραγματευομένου δὲ τὰς ἀλλοτρίας συμφοράς, καὶ μήτε δάκρυον αἰδουμένου ἐν τοσαύτῃ κακῶν ἀνάγκῃ, μήτε χεῖρα ὀρέγοντος. Ἐπεὶ τοίνυν τοιαῦτα καταθρηνῶν γέγραφας καὶ παρακέκληκας, ὥστε ἡμᾶς αὐτῷ γράψαι, ἴσθι ὅτι πᾶσα ἰατρικὴ τέχνη ἥττηται τῷ νοσήματι τάνδρός. Πολλὰ γὰρ καὶ προσηνῆ καὶ δραστήρια γράμματα δεξάμενος, ἀπώνατο οὐδέν. Διὸ καὶ τὴν σιγὴν λοιπὸν τὴν πρὸς αὐ-

κορυφαῖο μέρος τῆς ὁμοφιᾶς της εἶναι ἡ εὐσέβεια. Ἐὰν ὅμως συνυπάρξει καὶ ἡ συμμετρία τῶν ἀρετῶν, ἡ ὁμορφιὰ θὰ γίνει ὑπερβολικὰ ὡραία.

269.- ΣΤΟΝ ΠΑΥΛΟ

Ὅτι ἡ κακοδοξία εἶναι φοβερώτατη καὶ εἶναι ἀνώφελοι οἱ κόποι αὐτῶν ποὺ κυριαρχοῦνται ἀπὸ αὐτήν.

Ἐπειδὴ αὐτοὶ ποὺ δίδαξαν κακῶς προκάλεσαν τιμωρία μεγαλύτερη σ᾽ αὐτοὺς ποὺ τοὺς πίστεψαν ἀπερίσκεπτα, ἄριστο φάρμακο γι᾽ αὐτοὺς ποὺ τραυματίσθηκαν εἶναι ἡ μεταμέλεια.

270.- ΣΤΟΝ ΕΠΙΣΚΟΠΟ ΛΑΜΠΕΤΙΟ

Συμβουλευτικὴ πρὸς ἀντιμετώπιση τῆς δύσκολης καταστάσεως τῶν Πηλουσιωτῶν.

Σὲ παραδέχομαι γιὰ τὴν ἀγάπη ποὺ δείχνεις γιὰ τὴν πόλη, θεώρησα ὅμως σωστὸ νὰ σὲ συμβουλέψω τὸ ἑξῆς· νὰ μὴ ἐπιδιώκεις νὰ τὴν ἀνακτήσεις μὲ θρήνους, ἀλλὰ μὲ προσευχές. Γιατί, ἐφόσον, ὅπως ἔγραψες, μὲ τὸν θάνατο τοῦ Ἀμμωνίου πέθανε μαζὶ καὶ ἡ πόλη, ὑπάρχει ὡστόσο ἐλπίδα, μὲ τὴ βοήθεια πρῶτα καὶ τῆς συγκατάνευσης τοῦ Θεοῦ, πάλι νὰ τὴν ἀναστήσεις. Γιατὶ πραγματικά, ὅπως εἶπες, ἐνῶ προηγουμένως ἦταν πλούσια σὲ ἀγαθοὺς ἄνδρες καὶ χρήματα καὶ στολισμένη μὲ ἀρετή, μὲ τὶς προσευχὲς ἐκείνου τοῦ ἀείμνηστου, τώρα ἔπεσε σὲ τόσο μεγάλη φτώχεια καὶ σωμάτων καὶ χρημάτων καὶ οἰκοδομημάτων, μὲ ἀποτέλεσμα ἀπὸ αὐτοὺς ποὺ ἀπέμειναν, ἄλλοι νὰ φύγουν ἀπὸ τὴν πατρίδα, καὶ οἱ ἄλλοι δεχόμενοι πλήγματα νὰ πεθάνουν στὶς φυλακές, γιατὶ αὐτὸς ποὺ νομίζει ὅτι διοικεῖ, ἐνῶ δὲν λαμβάνει καμμιὰ μέριμνα, ἀντίθετα κάνοντας ζωὴ ἀπολαυστικὴ μὲ αὐτὰ ποὺ δὲν εἶναι ἐπιτρεπτό, καταναλώνοντας τὶς ἀναγκαῖες γιὰ τοὺς φτωχοὺς τροφὲς γιὰ τὶς δικές του σπατάλες, ἐμπορευόμενος τὶς συμφορὲς τῶν ἄλλων, καὶ μὴ σεβόμενος οὔτε τὰ δάκρυα μέσα σὲ τόσο μεγάλη ἀνάγκη, δὲν ἁπλώνει γιὰ βοήθεια οὔτε τὸ χέρι του. Ἐπειδὴ λοιπὸν μοῦ ἔγραψες θρηνολογώντας καὶ μὲ παρεκάλεσες νὰ τοῦ γράψω, γνώριζε ὅτι κάθε ἰατρικὴ τέχνη νικέται ἀπὸ τὴν ἀρρώστια τοῦ ἄνδρα. Γιατί, ἂν καὶ δέχθηκε πολλὰ καὶ φιλικὰ καὶ ὀδυνηρὰ γράμματα, δὲν ὠφελήθη-

τοὺς τετιμήκαμεν. Εἰ τοίνυν δύναιο δι' εὐχῶν κατορθῶσαί τι σαυτῷ τε καὶ τῇ πόλει, ἀφέμενος τὸν θρῆνον, εὔχου τάχα πως ὁ καὶ τὰ ἀνήκεστα ἰώμενος πάθη, ποιήσει καὶ αὐτὸν ἐκ τῆς τοσαύτης μανίας ἀνενεγκεῖν, καὶ τὴν πόλιν ἐπὶ γόνυ κειμένην, μᾶλλον δέ, ὡς ἔφης, τεθνηκυῖαν, ἀναστῆναι.

ΣΟΑ΄.– ΑΦΡΟΔΙΣΙΩ ΠΡΕΣΒΥΤΕΡΩ
Περὶ πολιτείας· ὅτι ἀπροσωπόληπτα τὰ θεῖα χαρίσματα.

Ἐπειδὴ γέγραφας, Δι' ἣν αἰτίαν οὐ πᾶσιν ἡ θεία ἐφίπταται χάρις, ἴσθι, θαυμάσιε, ὅτι, ἐπειδὴ τὴν προαίρεσιν ἐξετάζουσα πρῶτον, οὕτως ἐπιφοιτᾷ. Εἰ γὰρ καὶ χάρις ἐστίν, οὐχ ἁπλῶς ἐκχεῖται, ἀλλὰ τὰ μέτρα παρὰ τῶν δεχομένων λαμβάνουσα τοσοῦτον ἐπιρρεῖ, ὅσον ἂν εὕρῃ σκεῦος πίστεως αὐτῇ προσενεχθέν. Εἰ γὰρ μὴ τὰ παρ' ἡμῶν πρῶτον ἐζήτει, πᾶσιν ἂν ἐπέπτη, ἐπειδὴ δὲ τὴν προαίρεσιν ἐξετάζει καὶ οὕτω παραγίνεται, ὡς καὶ ἐπὶ τοῦ ἀριστέως Παύλου, «Σκεῦος γάρ μοι», φησίν, «ἐστὶν ἐκλογῆς οὗτος», τοῖς μὲν ἐπιφοιτᾷ καὶ παραμένει, τῶν δὲ ἀποφοιτᾷ, εἰς δὲ τοὺς οὐδὲ τὴν ἀρχὴν καθίεται.

ΣΟΒ΄.– ΚΥΡΩ ΜΟΝΑΖΟΝΤΙ
Ὅτι ἄμεινον νήφοντα δοκεῖν μεθύειν, ἢ μεθύοντα δοκεῖν νήφειν.

Εἰ τὸ μὴ συμμαίνεσθαι αὐτῷ μανίαν ἡγεῖται καὶ καλεῖ Εὐσέβιος, ὡς γέγραφας, ὁ ἐπίσκοπος, μὴ θορυβηθῇς. Ἄμεινον γὰρ νήφοντα δοκεῖν μεθύειν, ἢ μεθύοντα δοκεῖν νήφειν. Ἐπειδὴ γὰρ ὑπὸ τῆς κακίας ἐκβακχευθεὶς κατὰ κράτος ἐχειρώθη, πάντας παραφρονεῖν βούλεται, ἵνα τοὺς ἐλέγχους, ὧν παρανόμως δρᾷ, διαφύγοι.

κε καθόλου. Γι' αὐτὸ καὶ προτίμησα τὴ σιωπὴ πρὸς αὐτόν. Ἐὰν λοιπὸν μπορεῖς μὲ προσευχὲς νὰ ἐπιτύχεις κάτι γιὰ σένα καὶ γιὰ τὴν πόλη, ἀφήνοντας τοὺς θρήνους, νὰ προσεύχεσαι, ἴσως ἔστι αὐτὸς ποὺ θεραπεύει καὶ τὰ ἀθεράπευτα πάθη, τὸν κάνει καὶ αὐτὸν νὰ συνέλθει ἀπὸ τὴν τόσο μεγάλη μανία, καὶ τὴν πόλη ποὺ εἶναι γονατισμένη, ἢ μᾶλλον, ὅπως εἶπες, πεθαμένη, νὰ τὴν ἀναστήσει.

271.– ΣΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟ ΑΦΡΟΔΙΣΙΟ

Γιὰ τὸν ὀρθὸ τρόπο ζωῆς· ὅτι τὰ θεῖα χαρίσματα εἶναι ἀμερόληπτα.

Ἐπειδὴ ἔγραψες, Γιὰ ποιὸ λόγο ἡ θεία χάρη δὲν πηγαίνει σὲ ὅλους, γνώριζε, θαυμάσιε, ὅτι τὸ κάνει αὐτὸ ἐπειδὴ πρῶτα ἐξετάζει τὴν προαίρεση, καὶ μετὰ κατεβαίνει. Γιατί, ἂν καὶ εἶναι χάρη, δὲν ἐκχύνεται ἔτσι ἁπλᾶ, ἀλλὰ παίρνοντας πρῶτα τὰ μέτρα αὐτῶν ποὺ τὴν δέχονται, καὶ τότε ἐκχύνεται σὲ τόση ποσότητα, ὅσο χωράει τὸ σκεῦος ποὺ τῆς προσφέρθηκε. Γιατί, ἂν δὲν ζητοῦσε πρῶτα τὴ δική μας προαίρεση, θὰ κατέβαινε σὲ ὅλους, ἐπειδὴ ὅμως ἐξετάζει τὴν προαίρεση καὶ τότε ἔρχεται, ὅπως καὶ στὸν ἄριστο Παῦλο, γιατὶ λέγει, «αὐτὸς εἶναι ὄργανο τῆς ἐκλογῆς μου»[96], σὲ ἄλλους ἔρχεται καὶ παραμένει, ἀπὸ ἄλλους φεύγει, καὶ σὲ ἄλλους πάλι οὔτε ἀπὸ τὴν ἀρχὴ κατεβαίνει.

272.– ΣΤΟΝ ΜΟΝΑΧΟ ΚΥΡΟ

Ὅτι εἶναι προτιμότερο νὰ εἶναι κανεὶς νηφάλιος καὶ νὰ θεωρεῖται μεθυσμένος, παρὰ μεθυσμένος καὶ νὰ νομίζεται νηφάλιος.

Ἐὰν τὸ νὰ μὴ κυριεύεσαι μαζὶ μὲ αὐτὸν ἀπὸ μανία, ὁ ἐπίσκοπος Εὐσέβιος τὸ θεωρεῖ καὶ τὸ ὀνομάζει μανία, ὅπως ἔχεις γράψει, νὰ μὴν ἀνησυχεῖς. Γιατὶ εἶναι προτιμότερο νὰ εἶναι κανεὶς νηφάλιος καὶ νὰ θεωρεῖται μεθυσμένος, παρὰ νὰ εἶσαι μεθυσμένος, καὶ νὰ νομίζεται ὅτι εἶναι νηφάλιος. Ἐπειδὴ δηλαδὴ ἔχει κυριευθεῖ πέρα γιὰ πέρα ἀπὸ βακχικὴ μανία, θέλει ὅλοι νὰ εἶναι παράφρονες, γιὰ νὰ ἀποφύγει τοὺς ἐλέγχους γιὰ τὶς παρανομίες ποὺ κάνει.

---

96. Πράξ. 9, 15.

ΣΟΓ'.– ΑΠΟΛΛΑΝΙΩ ΕΠΙΣΚΟΠΩ
Παναγυρική.

Εἶθε ἦλθες συμμεθέξων τοῦ ἄθλου καὶ τοῦ στεφάνου ἀπολαύσων καὶ τῆς ἀναῤῥήσεως κοινωνήσων. Φίλον γὰρ ἐρῶντα τῆς οὐρανίου φιλοσοφίας, εἶτ' ὀλίγον ἀπονυστάξαντα, παραινέσει καὶ προτροπῇ, τῆς θείας ῥοπῆς προηγουμένως βοηθησάσης, ἐπανηγάγομεν. Καὶ νῦν πανηγυρίζοντες ᾄδομεν τὸ ἐπινίκιον μέλος, καὶ λόγων κρατῆρα κεράσαντες, λογικά τε ἐδέσματα παρασκευάσαντες, ἑστιῶμεν τοὺς φίλους. Ἧκε τοιγαροῦν καὶ ἡμῖν συνθησόμενος, κἀκείνοις συναγαλλιασόμενος, καὶ τοῖς ἐπιτηδείοις συνευφρανθησόμενος, καὶ τῇ ἀρετῇ συσκιρτήσων, τῇ τε κακίᾳ ἐπιτιμήσων, ᾗ τοσαύτη ἀναισχυντία πρόσεστιν, ὡς καὶ τοῖς φεύγουσιν αὐτὴν ἐπιπηδᾶν.

ΣΟΔ'.– ΑΦΡΟΔΙΣΙΩ ΠΡΕΣΒΥΤΕΡΩ
Τῆς σοφίας Ἰησοῦ, εἰς τὸ γεγραμμένον·
«Μὴ ζήτει γενέσθαι κριτής».

Μάλα θαυμάζω, πῶς καὶ τὰ λίαν σαφῆ, ἀσαφῆ εἶναι πολλοῖς δοκεῖ. Τὸ γάρ, «Μὴ ζήτει γενέσθαι κριτής», οὐδὲν ποικίλον ἔχει, οὐδὲ σοφόν, ἀλλὰ διαῤῥήδην βοᾷ· Ἐπειδὴ δυσδιάγνωστόν ἐστι τὸ δίκαιον. Πολλοὶ γὰρ διὰ βραδυτῆτα διανοίας οὐκ ἐφικνοῦνται τούτου, πολλοὶ δὲ δι' ὀξύτητα μὲν διανοίας ἐφικνοῦνται, διὰ δὲ χρήματα ἢ φόβον ἢ αἰδὼ ἢ φιλίαν ἢ ἔχθραν παραφθείρουσι τοῦτο. Σὺ σαυτὸν μὴ ἐπίῤῥιπτε τοιούτῳ πράγματι, ὃ ἔργον μέν ἐστι καταλαβεῖν, τὸ δὲ εὑρόντα μὴ διαφθεῖραι, ἔργω δέστερον τυγχάνει.

ΣΟΕ'.– ΜΑΡΤΙΝΙΑΝΩ, ΖΩΣΙΜΩ, ΜΑΡΩΝΙ, ΕΥΣΤΑΘΙΩ
Ὅτι τὸ τῆς ἱερωσύνης ἀξίωμα, τοῖς ἀναξίως τῆς τιμῆς ζῆν προῃρημένοις, προσθήκη κολάσεως γίνεται.

Τὰ παρὰ πάντων σχεδὸν ἀνθρώπων συμφώνως περὶ ὑμῶν

---

97. Σοφ. Σειρὰχ 7,6.

273.- ΣΤΟΝ ΕΠΙΣΚΟΠΟ ΑΠΟΛΛΩΝΙΟ
Πανηγυρική.

Μακάρι νὰ ἐρχόσουν γιὰ νὰ πάρεις μαζὶ μὲ μᾶς μέρος στὸ ἄθλημα, νὰ ἀπολαύσεις τὸ στεφάνωμα καὶ νὰ μετάσχεις στὴν ἀνάρρηση. Γιατὶ ἕναν φίλο, ποὺ ἦταν ἐραστὴς τῆς οὐράνιας φιλοσοφίας, ἀλλὰ νύσταξε στὴ συνέχεια γιὰ λίγο, μὲ παραίνεση καὶ προτροπή, ἀφοῦ προηγουμένως βοήθησε καὶ ἡ θεία δύναμη, τὸν ἐπαναφέραμε κοντά μας, καὶ τώρα πανηγυρίζοντας ψάλλουμε τὴν ἐπινίκιο ὕμνο, καὶ ἀφοῦ τὸ ἀναμίξαμε μὲ τὸ ποτήρι τῶν λόγων καὶ παρασκευάσαμε καὶ λογικὰ ἐδέσματα, φιλοξενοῦμε τοὺς φίλους. Ἔλα λοιπόν, ὥστε καὶ νὰ συμφάγεις μαζί μας, καὶ νὰ αἰσθανθεῖς ἀγαλλίαση μαζὶ μ' ἐκείνους, καὶ νὰ εὐχαριστηθεῖς μὲ τὰ ἐδέσματα, καὶ νὰ σκιρτήσεις ἀπὸ χαρὰ μὲ τὴν ἀρετή, καὶ νὰ ἐπιτιμήσεις τὴν κακία, στὴν ὁποία ὑπάρχει τόση ἀδιαντροπιά, ὥστε νὰ ἐπιτίθεται ἀκόμα καὶ σ' αὐτοὺς ποὺ τὴν ἀποφεύγουν.

274.- ΣΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟ ΑΦΡΟΔΙΣΙΟ
Ἀπὸ τὴ σοφία τοῦ Σειράχ, σ' αὐτὸ ποὺ ἔχει γραφεῖ· «Μὴ ζητᾶς νὰ γίνεις κριτής»[97].

Ἀπορῶ πολύ, πῶς ἀκόμα καὶ τὰ πολὺ καθαρὰ φαίνονται στοὺς περισσοτέρους ἀσαφῆ. Γιατὶ τό, «Μὴ ζητᾶς νὰ γίνεις κριτής», δὲν ἔχει καμμιὰ δυσκολία, οὔτε σοφία, ἀλλὰ φωνάζει ὁλοκάθαρα· Ἐπειδὴ τὸ δίκαιο γίνεται δύσκολα ἀντιληπτό. Γιατὶ πολλοί, ἐπειδὴ τοὺς λείπει ἡ ὀξύνοια, δὲν μποροῦν νὰ τὸ καταλάβουν αὐτό, ἐνῶ πολλοὶ ἄλλοι, λόγω τῆς ὀξύτητας τοῦ νοῦ τους τὸ καταλαβαίνουν, ἀλλὰ ἢ ἀπὸ χρηματισμὸ ἢ ἀπὸ φόβο ἢ ἀπὸ ντροπὴ ἢ ἀπὸ φιλία ἢ ἔχθρα, τὸ παραφθείρουν. Ἐσὺ ὅμως μὴ ρίχνεις τὸν ἑαυτό σου σὲ τέτοια ὑπόθεση, τὴν ὁποία εἶναι δύσκολο βέβαια νὰ τὴν καταλάβεις, ἀλλὰ καὶ ὅταν τὴ βρεῖ κανείς, εἶναι πιὸ δύσκολο νὰ μὴ τὴ διαφθείρει.

275.- ΣΤΟΥΣ ΜΑΡΤΙΝΙΑΝΟ, ΖΩΣΙΜΟ, ΜΑΡΩΝΑ ΚΑΙ ΕΥΣΤΑΘΙΟ
Ὅτι τὸ ἀξίωμα τῆς ἱερωσύνης ἐπισύρει πρόσθετη τιμωρία σὲ ἐκείνους ποὺ προτιμοῦν νὰ ζοῦν ἀνάξια τῆς τιμῆς αὐτῆς.

Ἀπὸ αὐτά, ποὺ ἀπὸ ὅλους σχεδὸν τοὺς ἀνθρώπους καταγγέλλο-

ἀπαγγελόμενα (ὦ τί ὑμᾶς καλέσας ἀξίως ὀνομάσω;), οὐ συγχωρεῖ με ἠρεμεῖν, καίτοι βουλόμενον, ἀλλὰ καθάπερ κέντρα νύττει μου τὴν ψυχὴν καὶ ἐπὶ τὸ γράφειν διεγείρει. Φείσασθε τοίνυν ἑαυτῶν καὶ μετανοήσατε. Ἱερωσύνης γὰρ ἀξίωμα τοῖς ἀναξίως τῆς τιμῆς ζῆν προῃρημένοις, προσθήκη κολάσεως γίνεται.

ΣΟΣ'.– ΑΦΘΟΝΙΩ
Ὅτι ἐκεῖνα χρὴ πράττειν, ἃ τοῖς ἁγίοις ἁμιλλᾶσθαι παρασκευάζει.

Εἰ μὲν ἐν τοῖς βιωτικοῖς πράγμασιν εὐδόκιμος φανεῖσθαι ποθεῖς, ἄλλους ζήτει τοὺς συμβουλεύσοντας· ἐγὼ γὰρ καὶ ἀποτρεψαίμην. Κινδύνους γὰρ οὐ μόνον ἀνωφελεῖς, ἀλλὰ καὶ σφαλεροὺς καὶ εἰς θάνατον τελευτῶντας ὠδίνουσιν. Εἰ δ' ἐν τοῖς κατὰ Θεόν, αὐτός, καὶ μὴ κληθείς, ἦκον ἂν ἐπὶ τὴν παραίνεσιν, οὗ φημι κεκλημένος. Εἰ βούλοιο τοίνυν λάμψαι καὶ πείθοιο τῇ ἡμετέρᾳ γνώμῃ, ἐκεῖνα φαίνοιο πράττων, ἃ τοῖς ἁγίοις σε ἁμιλλᾶσθαι παρασκευάσει. Τῶν γὰρ τῇδε βραχὺς ἦν αὐτοῖς ὁ λόγος, τῶν δὲ μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν πολύς, καί, πρὸς ἐκεῖνον βλέποντες τὸν σκοπόν, ἅπαντα ἔπραττον.

ΣΟΖ'.– ΠΑΥΛΩ ΠΡΕΣΒΥΤΕΡΩ
Εἰς τὸ γεγραμμένον περὶ τοῦ ἄρχοντος, ὅτι «δικαίως τὸ δίκαιον διώξῃ».

Τοὺς ἀπὸ μὲν ἀρετῆς ἀρχομένους, εἰς δὲ κακίαν τελευτῶντας, ἀζήλους καὶ ταλαιπώρους ἡγητέον. Οὗτοι δέ εἰσιν οἱ ἀπὸ μὲν τῆς τῶν πενήτων προστασίας προοιμιαζόμενοι, εἰς δὲ τὸν ἴδιον χρηματισμὸν καταλήγοντες, οὓς ἀναστέλλων ὁ θεῖος χρησμός, φησί· «Δικαίως διώξῃ τὸ δίκαιον». Οὐ γὰρ χρή, τῇ δικαίᾳ τῶν πενήτων φροντίδι ὁπλιζομένους, αὐτοὺς μὲν ἀποστερεῖν ἐκείνους, τοὺς δι' οὓς ὡπλίσθησαν, σφετερίζεσθαι δὲ τὰ ἐκείνων.

---

98. Δευτ. 16, 20.

νται ὁμόφωνα ἐναντίον σας (ἀλήθεια πῶς πρέπει νὰ σᾶς χαρακτηρίσω, γιὰ νὰ σᾶς ὀνομάσω ὅπως σᾶς ἀξίζει;), δὲν μὲ ἀφήνουν νὰ ἡρεμήσω, ἂν καὶ θέλω, ἀλλὰ σὰν κεντριὰ μοῦ τρυποῦν τὴν ψυχὴ καὶ μὲ παρακινοῦν νὰ σᾶς γράψω. Λυπηθεῖτε λοιπὸν τοὺς ἑαυτούς σας καὶ μετανοῆστε. Γιατὶ τὸ ἀξίωμα τῆς ἱερωσύνης, γι᾽ αὐτοὺς ποὺ προτιμοῦν νὰ ζοῦν ἀνάξια πρὸς αὐτό, γίνεται αἰτία πρόσθετης τιμωρίας.

276.– ΣΤΟΝ ΑΦΘΟΝΙΟ

Ὅτι ἐκεῖνα πρέπει νὰ πράττει κανείς, ἐκεῖνα ποὺ τὸν κάνουν νὰ ἁμιλλᾶται τοὺς ἁγίους.

Ἐὰν βέβαια ποθεῖς νὰ φανεῖς πετυχημένος στὰ βιωτικὰ πράγματα, ψάξε νὰ βρεῖς ἄλλους νὰ σὲ συμβουλέψουν, γιατὶ ἐγὼ θὰ σὲ ἀπέτρεπα, ἐπειδὴ ἐγκυμονοῦν μόνο κινδύνους ἀνώφελους καὶ λανθασμένους, καὶ ποὺ καταλήγουν σὲ θάνατο. Ἐὰν ὅμως θέλεις νὰ εὐδοκιμήσεις στὰ πράγματα τοῦ Θεοῦ, ἐγὼ ὁ ἴδιος, καὶ νὰ μὴ μὲ καλοῦσες, θὰ σοῦ ἔδινα τὴ συμβουλή μου, δὲν λέγω καλεσμένος. Ἐὰν λοιπὸν θέλεις νὰ λάμψεις καὶ νὰ πεισθεῖς στὴ δική μου γνώμη, νὰ φαίνεσαι ὅτι κάνεις αὐτὰ ποὺ θὰ σὲ κάνουν νὰ ἁμιλλᾶσαι τοὺς ἁγίους. Γιατὶ σὲ ἐκείνους ὁ λόγος γιὰ τὰ ἐδῶ πράγματα ἦταν σύντομος, ἐνῶ γιὰ τὰ μετὰ τὴν ἀναχώρησή μας ἀπὸ ἐδῶ πολὺ μακρύς, καὶ ὅλα τὰ ἔκαναν ἀποβλέποντας σ᾽ ἐκεῖνον τὸν σκοπό.

277.– ΣΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟ ΠΑΥΛΟ

Σ᾽ αὐτὸ ποὺ ἔχει γραφεῖ γιὰ τὸν ἄρχοντα· «Νὰ ἐπιδιώκεις τὸ δίκαιο μὲ τρόπο δίκαιο»[98].

Ἐκείνους ποὺ ἀρχίζουν ἀπὸ τὴν ἀρετὴ καὶ καταλήγουν στὴν κακία, νὰ τοὺς θεωρεῖς ἀζήλευτους καὶ ταλαίπωρους. Καὶ αὐτοὶ εἶναι ἐκεῖνοι ποὺ ἀρχίζουν ἀπὸ τὴν προστασία τῶν φτωχῶν, καὶ καταλήγουν στὸν δικό τους χρηματισμό, τοὺς ὁποίους ἀνακόπτοντάς τους ὁ νόμος τοῦ Θεοῦ, λέγει· «Νὰ ἐπιδιώκεις τὸ δίκαιο μὲ τρόπο δίκαιο»[99]. Γιατὶ δὲν πρέπει, ὁπλιζόμενοι μὲ τὴ δίκαια φροντίδα τῶν φτωχῶν, νὰ ἀποστεροῦν αὐτοὶ ἐκείνους, γιὰ τοὺς ὁποίους ἀνέλαβαν τὴ φροντίδα, καὶ νὰ οἰκειοποιοῦνται αὐτὰ ποὺ ἀνήκουν σ᾽ ἐκείνους.

---

99. Ὅπ. π.

ΣΟΗ΄.– ΙΕΡΑΚΙ ΠΡΕΣΒΥΤΕΡΩ

Διὰ τί ὁ μὲν Φαρισαῖος μεγαληγορήσας κατεκρίθη, ὁ δὲ Ἰὼβ, πλείονα καὶ μείζονα μεγαλοφωνήσας, ἐπῃνέθη.

Θαυμάζειν ἔφης καὶ ἐκπλήττεσθαι, πῶς ὁ μὲν Φαρισαῖος μεγαληγορήσας προσέκρουσεν, ὁ δὲ Ἰὼβ, πλείον καὶ μείζονα εἰρηκώς, ηὐδοκίμησεν. Ἄκουε τοίνυν συντόμως· οὐδὲ γὰρ ἄλλως δυναίμην. Ὁ μέν, μηδενὸς παρακινοῦντος μηδὲ ἐρεθίζοντος, μεγαληγορῶν καὶ τῆς οἰκουμένης ἁπάσης φρονῶν μεῖζον ὁ Φαρισαῖος, εἰκότως προσκρούει· ὑπερηφανίαν γὰρ ἐνόσει. Ὁ δὲ ἐν μὲν τῷ εὐδοκιμεῖν κρύπτων τὰ οἰκεία πλεονεκτήματα, ἐν δὲ τῷ κακηγορεῖσθαι (φράζοντος) φράζων πρὸς τὸ ἀπολύσασθαι τὰ ἐπιφερόμενα ἐγκλήματα, ὥσπερ ὁ ἀοίδιμος καὶ πάσης εὐφημίας κρείττων Ἰὼβ, πάσης αἰτίας ἔξω καθέστηκεν, εἰς τοὺς οὐ δεόντως κακηγορήσαντας τῆς αἰτίας πα-λινδρομούσης· ψυχρὸν μὲν γὰρ καὶ ἔστι καὶ δοκεῖ τὸ σεμνύνειν ἑαυτόν, καὶ εἰκότως δοκεῖ μηδεμιᾶς ἀνάγκης ἐκβιαζομένης. Εἰ δέ τις ἀκούων ἃ μὴ προσῆκεν, εἰς τοιούτους ἄκων ἐμπέσοι λόγους, τοῖς τὴν ἀνάγκην κατασκευακόσι καὶ ἡ αἰτία προστρίπτεται. Διόπερ καὶ ἡ θεία ψῆφος τὸν μὲν ἑαυτὸν μηδενὸς παροινοῦντος δικαιώσαντα καὶ τῶν ἄλλων ἁπάντων καταψηφισάμενον, καὶ μηδὲ τὸν παρόντα τελώνην αἰδεσθέντα, οὐκ ἀπεδέξατο, τὸν δὲ ἐξ ἀνάγκης εἰς τοῦτο ἀχθέντα (τί γὰρ τῶν ἐρεθίσαι δυναμένων οἱ φίλοι παραλελοίπασι;) μεγίστοις ἐγκωμίοις ἐστεφάνωσεν.

ΣΟΘ΄.– ΠΕΤΡΩ

Παραμυθητική.

Ὥσπερ οἱ ἐπιστήμονες τῶν ἰατρῶν ἐν τοῖς προοιμίοις τῶν παθῶν οὐ ῥᾳδίως προσφέρουσι βοηθήματα, διὰ τὸ τὴν ἐπιφορὰν τοῦ ῥεύματος ἐξυδαροῦν τὰ προσφερόμενα φάρμακα, ἀλλ' ἐνδόντες ὀλίγον λωφῆσαι τὰ πάθη, οὕτως ἐπὶ τὴν ἰατρικὴν

1. Λουκᾶ 18, 10 ἑ.

278.- ΣΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟ ΙΕΡΑΚΑ

Γιατί ὁ Φαρισαῖος ποὺ ὑπερηφανεύθηκε κατακρίθηκε[1], ἐνῶ ὁ Ἰώβ, ποὺ εἶπε μὲ μεγάλη παρρησία περισσότερα καὶ μεγαλύτερα, ἐπαινέθηκε[1α].

Εἶπες ὅτι ἀπορεῖς καὶ ἐκπλήσσεσαι, πῶς ὁ Φαρισαῖος ποὺ ὑπερηφανεύθηκε κατακρίθηκε, ἐνῶ ὁ Ἰώβ, ποὺ εἶπε περισσότερα καὶ μεγαλύτερα, ἐπαινέθηκε. Ἄκουσε λοιπὸν μὲ συντομία, γιατὶ δὲν θὰ μποροῦσα μὲ ἄλλον τρόπο. Ὁ ἕνας, δηλαδὴ ὁ Φαρισαῖος, χωρὶς κανένας νὰ τὸν παρακινεῖ, οὔτε νὰ τὸν ἐρεθίζει, ὑπερηφανευόμενος καὶ νομίζοντας ὅτι εἶναι πιὸ συνετὸς σ' ὅλη τὴν οἰκουμένη, δικαιολογημένα κατακρίθηκε, γιατὶ ἔπασχε ἀπὸ ὑπερηφάνεια. Ἐνῶ αὐτὸς ποὺ ὅταν εὐημερεῖ κρύβει τὰ κατορθώματά του, καὶ ὅταν τὸν κατηγορήσουν τὰ λέγει, γιὰ νὰ ἀπαλλαγεῖ ἀπὸ αὐτὰ γιὰ τὰ ὁποῖα τὸν κατηγοροῦν, ὅπως ἔκανε ὁ ἀείμνηστος καὶ ἀνώτερος ἀπὸ κάθε ἔπαινο Ἰώβ, βρίσκεται ἔξω ἀπὸ κάθε κατηγορία, ἀφοῦ ἡ αἰτία ἐπιστρέφει πάλι σ' αὐτοὺς ποὺ τὸν κατηγόρησαν χωρὶς νὰ πρέπει. Εἶναι βέβαια καὶ φαίνεται ψυχρό, τὸ νὰ ἐπαινεῖς τὸν ἑαυτό σου, καὶ δίκαια φαίνεται, ὅταν δὲν τὸν προκαλεῖ καμμιὰ ἀνάγκη. Ἐὰν ὅμως κάποιος, ἀκούοντας αὐτὰ ποὺ δὲν ἔπρεπε, ἄθελά του προβεῖ σὲ τέτοια λόγια, ἡ αἰτία καταλογίζεται σὲ ἐκείνους ποὺ τὴν προκάλεσαν. Γι' αὐτὸ καὶ ἡ ἀπόφαση τοῦ Θεοῦ, ἐκεῖνον ποὺ δικαίωσε τὸν ἑαυτό του χωρὶς νὰ τὸν προκαλεῖ κανένας, καὶ κατηγόρησε ὅλους τοὺς ἄλλους, καὶ δὲν σεβάσθηκε οὔτε τὸν τελώνη ποὺ ἦταν παρών, δὲν τὸν ἀποδέχθηκε, ἐνῶ τὸν ἄλλον (τὸν Ἰώβ), ποὺ ἀπὸ ἀνάγκη ὁδηγήθηκε σ' αὐτὸ (γιατὶ τί ἀπὸ αὐτὰ ποὺ μποροῦσαν νὰ τὸν ἐρεθίσουν παρέλειψαν οἱ φίλοι του;), τὸν στεφάνωσε μὲ πολὺ μεγάλα ἐγκώμια.

279.- ΣΤΟΝ ΠΕΤΡΟ

Παρηγορητική.

Ὅπως οἱ ἐπιστήμονες γιατροί, στὶς ἀρχὲς τῶν ἀσθενειῶν δὲν δίνουν εὔκολα φάρμακα, γιατὶ ἡ ξαφνικὴ κίνηση τῶν ὑγρῶν στοιχείων διαλύει τὰ παρεχόμενα φάρμακα, ἀλλ' ἀφοῦ ἀφήσουν λίγο τὰ τραύματα νὰ καταλαγιάσουν, τότε προχωροῦν στὴ θεραπεία τους,

---

1α. Ἰώβ. 42, 7.

βαδίζουσιν, οὕτως οὐδ' ἀκμαζούσης τῆς λύπης δεῖ τῷ ὑπὸ ταύτης μεθύοντι ἐπιπλήττειν, εἰ δὲ μὴ λήσομεν τὸν λόγον, ὥσπερ κολλούριον ἄχρηστον καθιστῶντες, ἀλλὰ συλλυπηθέντες βραχὺ καὶ ἐνδόντες ὀλίγον ῥαΐσαι τὸ πάθος, οὕτως ἐπὶ τὴν θεραπείαν ὁδεῦσαι, οὗ δὴ καὶ ἡμεῖς χάριν βραδύτερον ἐπὶ τὴν θεραπείαν τὴν σὴν ἐληλύθαμεν. Ἀνάνευσον τοιγαροῦν, ὦ φίλος, ἐκ τῆς ἀκράτου λύπης, ἐννοῶν ὅτι οὔτε μόνος οὔτε πρῶτος τοῦτο πέπονθας, ἀλλὰ κοινόν ἐστι πάθος, καὶ ὅσον οὐδέπω καὶ ἡμεῖς τὴν αὐτὴν βαδιούμεθα ὁδόν, λόγον τῶν πεπραγμένων ὑφέξοντες.

ΣΠ΄– ΕΥΤΟΝΙΩ ΔΙΑΚΟΝΩ

Ὅτι ἐχθροὺς μὲν μὴ ἔχειν τοὺς φιλαρέτους ἀδύνατον, δυνατὸν δὲ τὴν ἔχθραν καλῶς μεταχειρίσασθαι.

Ἐχθροὺς μὲν μὴ ἔχειν τοὺς φιλαρέτους, οἶμαι, ἀδύνατον, δυνατὸν δὲ τὴν ἔχθραν καλῶς μεταχειρίσασθαι. Εἰ μὲν γὰρ οὐ πταίουσι φιλοσοφοῦντες, ἑαυτοὺς μὲν ὠφελοῦσιν, ἐκείνους δὲ ἀμύνονται, εἰ δὲ πταίουσιν, ὠφελοῦνται παρὰ τῶν ἐχθρῶν. Πολλάκις γὰρ προσπεσοῦσα λοιδορία, νόσον ψυχῆς ἢ ἀγνοουμένην ἢ ἀμελουμένην ἐθεράπευσε. Δεῖ γὰρ τοῖς εὐδοκίμοις, ἢ γνησίων φίλων, ἢ διαπύρων ἐχθρῶν. Οἱ μὲν γὰρ νουθετοῦντες, οἱ δὲ λοιδοροῦντες, ἀποτρέπουσι τῶν πταισμάτων. Ἐπειδὴ δὲ νῦν ἡ φιλία ἰσχνόφωνος, μᾶλλον δ' ἄφωνός ἐστι τοῦ παρρησιάζεσθαι, καὶ τὸ μὲν στωμύλον αὐτῆς καὶ θωπευτικὸν λάλον ἐστί καὶ γεγωνόφωνον, τὸ δὲ νουθετοῦν καὶ ἐπιπλῆττον ἄφωνον, καὶ ἀκουστέον παρὰ τῶν ἐχθρῶν τὴν ἀλήθειαν, καὶ διορθωτέον.

ΣΠΑ΄– ΤΩ ΑΥΤΩ

Περὶ κολακείας, καὶ ὅτι χρὴ τοὺς ἐχέφρονας φεύγειν καὶ τὸ κολακεύειν καὶ τὸ κολακεύεσθαι.

Οὐδὲν κολάκων, οἶμαι, ἀργαλεώτερον, οἵ, τῆς τῶν πλου-

ἔτσι οὔτε ὅταν ἡ λύπη βρίσκεται στὸ ψηλότερο σημεῖο της πρέπει νὰ ἐπιπλήττουμε αὐτὸν ποὺ εἶναι ζαλισμένος ἀπὸ αὐτήν, ἂν βέβαια δὲν λησμονήσουμε τὸν λόγο, ὅτι ἐνεργώντας ἔτσι, εἶναι σὰν νὰ ἀχρηστεύουμε τὸ κολλύριο, ἀλλά, ἀφοῦ λυπηθοῦμε μαζί του γιὰ λίγο καὶ περιμένουμε νὰ ἀνακουφισθεῖ λίγο ὁ πόνος, τότε νὰ προχωρήσουμε στὴ θεραπεία. Ἀκριβῶς γι' αὐτὸ καὶ ἐγὼ ἔσπευσα κάπως ἀργὰ νὰ βοηθήσω στὴ δική σου θεραπεία. Σύνελθε λοιπόν, φίλε, ἀπὸ τὴ μεγάλη λύπη, μὲ τὴ σκέψη, ὅτι οὔτε ὁ μόνος, οὔτε ὁ πρῶτος εἶσαι ποὺ τὸ παθαίνεις αὐτό, ἀλλ' εἶναι κοινὸ πάθος, καὶ ὅπου νᾶναι καὶ ἐμεῖς θὰ βαδίσουμε τὸν ἴδιο δρόμο, γιὰ νὰ δώσουμε λόγο γιὰ τὶς πράξεις μας.

280.- ΣΤΟΝ ΔΙΑΚΟΝΟ ΕΥΤΟΝΙΟ

Ὅτι τὸ νὰ μὴ ἔχουν ἐχθροὺς οἱ φιλάρετοι εἶναι ἀδύνατο, μποροῦν ὅμως νὰ χρησιμοποιοῦν τὴν ἔχθρα πρὸς τὸ καλό.

Τὸ νὰ μὴ ἔχουν ἐχθροὺς αὐτοὶ ποὺ ἀγαποῦν τὴν ἀρετὴ εἶναι, νομίζω, ἀδύνατο, εἶναι ὅμως δυνατὸν τὴν ἔχθρα νὰ τὴ χρησιμοποιήσουν πρὸς τὸ καλό. Γιατί, ἂν φιλοσοφώντας δὲν διαπράττουν πταίσματα, τοὺς ἑαυτούς τους βέβαια τοὺς ὠφελοῦν, ἐνῶ ἐκείνους τοὺς ἀπωθοῦν, ἐὰν ὅμως διαπράττουν ἐκεῖνοι πταίσματα, ὠφελοῦνται ἀπὸ τοὺς ἐχθρούς. Γιατὶ πολλὲς φορές, κατηγορία ποὺ διατυπώθηκε ἐναντίον μας, θεράπευσε ἀρρώστια τῆς ψυχῆς μας ποὺ ἀγνοούσαμε ἢ παραμελούσαμε. Χρειάζονται δηλαδὴ αὐτοὶ ποὺ εὐδοκιμοῦν στὴ ζωὴ ἢ γνήσιους φίλους, ἢ φλογεροὺς ἐχθρούς. Γιατὶ οἱ πρῶτοι μὲ τὶς νουθεσίες τους, καὶ οἱ ἄλλοι μὲ τὶς κατηγορίες τους, μᾶς ἀποτρέπουν ἀπὸ τὰ πταίσματα. Ἐπειδὴ ὅμως τώρα ἡ φιλία εἶναι ἰσχνόφωνη, ἢ καλύτερα ἄφωνη γιὰ νὰ μιλᾶ μὲ παρρησία, μὲ ἀποτέλεσμα ἡ φλυαρία καὶ ἡ κολακεία της νὰ εἶναι φλύαρη καὶ μεγαλόφωνη, ἐνῶ ἡ νουθεσία καὶ ἡ ἐπίπληξη ἄφωνες, πρέπει καὶ νὰ ἀκοῦμε ἀπὸ τοὺς ἐχθροὺς τὴν ἀλήθεια, καὶ νὰ διορθωνόμαστε.

281.- ΣΤΟΝ ΙΔΙΟ

Γιὰ τὴν κολακεία, καὶ ὅτι πρέπει οἱ συνετοὶ νὰ ἀποφεύγουν καὶ τὸ νὰ κολακεύουν, καὶ τὸ νὰ κολακεύονται.

Τίποτε δὲν θεωρῶ πιὸ ἀνυπόφορο ἀπὸ τοὺς κόλακες, οἱ ὁποῖοι

σίων γλώττης ἀπηρτημένοι, ὀμνύουσι μὲν ὅτι πάντων ἄριστον, εἰ προέλοιντό τι ἐκεῖνοι καὶ ἀτοπωτάτων θαυμᾶσαι, κακίζουσι δὲ ᾗ τάχος εἰ καὶ αὐτὴν ἐπιχειρήσουσι κακῦναι τὴν ἀρετήν. Χρὴ τοιγαροῦν τοὺς ἐχέφρονας φεύγειν καὶ τὸ κολακεύειν καὶ τὸ κολακεύεσθαι. Ἄμφω γάρ, ἵνα παρῶ τὸν τῶν ἀνθρώπων γέλωτα, καὶ κακίαν ἀνήκεστον, καὶ τιμωρίαν ἀνύποιστον ὠδίνει.

ΣΠΒ΄.– ΑΡΧΟΝΤΙΩ ΠΟΛΙΤΕΥΟΜΕΝΩ

Περὶ τῆς μὴ μεταστροφῆς Εὐσεβίου, Μαρτινιανοῦ, Ζωσίμου καὶ Μάρωνος

Μάλα ἀκριβῶς οἶδα, ὅτι, εἴ σε ἐροίμην, πότερον, ἐγὼ τὴν σύνεσιν ἀμείνων, ἢ Παῦλος, αὐτὴν τὴν ἐρώτησιν εἰς ἀλαζονείαν θήσεις. Πῶς οὖν, ὃ μὴ ἴσχυσεν ἐκεῖνος, παρ' ἐμοῦ ζητεῖς κατορθωθῆναι; Εἰ γὰρ ἐκείνῳ τῷ ὑποπτέρῳ γεωργῷ (ἵνα τοὺς καθ' ἕνα παραλείψω ἐφ' οἷς ἐπυροῦτο) καὶ τὸ Γαλατῶν γένος ἐξεπολεμήθη εἰς Ἰουδαϊσμὸν ἀποκλῖναι, καὶ οἱ ἐκ τῆς Ἀσίας οὐ προσέσχον, καὶ οἱ ψευδαπόστολοι διαπρύσιον ἐπολέμουν μάχην, καὶ οὐδεὶς αὐτὸν αἰτιᾶται, ἀλλ' ἀπὸ τῆς γνώμης στεφανοῖ, δι' ἣν αἰτίαν ἐμὲ αἰτιᾷ, τόν, ὡς φῄς, πολλοὺς μὲν εἰς ἀρετὴν παρακαλέσαντα καὶ πεπεικότα, πολλοὺς δ' ἐκ τῆς κακίας ἐξαρπάσαντα, ὅτι δὲ Εὐσέβιος καὶ Μαρτινιανός, Ζώσιμός τε καὶ Μάρων οὐκ ἐπείσθησαν τοῖς παραινέσεσιν; Ἀλλ' ὅρα μή, δοκῶν ἐμὲ αἰτιᾶσθαι, αὐτὸς ἀνοίας ὀφλήσῃς γέλωτα, ἅτε τὸν τῆς αὐτεξουσιότητος ὅρον ἀγνοῶν, καὶ τὴν αἰτίαν τῶν οὐ πεισθέντων ἐπὶ τὸν οὐ πείσαντα μεταφέρων.

ΣΠΓ΄.– ΘΕΟΔΟΣΙΩ ΣΧΟΛΑΣΤΙΚΩ

Περὶ τῆς ἀμέτρου χαρᾶς.

Ἡνίκα Ἐζεχίας, ὁ τῶν Ἑβραίων βασιλεύς, εἶδε τρόπαιον κατὰ Περσῶν ἐγηγερμένον, καὶ θαύματος κρεῖττον καὶ πάσης

κρεμασμένοι ἀπὸ τὴ γλώσσα τῶν πλουσίων, ὁρκίζονται, ὅτι τὸ ἄριστο ἀπὸ ὅλα εἶναι, τὸ ἂν θὰ προτιμοῦσαν ἐκεῖνοι νὰ θαυμάσουν κάτι ἀπὸ τὰ πιὸ παράλογα, κακολογοῦν ὅμως ὅσο πιὸ γρήγορα γίνεται, ἀκόμα καὶ ἂν ἐπιχειρήσουν νὰ κατηγορήσουν καὶ τὴν ἴδια τὴν ἀρετή. Πρέπει λοιπὸν αὐτοὶ ποὺ ἔχουν μυαλό, νὰ ἀποφεύγουν καὶ νὰ κολακεύουν καὶ νὰ κολακεύονται. Γιατὶ καὶ τὰ δύο, γιὰ νὰ ἀφήσω κατὰ μέρος τὸ γέλιο τῶν ἀνθρώπων, προκαλοῦν καὶ ἀθεράπευτη κακία, καὶ τιμωρία ἀνυπόφορη.

282.– ΣΤΟΝ ΠΟΛΥΤΕΥΟΜΕΝΟ ΑΡΧΟΝΤΙΟ
Γιὰ τὴ μεταστροφὴ τοῦ Εὐσεβίου, τοῦ Μαρτινιανοῦ, τοῦ Ζωσίμου καὶ τοῦ Μάρωνα.

Γνωρίζω πάρα πολύ καλά, ὅτι, ἂν σὲ ρωτήσω, ἐγὼ εἶμαι ἀνώτερος ὡς πρὸς τὴ σύνεση, ἢ ὁ Παῦλος, τὴν ἐρώτηση αὐτὴν θὰ τὴν θεωρήσεις ἀλαζονική. Πῶς τότε, αὐτὸ ποὺ δὲν κατόρθωσε ἐκεῖνος, ζητᾶς νὰ τὸ κατορθώσω ἐγώ; Γιατί, ἂν μὲ ἐκεῖνον τὸν φτερωτὸ γεωργὸ (γιὰ νὰ παραλείψω τὸν καθένα γιὰ τοὺς ὁποίους ἔνοιωθε τὴ φλόγα νὰ τὸν καίει[2]), καὶ τὸ γένος τῶν Γαλατῶν παρασύρθηκε νὰ ἀποκλίνει πρὸς τὸν Ἰουδαϊσμό, καὶ οἱ Ἀσιᾶτες δὲν τὸν πρόσεξαν, καὶ οἱ ψευδαπόστολοι τοῦ ἔκαναν σκληρὸ πόλεμο, καὶ κανένας δὲν τὸν κατηγορεῖ, ἀλλὰ τὸν στεφανώνει γιὰ τὴν προσπάθειά του, γιὰ ποιὸν λόγο κατηγορεῖς ἐμένα, γιὰ τὸ ὅτι, ὅπως λές, ἐνῶ προέτρεψα πολλοὺς στὴν ἀρετὴ καὶ τοὺς ἔπεισα, καὶ πολλοὺς τοὺς ἀπέσπασα ἀπὸ τὴν κακία, ὁ Εὐσέβιος καὶ ὁ Μαρτινιανός, καθὼς καὶ ὁ Ζώσιμος καὶ ὁ Μάρωνας δὲν πείσθηκαν μὲ τὶς παραινέσεις μου; Πρόσεχε ὅμως, μήπως, νομίζοντας ὅτι κατηγορεῖς ἐμένα, ὁ ἴδιος ἐπισύρεις τὰ γέλια γιὰ ἀνοησία, ἐπειδή, ἀγνοώντας τοὺς ὅρους τῆς αὐτεξουσιότητας, μετατοπίζεις τὴν αἰτία αὐτῶν ποὺ δὲν πείσθηκαν σ' αὐτὸν ποὺ δὲν τοὺς ἔπεισε.

283.– ΣΤΟΝ ΣΧΟΛΑΣΤΙΚΟ ΘΕΟΔΟΣΙΟ
Γιὰ τὴν ὑπέρμετρη χαρά.

Ὅταν ὁ βασιλιὰς τῶν Ἑβραίων Ἐζεκίας εἶδε νὰ ὑψώνεται τρόπαιο κατὰ τῶν Περσῶν, καὶ ἀνώτερο ἀπὸ θαῦμα, καὶ ψηλότερο ἀπὸ

2. Πρβλ. Β΄ Κορ. 11, 29 «Τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι;».

ἀνθρωπίνης ῥώμης τε καὶ ἐλπίδος ὑψηλότερον, τότε δή, τότε νόσῳ βάλλεται, ἵνα τὰ σκιρτήματα τῆς ψυχῆς, χαλινοῦ ἀξιωθέντα, μὴ ἔξω τοῦ πρέποντος αὐτὸν παριππεῦσαι ἀναγκάσωσι, καὶ τὴν τῆς νίκης ὑπόθεσιν ἀλαζονείας διαδέξηται πόλεμος. Εἰ τοίνυν καὶ τῇ σῇ μεγαλονοίᾳ, εὐημερία ἐλπίδος κρείττων ἐπέστη, μηδὲν ἀπηχές, μηδὲ λέγε μηδὲ πρᾶττε, ἀλλὰ καὶ κόλαζε τὴν ἀμετρίαν τῆς χαρᾶς· λύπης γὰρ αὕτη πλέον καταβλάπτειν πολλάκις πέφυκε.

ΣΠΔ΄.– ΘΕΟΠΕΜΠΤΩ ΕΠΙΣΚΟΠΩ

Εἰς τό, «Εἰ δυνατὸν τὸ ἐξ ὑμῶν, μετὰ πάντων τῶν ἀνθρώπων εἰρηνεύοντες».

Πάντων μὲν τῶν κατ' ἀνθρώπους ἀγαθῶν ὑπόθεσίς ἐστι καὶ κρηπὶς ἡ ὁμόνοια, καὶ χρὴ μηδενὶ διδόναι πολέμου καὶ μάχης ἀφορμήν. Εἰ δέ που τὴν εὐσέβειαν παραβλαπτομένην ἢ τοὺς ἀσθενεῖς ἀδικουμένους θεάσαιο, μὴ προτίμα τὴν εἰρήνην τῆς ἀληθείας, ἀλλ' ἵστασο γενναίως ἕως αἵματος πρὸς τὴν ἁμαρτίαν ἀνταγωνιζόμενος. Διὰ τοῦτο γὰρ εἴρηται τῷ Ἀποστόλῳ τοῦθ' ὅπερ ἠθέλησας μαθεῖν· «Εἰ δυνατὸν τὸ ἐξ ὑμῶν, μετὰ πάντων τῶν ἀνθρώπων εἰρηνεύοντες». Ἔστι γὰρ ὅπου οὐ δυνατόν, οἷον, ὅταν περὶ εὐσεβείας, ὡς ἔφθην εἰπών, ὁ λόγος, ἢ ὅταν περὶ ἀδικουμένων ὁ ἀγών. Καὶ τί θαυμάζεις, εἰ ἐπὶ τῶν ἄλλων ἀνθρώπων τοῦτο οὐ πανταχοῦ δυνατόν, ὅπου γε καὶ ἐπ' ἀνδρὸς καὶ γυναικός, τῶν εἰς μίαν σάρκα τελούντων, ταύτην ἔλυσε τὴν ἀνάγκην, εἰπών, «Εἰ δὲ ὁ ἄπιστος χωρίζεται, χωριζέσθω»;

ΣΠΕ΄.– ΤΩ ΑΥΤΩ

Ὅμοιον.

Ἐγὼ οὔτ' ἀναμάρτητός εἰμι, οὔτ' ἀναμαρτήτους ζητῶ φίλους (οὐ γὰρ εὑρήσω), ἀλλὰ τοὺς πολλὰ μὲν καὶ μέγιστα ἔχοντας κατορθώματα, ὀλίγα δὲ καὶ ἐλάχιστα ἐλαττώματα ἐγκρίνω τῷ χορῷ, τοὺς δ' ἐναντίως τοῖς εἰρημένοις διακειμένους οὔτε

3. Α΄ Κορ. 7, 15.

κάθε ἀνθρώπινη δύναμη καὶ ἐλπίδα, τότε λοιπὸν ἀκριβῶς προσβλήθηκε ἀπὸ ἀρρώστια, ὥστε τὰ σκηρτήματα τῆς ψυχῆς του νὰ συγκρατηθοῦν, καὶ νὰ μὴ τὸν ἀναγκάσουν νὰ ξεπεράσει τὰ ὅρια ποὺ ἔπρεπε, καὶ τὴν ὑπόθεση τῆς νίκης τὴν διαδεχθεῖ πόλεμος ἀλαζονείας. Ἐὰν λοιπὸν καὶ στὴ δική σου μεγαλοφυία ἦρθε εὐημερία ἀνώτερη ἀπὸ ὅ,τι ἔλπιζες, νὰ μὴ λές, οὔτε νὰ κάνεις τίποτε τὸ ἀνάρμοστο, ἀλλὰ νὰ περιορίζεις τὴν πέρα ἀπὸ τὸ μέτρο χαρά σου, γιατὶ αὐτὴ πολλὲς φορὲς βλάπτει συνήθως περισσότερο ἀπὸ τὴ λύπη.

284.– ΣΤΟΝ ΕΠΙΣΚΟΠΟ ΘΕΟΠΕΜΠΤΟ

Στό· «Ἂν εἶναι δυνατόν, ὅσο ἐξαρτᾶται ἀπὸ σᾶς, νὰ ἔχετε εἰρήνη μὲ ὅλους τοὺς ἀνθρώπους»[2α].

Ὅλων βέβαια τῶν ἀνθρώπινων ἀγαθῶν προϋπόθεση καὶ βάση εἶναι ἡ ὁμόνοια, καὶ πρέπει σὲ κανένα νὰ μὴ δίνεις ἀφορμὴ γιὰ πόλεμο καὶ φιλονεικία. Ἐὰν ὅμως κάποτε βλέπεις τὴν εὐσέβεια νὰ βλάπτεται, ἢ τοὺς ἀδυνάτους νὰ ἀδικοῦνται, νὰ μὴ προτιμᾶς τὴν εἰρήνη ἀντὶ τῆς ἀλήθειας, ἀλλὰ νὰ στέκεσαι γενναῖα, ἀγωνιζόμενος πρὸς τὴν ἁμαρτία μέχρις αἵματος. Γιατὶ γι' αὐτὸ εἰπώθηκε ἀπὸ τὸν Ἀπόστολο αὐτὸ ποὺ θέλησες νὰ μάθεις· «Ἐὰν εἶναι δυνατόν, ὅσο ἐξαρτᾶται ἀπὸ σᾶς, νὰ ἔχετε εἰρήνη μὲ ὅλους τοὺς ἀνθρώπους». Γιατὶ ὑπάρχει περίπτωση ὅπου δὲν εἶναι αὐτὸ δυνατόν, ὅπως ὅταν ὁ ἀγώνας γίνεται γιὰ τὴν πίστη, ὅπως εἶπα παραπάνω, ἢ ὅταν ὁ ἀγώνας γίνεται γι' αὐτοὺς ποὺ ἀδικοῦνται. Καὶ γιατί ἀπορεῖς γιὰ τὸ ὅτι στοὺς ἄλλους ἀνθρώπους αὐτὸ δὲν εἶναι παντοῦ δυνατόν, τὴ στιγμὴ ποὺ καὶ γιὰ τὸν ἄνδρα καὶ τὴ γυναίκα, ποὺ ἀποτελοῦν ἕνα σῶμα, ἔδωσε αὐτὴ τὴ λύση, λέγοντας, «Ἐὰν ὁ ἄπιστος θέλει νὰ χωρίσει, ἂς χωρίσει»[3];

285.– ΣΤΟΝ ΙΔΙΟ

Ὅμοιο.

Ἐγὼ οὔτε ἀναμάρτητος εἶμαι, οὔτε ἐπιδιώκω νὰ ἔχω ἀναμάρτητους φίλους (γιατὶ δὲν θὰ βρῶ), ἀλλὰ αὐτοὺς ποὺ ἔχουν πολλὲς καὶ πολὺ μεγάλες ἀρετές, καὶ λίγα καὶ πολὺ μικρὰ ἐλαττώματα τοὺς ἐγκρίνω ὡς συντρόφους μου, ἐνῶ αὐτοὺς ποὺ ζοῦν ἀντίθετα πρὸς

2α. Ρωμ. 12, 18.

καταριθμῶ οὔτε ἀποκηρύττω. Οὐ καταριθμῶ μέν, ἵνα μὴ διαβολὴν ἐργάσωνται τῷ συλλόγῳ, εἰώθασι γὰρ πάντες ἀπὸ τῶν συνόντων τοὺς ἄνδρας κρίνειν, οὐκ ἀποκηρύττω δέ, ἐλπίδα αὐτοῖς ἀγαθὴν ἐγκαταλείπων. Τοῖς μὲν γὰρ καὶ συμβούλοις καὶ φίλοις χρῶμαι, τοῖς δὲ οὐ πολεμῶ μέν, ἀλλὰ τὴν ἐνδεχομένην εἰρήνην νέμω (τὸ ἀποστολικὸν φυλάττειν σπουδάζων θέσπισμα, «Εἰ δυνατὸν τὸ ἐξ ὑμῶν, μετὰ πάντων ἀνθρώπων εἰρηνεύοντες»), παραινῶ δὲ ἀπέχεσθαι μὲν κακίας, ἀντέχεσθαι δὲ ἀρετῆς. Εἰ δ' αὐτοὶ τὴν παραίνεσιν ἔχθρας ὑπόθεσιν κατασκευάζουσι, λύπην μοι οὐ μικρὰν τῷ μὴ ὠφελεῖσθαι, οὐ τῷ ἐκπολεμεῖσθαι προξενήσουσιν.

ΣΠΣ'.– ΗΛΙΑ

Περὶ τῆς πανηγυρικῆς εὐκοσμίας τῶν πάντων ἐπὶ τῇ ἐπιφανείᾳ τοῦ Ἡλίου τῆς Δικαιοσύνης.

Ὅτε ὁ τῆς Δικαιοσύνης Ἥλιος οὐρανόθεν ἐπ' εὐεργεσίᾳ τῶν ἀνθρώπων δεῦρ' ἐπεφάνη, τότε δή, τότε, καθάπερ ἔν τινι παλιρροίᾳ πραγμάτων, εἰς ὁσιότητα τὰ ὅλα μετέστη. Πανηγυρικῆς γὰρ εὐκοσμίας τυγχάνοντα ἄμοιρα καὶ ἑορτῶν μὲν ὀνόμασιν ἐναβρυνόμενα, κακίας δὲ δράμασι καθυβριζόμενα, εἰς θείαν καὶ ὑπερκόσμιον μετερρυθμίσθη πανήγυριν, διδαχθέντα ὁμηγύριον ὄντως ἡγεῖσθαι τὴν εὐσέβειαν, ὅταν μάλιστα ὑπὸ τῆς ἀρετῆς, ὥσπερ εὐαγοῦς ἱερείας, θεραπεύηται.

ΣΠΖ'.– ΤΟΙΣ ΒΟΝΘΟΥ ΤΟΥ ΠΡΕΣΒΥΤΕΡΟΥ ΦΟΙΤΗΤΑΙΣ

Ὅτι ἡ σώφρων ψυχή, ἐπὶ τῶν αἰσθήσεων φέρουσα τῆς ἀρετῆς τὰ συνθήματα, τὰς τῶν διαφθείρειν αὐτῆς τὴν ὥραν βουλομένων διεκκόπτει ἐλπίδας.

Ὥσπερ σώφρων γυνή, ἐπὶ τοῦ προσώπου τῆς ἁγνείας τὰ σύμβολα φέρουσα, τὰς τῶν ἀκολάστως ὁρώντων κολάζει προσδοκίας, οὕτω καὶ σώφρων ψυχή, ἐπὶ τῶν αἰσθήσεων φέρουσα

αὐτὰ ποὺ εἶπα, οὔτε τοὺς συμπεριλαμβάνω στοὺς φίλους, οὔτε τοὺς ἀπορρίπτω. Δὲν τοὺς συμπεριλαμβάνω βέβαια, γιὰ νὰ μὴ σπείρουν ζιζάνια στὸν σύλλογο, γιατὶ συνηθίζουν ὅλοι νὰ κρίνουν τοὺς ἀνθρώπους ἀπὸ αὐτοὺς ποὺ συναναστρέφονται, ἀλλὰ καὶ δὲν τοὺς ἀπορρίπτω, ἀφήνοντάς τους ἐλπίδα καλή. Τοὺς πρώτους βέβαια τοὺς χρησιμοποιῶ καὶ σὰν φίλους καὶ συμβούλους, ἐνῶ τοὺς ἄλλους δὲν τοὺς πολεμῶ φυσικά, ἀλλὰ τοὺς ἀπευθύνω τὴν καθιερωμένη εἰρήνη (φροντίζοντας νὰ ἐφρμόζω τὴν ἀποστολικὴ ἐντολή· «Ἐὰν εἶναι δυνατόν, ὅσον ἐξαρτᾶται ἀπὸ σᾶς νὰ ζεῖτε εἰρηνικὰ μὲ ὅλους τοὺς ἀνθρώπους»[3α]), καὶ τοὺς προτρέπω νὰ μένουν μακριὰ ἀπὸ τὴν κακία, καὶ νὰ ἀφοσιώνονται στὴν ἀρετή. Καὶ ἐὰν αὐτοὶ θεωρήσουν τὴ συμβουλή μου ἀφορμὴ ἔχθρας, θὰ μοῦ προκαλέσουν μεγάλη λύπη μὲ τὸ ὅτι δὲν ὠφελοῦνται, καὶ ὄχι γιὰ τὸ ὅτι μὲ πολεμοῦν.

286.– ΣΤΟΝ ΗΛΙΑ

Γιὰ τὴν πανηγυρικὴ εὐκοσμία τῶν πάντων κατὰ τὴν παρουσία τοῦ Ἡλίου τῆς Δικαιοσύνης.

Ὅταν ὁ Ἥλιος τῆς Δικαιοσύνης ἐμφανίσθηκε ἀπὸ τὸν οὐρανὸ ἐδῶ γιὰ τὴ σωτηρία τῶν ἀνθρώπων, τότε ἀκριβῶς, σὰν μὲ κάποια παλίρροια τῶν πραγμάτων, μετακινήθηκαν ὅλα πρὸς τὴν εὐσέβεια. Γιατί, στερούμενα τὴν πανηγυρικὴ εὐκοσμία, καὶ ἐνῶ καμάρωναν γιὰ τὰ ὀνόματα ἑορτῶν, τὰ ὁποῖα ὅμως ἀτιμάζονταν μὲ τὰ δράματα τῆς κακίας, μεταβλήθηκαν σὲ ὑπερκόσμια πανήγυρη, καὶ διδάχθηκαν νὰ θεωροῦν πανήγυρη πραγματικὴ τὴν εὐσέβεια, ἰδιαίτερα μάλιστα ὅταν, σὰν ἀπὸ μιὰ ἄμεμπτη ἱέρεια, ὑπηρετοῦνται ἀπὸ τὴν ἀρετή.

287.– ΣΤΟΥΣ ΜΑΘΗΤΕΣ ΤΟΥ ΠΡΕΣΒΥΤΕΡΟΥ ΒΟΝΘΟΥ

Ὅτι ἡ φρόνιμη ψυχή, ποὺ φέρει στὶς αἰσθήσεις της τὰ γνωρίσματα τῆς ἀρετῆς, διαψεύδει τὶς ἐλπίδες ἐκείνων ποὺ θέλουν νὰ διαφθείρουν τὴν ὡραιότητά της.

Ὅπως ἡ φρόνιμη γυναίκα, ποὺ φέρει στὸ πρόσωπό της τὸ σύμβολο τῆς ἁγνότητας, ἐμποδίζει τὶς προσδοκίες ἐκείνων ποὺ τὴ βλέπουν ἀκόλαστα, ἔτσι καὶ ἡ φρόνιμη ψυχή, ποὺ φέρει στὶς αἰσθήσεις της τὰ

3α. Ρωμ. 12, 18.

τῆς ἀρετῆς τὰ συνθήματα, τὰς τῶν διαφθείρειν αὐτῆς τὴν ὥραν βουλομένων διεκκόπτει ἐλπίδας. Τίς γὰρ τὸν τοιοῦτον ὀφθαλμόν, ἡμερότητι καὶ ἐλευθεριότητι κεκραμένον, προσελθεῖν τολμήσειε; Τίς δὲ γλῶτταν σεμνότητος οὖσαν τέμενος, οὐκ ἄβατον αὐτῷ τὴν ὁμιλίαν νομιεῖ; Τίς δὲ τὰς ἄλλας αἰσθήσεις θεώμενος, ἀρετῶν οὔσας ὄργανα, οὐ φοβηθήσεται παρασυμβουλεῦσαι; Οὐκοῦν καὶ ὑμεῖς, ὦ φίλου λέοντος εὐγενῆ βλαστήματα, ἀβάτους ἑαυτοὺς βλαπτούσαις συνουσίαις διατηρήσατε, ἵνα καὶ τὸ ἑαυτῶν καὶ τὸ πατρῷον αὐξήσητε κλέος.

ΣΠΗ΄.– ΝΕΙΛΑΜΜΩΝΙ ΚΑΙ ΝΕΙΛΑΜΜΩΝΙ

Ὅτι τῷ σώματι ἐντυποῦνται οἱ ἀφανεῖς χαρακτῆρες τῶν παθῶν τῆς ψυχῆς.

Τὴν μὲν ὁμωνυμίαν ὑμῖν οἱ γονεῖς, τὴν δὲ συνωνυμίαν οἱ τρόποι ἐπέθηκαν. Τὴν μὲν γὰρ παρὰ τῶν τεκόντων ἐσχήκατε, τὴν δὲ παρὰ τῶν προαχθέντων ἐκτήσασθε, ἥν, εἰ μὲν ἐπὶ τοῖς καλλίστοις εἶδον οἱ ἄνθρωποι, ἥσθην ἄν, ἐπειδὴ δὲ ἐπὶ τοῖς ἐναντίοις, λίαν ἄχθομαι. Ὅμμα γὰρ ἀναιδὲς καὶ αὐχὴν μετέωρος καὶ ὀφρύων συνεχὴς κίνησις καὶ βάδισμα σεσοβημένον, καὶ τὸ ἐπὶ μηδενὶ τῶν αἰσχρῶν ἐρυθριᾷν, τεκμήριον ψυχῆς ἐστιν αἰσχίστης, τοὺς ἀφανεῖς τῶν οἰκείων παθῶν χαρακτῆρας ἐντυπούσης τῷ σώματι.

ΣΠΘ΄.– ΘΕΟΔΩΡΩ ΛΑΜΠΡΟΤΑΤΩ

Περὶ Ἰησοῦ. Περὶ τῆς Μωσέως μεγαλονοίας, ὅτι οὐδένα τῶν υἱῶν τῆς Ἰησοῦ ἀρετῆς προετίμησε, καὶ ὅτι οὐ δεῖ παισὶ βασιλείαν ἢ ἑτέραν ἀρχὴν ἐγχειρίζειν, εἰ μὴ ὁ τρόπος ᾖ τῆς ἡγεμονίας ἁρμόδιος.

Ἐν πολλοῖς μὲν καὶ ἄλλοις ἄγαμαι τὸν θεοφίλη Μωσέα, ἐν τούτῳ δὲ διαφερόντως, ὅτι, παντὸς πάθους κρείττων ὤν, καὶ τῆς φυσικῆς φιλοστοργίας ἐκράτησε. Δύο γὰρ ἔχων υἱούς, τε-

γνωρίσματα τῆς ἀρετῆς, διαψεύδει τὶς ἐλπίδες ἐκείνων ποὺ θέλουν νὰ διαφθείρουν τὴν ὡραιότητά της. Γιατὶ ποιός, βλέποντας αὐτὸ τὸ μάτι νὰ εἶναι ἀναμιγμένο μὲ ἡμερότητα καὶ ἐλευθερία, θὰ τολμήσει νὰ τὸ πλησιάσει; Καὶ ποιὸς μιὰ γλώσσα ποὺ εἶναι ναὸς τῆς σεμνότητας δὲν θὰ νομίσει, ὅτι εἶναι ἀπλησίαστη σ' αὐτὸν πρὸς ὁμιλία; Ποιὸς ἐπίσης, βλέποντας τὶς ἄλλες αἰσθήσεις νὰ εἶναι ὄργανα τῶν ἀρετῶν, δὲν θὰ φοβηθεῖ νὰ τὶς συμβουλεύσει ἀντίθετα; Λοιπὸν καὶ σεῖς, εὐγενικὰ βλαστάρια τοῦ φίλου λιονταριοῦ, διατηρῆστε τοὺς ἑαυτούς σας ἀπλησίαστους στὶς συναναστροφὲς ποὺ βλάπτουν, ὥστε νὰ αὐξήσετε τὴ δόξα καὶ τὴ δική σας καὶ τοῦ πατέρα σας.

288.– ΣΤΟΥΣ ΝΕΙΛΑΜΜΩΝΑ ΚΑΙ ΝΕΙΛΑΜΜΩΝΑ

Ὅτι τὰ ἀφανῆ χαρακτηριστικὰ τῶν παθῶν τῆς ψυχῆς ἀποτυπώνονται στὸ σῶμα.

Τὰ ἴδια βέβαια ὀνόματα σᾶς τὰ ἔδωσαν οἱ γονεῖς, τὴ συνωνυμία ὅμως ἡ συμπεριφορά σας. Γιατὶ τὰ πρῶτα τὰ πήρατε ἀπὸ ἐκείνους ποὺ σᾶς γέννησαν, ἐνῶ τὴν ἄλλη τὴν ἀποκτήσατε μὲ τὶς πράξεις σας, τὴν ὁποία ἐὰν οἱ ἄνθρωποι τὴν ἔβλεπαν νὰ ἐκδηλώνεται γιὰ τὰ ἄριστα ἔργα, θὰ εὐχαριστιόμουν, ἐπειδὴ ὅμως τὴν εἶδαν νὰ ἐκδηλώνεται πρὸς τὰ ἀντίθετα, στενοχωριέμαι πολύ. Γιατὶ μάτι ἀναιδὲς καὶ αὐχένας τεντωμένος, συνεχὴς κίνηση τῶν φρυδιῶν καὶ βάδισμα κουνιστό, καὶ τὸ γεγονὸς ὅτι δὲν κοκινίζετε γιὰ κανένα ἀπὸ τὰ αἴσχη σας, εἶναι ἀπόδειξη ψυχῆς αἰσχρότατης, ἡ ὁποία τὰ ἀφανῆ χαρακτηριστικὰ τῶν παθῶν της τὰ ἀποτυπώνει στὸ σῶμα.

289.– ΣΤΟΝ ΕΚΛΑΜΠΡΟΤΑΤΟ ΘΕΟΔΩΡΟ

Γιὰ τὸν Ἰησοῦ. Γιὰ τὴ μεγαλοψυχία τοῦ Μωυσῆ, ὅτι κανέναν ἀπὸ τοὺς υἱοὺς τοῦ Ἰησοῦ δὲν τὸν ξεχώρισε λόγω τῆς ἀρετῆς τοῦ πατέρα τους, καὶ ὅτι δὲν πρέπει στὰ παιδιὰ νὰ δίνεται βασιλεία ἢ ἄλλη ἐξουσία, παρὰ μόνο ἐὰν ἡ ἀγωγή τους εἶναι κατάλληλη γιὰ τὴν ἡγεσία.

Καὶ σὲ πολλὰ ἄλλα βέβαια θαυμάζω τὸν ἀγαπητὸ στὸν Θεὸ Μωυσῆ, ἀλλ' ὅλως ἰδιαιτέρως σ' αὐτό, γιατί, ἐνῶ ἦταν ἀνώτερος ἀπὸ κάθε πάθος, ἔγινε κύριος ἀκόμα καὶ τῆς φυσικῆς φιλοστοργίας.

χθέντας μὲν παρ' αὐτοῦ, τῆς δὲ πατρῴας ἀρετῆς μὴ γεγονότας ζηλωτάς, οὐδένα αὐτῶν διάδοχον τῆς στρατηγίας ἐχειροτόνησεν, ἀλλὰ τὸν ἀρετῇ μᾶλλον, ἢ γένει, προσήκοντα, τὴν ἀρετὴν προκρίνας τῆς πρὸς τὴν τοῦ καλοῦ διάκρισιν πολλάκις τυφλωτούσης φύσεως. Οἱ γὰρ ἐκ πατρῶν νομίζοντες δίκαιον εἶναι τὰς ἀρχὰς ἐπὶ τοὺς παῖδας καταβαίνειν, τυφλώττουσι πρὸς τὴν ἀλήθειαν. Χρεωστεῖται τὸ γέρας οὐ γένει, ἀλλ' ἀρετῇ. Οὐδὲ γὰρ τὸν βασιλέως υἱόν, ἂν ἀνάξιος εἴη τοῦ πράγματος, εἰς τὴν ἀξίαν ἐγγραπτέον, ἀλλὰ τὸν βασιλικὴν ἔχοντα ψυχὴν καὶ τὴν τῆς ἀρχῆς ἐπιστήμην χωρῆσαι δυνάμενον. Τοῦτο γοῦν ἐκεῖνον τὸν πρᾳότατον λαμπρῶς ἔδειξε, μηδὲ τὸν ἀδελφὸν χάριτι εἰς τὴν ἱερωσύνην προενηνοχέναι. Ὁ γὰρ τοὺς ἐκ τῶν λαγόνων αὐτοῦ φύντας μὴ ἀξιώσας τοιαύτης τιμῆς, ἀλλὰ περιγενόμενος τῆς φύσεως τυραννίδος, οὐκ ἂν τὸν ἀδελφὸν χάριτι τῇ ἱερωσύνῃ ἐστεφάνωσεν, ἀλλὰ κατὰ θείους χρησμούς. Διὸ καὶ οἱ κατ' αὐτοῦ ἐπιλυττήσαντες καὶ νομίσαντες οὐ θείᾳ ψήφῳ, ἀλλὰ κρίσει λογισμῶν οἰκείᾳ κεχειροτονηκέναι τὸν ὁμαίμονα, δίκας ἀήθεις ἔδοσαν. Τοὺς μὲν γὰρ ἡ γῆ χανδὸν κατέπιεν, οἱ δὲ πυρὸς αἰθερίου ἔργον ἐγένοντο.

ΣΗ'.– ΧΑΙΡΗΜΟΝΙ ΔΙΑΚΟΝΩ
Συμβουλευτική.

Εἰ καὶ Εὐσέβιος, ὡς γέγραφας, τῇ κακίᾳ σπενδόμενος, τῇ ἀρετῇ πολεμεῖ, ὀξὺς μὲν ὢν ἐκ διαβολῆς εἰς ἐπιβουλὰς ἐπαχθῆναι, πρόχειρος δὲ ὑπονοίαις μὴ προσηκούσαις ἑαυτὸν πιστώσασθαι, καὶ ἐν μὲν τοῖς ἐπιτιμίοις τῶν ἡμαρτηκότων ἀπαραίτητος, ἐν δὲ ταῖς ἀμοιβαῖς τῶν κατορθούντων ὀκνηρότατος, ἀλλ' οὖν γε αὐτὸς οὐκ ἂν εἴης δίκαιος ἐκεῖνον κωμῳδεῖν, ὁ τὰ αὐτὰ αὐτῷ, ὥς φασιν, ἵνα μὴ λέγω ἀργαλεώτερα, πλημμελῶν. Ἢ γὰρ μὴ πρᾶττε τοιαῦτα, ἢ μὴ κωμῴδει τοὺς δρῶντας. Τάχα

Πραγματικά, ἔχοντας δύο υἱούς, οἱ ὁποῖοι γεννήθηκαν βέβαια ἀπὸ αὐτόν, ἀλλὰ δὲν ἔγιναν ζηλωτὲς τῆς ἀρετῆς τοῦ πατέρα τους, κανέναν ἀπὸ αὐτοὺς δὲν διόρισε διάδοχο τῆς ἡγεσίας, ἀλλὰ ἐκεῖνον ποὺ ἦταν κατάλληλος μὲ τὴν ἀρετή του, παρὰ μὲ τὴν καταγωγή του, προκρίνοντας τὴν ἀρετή, προκειμένου νὰ διαλέξει τὸν καλό, ἐπειδὴ ἡ φύση πολλὲς φορὲς εἶναι τυλφωμένη. Γιατὶ αὐτοὶ ποὺ νομίζουν ὅτι οἱ ἐξουσίες πρέπει νὰ μεταβιβάζονται ἀπὸ τὸν πατέρα στὰ παιδιά, εἶναι τυφλοὶ ὡς πρὸς τὴν ἀλήθεια. Τὸ βραβεῖο ὀφείλεται στὴν ἀρετή, καὶ ὄχι στὸ γένος. Δὲν πρέπει δηλαδὴ οὔτε ὁ υἱὸς τοῦ βασιλιᾶ, ἂν εἶναι ἀνάξιος τῆς θέσεως, νὰ θεωρεῖται ὡς ἄξιος, ἀλλὰ ἐκεῖνος ποὺ ἔχει βασιλικὴ ψυχὴ καὶ μπορεῖ νὰ χωρήσει τὴν ἐπιστήμη τῆς ἐξουσίας. Αὐτὸ λοιπὸν ἀνέδειξε λαμπρὸν ἐκεῖνον τὸν πρᾶον, ὁ ὁποῖος οὔτε τὸν ἀδελφό του δὲν τοποθέτησε στὴν ἱερωσύνη κάνοντάς του χάρη. Γιατὶ αὐτὸς ποὺ δὲν θεώρησε ἄξιους τῆς τόσο μεγάλης τιμῆς ἐκείνους ποὺ φύτρωσαν ἀπὸ τοὺς λαγόνες του, ἀλλὰ νίκησε τὴν τυραννικὴ δύναμη τῆς φύσεως, δὲν θὰ ἦταν δυνατὸν νὰ ἀναδείξει οὔτε τὸν ἀδελφό του στὴν ἱερωσύνη χατηρικά, ἀλλὰ σύμφωνα μὲ τὶς ἐντολὲς τοῦ Θεοῦ. Γι' αὐτὸ καὶ ἐκεῖνοι ποὺ ἐκδήλωσαν τὴ λύσσα τους ἐναντίον του καὶ νόμισαν πὼς δὲν χειροτόνησε τὸν ἀδελφό του μὲ ἀπόφαση τοῦ Θεοῦ, ἀλλὰ μὲ τὴ κρίση τῶν λογισμῶν του, τιμωρήθηκαν μὲ ἀσυνήθιστες ποινές. Γιατὶ ἄλλους ἄνοιξε ἡ γῆ καὶ τοὺς κατάπιε, καὶ ἄλλοι ἔγιναν παρανάλωμα οὐράνιας φωτιᾶς[4].

290.– ΣΤΟΝ ΔΙΑΚΟΝΟ ΧΑΙΡΗΜΟΝΑ
Συμβουλευτική.

Ἂν καὶ ὁ Εὐσέβιος, ὅπως μοῦ ἔγραψες, κάνοντας συνθήκη μὲ τὴν κακία, πολεμᾶ τὴν ἀρετή, ὄντας ἀπὸ τὴ μιὰ γρήγορος στὸ νὰ παρασυρθεῖ ἀπὸ συκοφαντία σὲ μηχανορραφία, καὶ ἀπὸ τὴν ἄλλη ἕτοιμος μὲ ὑπόνοιες ὄχι κατάλληλες νὰ ἐπιβεβαιώσει τὸν ἑαυτό του, καὶ ἐνῶ στὰ ἐπιτίμια αὐτῶν ποὺ ἁμαρτάνουν εἶναι ἄκαμπτος καὶ στὶς ἀμοιβὲς τῶν ἐνάρετων φυγόπονος, ἀλλ' ὅμως σὺ δὲν ἔχεις δίκαιο νὰ διακωμωδεῖς ἐκεῖνον, ἀφοῦ, ὅπως λένε, κάνεις τὰ ἴδια μὲ αὐτόν, γιὰ νὰ μὴ πῶ χειρότερα. Ἢ λοιπὸν μὴ κάνεις τέτοια, ἢ μὴ διακωμωδεῖς αὐτοὺς

4. Λευϊτ. 10, 2.

δὲ τοῦτ' αὐτῷ κατ' ἀξίαν συνέβη, ὅτι σὲ τοιοῦτον ὄντα χειροτονήσας, οὐκ ἔλαθε τὴν δίκην. Ὁ γὰρ ἀποκεκλεισμένον ἀπὸ τῶν ἐκκλησιαστικῶν θεσμῶν στόμα οὐ δεόντως ἀνοίξας, καθ' ἑαυτοῦ, ὡς ἔοικεν, ἤνοιξε, καὶ κατὰ τῶν εὐδοκίμων νομίσας ἀθύρωτον ὁπλίζειν γλῶτταν, καθ' ἑαυτοῦ ὥπλισεν.

ΣΛΑ'.– ΓΕΡΜΑΝΩ

Περὶ τῶν διὰ σωφροσύνης καὶ ἐγκρατείας λαμπρὰ τρόπαια ἐγειρόντων, καὶ τῶν ὑπὸ τῶν βαρβαρικῶν παθῶν τοῦ σώματος τυραννουμένων καὶ βαρβαρικοῖς τροπαίοις ἐναβρυνομένων.

Ὁ μὲν τὰς πολλοῖς ἀμάχους εἶναι δοκούσας ἡδονὰς σωφροσύνῃ καὶ ἐγκρατείᾳ τυραννικῶς βιαζόμενος, οὗτος ἐλευθέραν παντὸς αἰσχροῦ πάθους ἔχων τὴν ψυχήν, τροπαίοις λαμπροῖς καὶ πολλοῖς ἐναγάλλεσθαι δίκαιος, ὁ δὲ ἐκείναις μὲν κατακράτος ἁλοὺς καὶ ὑπὸ τῶν βαρβαρικῶν τοῦ σώματος παθῶν τυραννούμενος, βαρβαρικοῖς δὲ τροπαίοις ἐναβρυνόμενος, οὗτος καὶ ἠλίθιος εἶναί μοι δοκεῖ καὶ ἀνδραποδώδης. Δειλίᾳ γὰρ καὶ φόβῳ μειζόνων κακῶν (εἰ καὶ παράδοξον καὶ εἰπεῖν καὶ ἀκοῦσαι), ἀνδρεῖος εἶναι δοκεῖ. Φοβούμενος γὰρ δουλείαν ἢ ἑαυτοῦ ἢ τῶν παίδων, πολεμεῖ.

ΣΛΒ'.– ΔΑΝΙΗΛ ΠΡΕΣΒΥΤΕΡΩ

Ὅτι κίνδυνος μέγιστος ἐπήρτηται τῇ ψυχῇ τοῖς τολμῶσι παραποιεῖν καὶ παρερμηνεύειν τὰς ἱερὰ Γραφάς.

Τὸν λαμπρᾶς ἁπτόμενον ὑποθέσεως καὶ τὸν νοῦν τῶν ἱερῶν Γραφῶν ἑρμηνεῦσαι πειρώμενον, χρὴ τὴν μὲν γλῶτταν ἔχειν σεμνήν τε καὶ τρανήν, τὴν δὲ γνώμην εὐσεβῆ τε καὶ εὐαγῆ, ἀκολουθεῖν τε αὐταῖς καὶ μὴ ἡγεῖσθαι, μηδὲ πρὸς τὸ οἰκεῖον βούλημα τὸν ἐκείνων νοῦν ἐκβιάζεσθαι. Τοῖς γὰρ παραποιεῖν καὶ παρερμηνεύειν τολμῶσι, κίνδυνος ἐπήρτηται μέγιστος, εἰς αὐτὴν τὴν ψυχὴν βλέπων.

ποὺ τὰ κάνουν. Ἴσως μάλιστα αὐτὸ νὰ τοῦ συνέβη ὅπως τοῦ ἄξιζε, γιατὶ χειροτόνησε ἐσένα, ἂν καὶ ἦσουν τέτοιος, καὶ δὲν διέφυγε τὴν τιμωρία. Γιατὶ αὐτὸς ποὺ ἄνοιξε τὸ στόμα ποὺ ἦταν κλεισμένο ἀπὸ τοὺς ἐκκλησιαστικοὺς θεσμούς, ὄχι μὲ πρέποντα τρόπο, τὸ ἄνοιξε, ὅπως φαίνεται, ἐναντίον του, καὶ νομίζοντας ὅτι ὅπλισε τὴν ἀπύλωτη γλώσσα ἐναντίον αὐτῶν ποὺ εὐδοκιμοῦν, τὴν ὅπλισε ἐναντίον του.

291.– ΣΤΟΝ ΓΕΡΜΑΝΟ

Γιὰ ἐκείνους ποὺ μὲ τὴ σωφροσύνη καὶ τὴν ἐγκράτεια στήνουν λαμπρά τρόπαια, καὶ γιὰ ἐκείνους ποὺ ἐξουσιάζονται τυραννικὰ ἀπὸ τὰ βαρβαρικὰ πάθη τοῦ σώματος καὶ καμαρώνουν γιὰ τὸν βαρβαρικὰ τρόπαιά τους.

Αὐτὸς βέβαια ὁ ὁποῖος, τὶς ἡδονὲς ποὺ ἀπὸ τοὺς πολλοὺς φαίνονται ὅτι εἶναι ἀκαταμάχητες, τὶς πολεμᾶ τυραννικὰ μὲ τὴ σωφροσύνη καὶ τὴν ἐγκράτεια, αὐτός, ἔχοντας τὴν ψυχή του ἐλεύθερη ἀπὸ κάθε αἰσχρὸ πάθος, πρέπει νὰ στολίζεται μὲ τρόπαια πολλὰ καὶ λαμπρά, ἐνῶ αὐτὸς ποὺ ἔχει κυριευθεῖ τελείως ἀπὸ τὶς ἡδονὲς καὶ ἐξουσιάζεται τυραννικὰ ἀπὸ τὰ βαρβαρικὰ πάθη τοῦ σώματος, καὶ καμαρώνει μὲ τὰ βαρβαρικὰ τρόπαια, αὐτὸς μοῦ φαίνεται πὼς καὶ ἠλίθιος εἶναι καὶ δουλοπρεπής. Γιατὶ ἀπὸ δειλία καὶ φόβο μεγαλύτερων κακῶν (ἂν καὶ εἶναι παράδοξο καὶ νὰ τὸ πῶ καὶ νὰ τὸ ἀκούσω), νομίζει πὼς εἶναι ἀνδρεῖος. Φοβούμενος δηλαδὴ τὴ δουλεία, πολεμᾶ ἢ τὸν ἑαυτό του ἢ τὰ παιδιά του.

292.– ΣΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟ ΔΑΝΙΗΛ

Ὅτι ἐπικρέμαται μέγιστος κίνδυνος γιὰ τὴν ψυχὴ ποὺ τολμᾶ νὰ παραποιεῖ καὶ νὰ παρερμηνεύει τὶς ἱερὲς Γραφές.

Αὐτὸς ποὺ καταπιάνεται μὲ λαμπρὴ ὑπόθεση καὶ προσπαθεῖ νὰ ἑρμηνεύσει τὸ νόημα τῶν ἁγίων Γραφῶν, πρέπει νὰ ἔχει τὴ γλώσσα του εὐπρεπῆ καὶ σαφῆ, καὶ τὴ διάθεσή του εὐσεβῆ καὶ ἁγνή, καὶ αὐτὲς νὰ ἀκολουθεῖ καὶ νὰ μὴ προηγεῖται, οὔτε νὰ ἐκβιάζει τὸ νόημα ἐκείνων νὰ συμφωνήσει μὲ τὴ δική του σκέψη. Γιατὶ σ᾽ αὐτοὺς ποὺ τολμοῦν νὰ τὶς παραποιήσουν καὶ νὰ τὶς παρερμηνεύσουν τοὺς περιμένει μέγιστος κίνδυνος, ποὺ ἀποβλέπει στὴν ψυχή.

ΣΛΓ'.– ΝΕΙΛΑΜΜΩΝΙ ΠΡΕΣΒΥΤΕΡΩ
Περὶ μέθης.

Φυσιολογεῖν μὲν ἐμοὶ οὐ πολλὴ σπουδή, ἵνα δὲ μή σε λυπήσω, γράφω. Ὅτι διὰ τὴν τῶν κράσεων διαφοράν, τινὲς μὲν τῶν μεθυόντων ὠχροὶ γίνονται καὶ θυμοειδεῖς, τινὲς δὲ πυρροὶ καὶ ὕφαιμοι, ἢ ὑπ' ἐκστάσεως, τοῦ αἵματος ὑπονοστήσαντος εἰς τὸ βάθος καὶ ὠχρὰν τοῦ προσώπου τὴν ἐπιφάνειαν καταλελοιπότος, ἢ τῆς κινήσεως τὸ ἐν βάθει θερμὸν εἰς τὴν ἐπιφάνειαν ἀνεκκαλεσαμένης. Εἴτε δ' οὕτω τις, εἴτ' ἐκείνως εἴη κεκραμένος, δύναται ὁ λογισμός, καθάπερ ἡνίοχος ἄριστος, ἢ μὴ συγχωρῆσαι ὅλως κινηθῆναι τὸ πάθος, ἢ κινηθὲν μεταρρυθμίσαι εἰς ἁρμονίαν καὶ πραότητα.

ΣΛΔ'.– ΠΕΤΡΩ
Περὶ τοῦ κακῶς κερδαίνειν, καὶ ὅτι βαρυτάτη ἡ ἐξ αὐτοῦ ζημία διά τε τὰ παρόντα καὶ τὰ μέλλοντα.

Οἱ πάντολμοι Ἰουδαῖοι οὐδεπώποτε ὑπομεμενηκότες αἰχμαλωσίαν ἀναχλήσεως ἄμοιρον, ἢ ταύτην τὴν μετὰ τὸν σταυρόν, οὐκ οἶδ' ὅπως, γνωσιμαχεῖν οὐκ ἀνέχονται, καὶ ταῦτα καὶ τῶν Γραφῶν καὶ τῶν πραγμάτων ἡμῖν μὲν μαρτυρούντων, ἐκείνων δὲ καταψηφιζομένων. Περιεῖναι οὖν συνεχωρήθησαν, ἵνα καὶ τὰς τοῦ πολέμου ἐκτραγῳδήσωσι συμφοράς, καὶ ὥσπερ αἰχμάλωτοι καὶ μαστιγίαι τὴν ὑφ' ἥλιον περιθέοντες, ἴδωσιν πανταχόσε ἀνθοῦν τοῦ σταυρωθέντος τὸ σέβας. Καὶ ταῦτα μὲν εἰς τοσοῦτον. Ἐπὶ δὲ τοῖς τολμῶσιν ὀρφανοὺς ἀδικεῖν, ἐκεῖνό φημι, ὅτι ὁ τῶν βασιλευόντων Βασιλεὺς καὶ τῶν κυριευόντων Κύριος «Ὁ δοῦλος μὲν γὰρ Ναβουχοδονόσορ», φησί, «καὶ ἐπὶ τὸν δοῦλόν μου Δαυίδ». Τὸν μὲν γὰρ ἀπὸ τῆς δεσποτείας μόνον οὕτω καλεῖ, τὸν δὲ καὶ ἀπὸ τῆς πολιτείας. Οὗτος πατὴρ τῶν ὀρφανῶν καὶ κριτὴς τῶν χηρῶν καλούμενος χαίρει. Ἐπὶ μὲν γὰρ τῶν ὑψηλῶν τὸ τῆς δεσποτείας ὄνομα τάττει, ἐπὶ δὲ τῶν ταπεινῶν τὸ τῆς κηδεμονίας. Ἐκείνων μὲν γὰρ δεσπότης εἶναι διαβεβαιοῦται, τούτων δὲ πατήρ.

293.- ΣΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟ ΝΕΙΛΑΜΜΩΝΑ
Γιὰ τὴ μέθη.

Γιὰ τὴ διερεύνηση τῶν φυσικῶν φαινομένων δὲν ἔχω ἰδιαίτερο ἐνδιαφέρον, ἀλλὰ γιὰ νὰ μὴ σὲ λυπήσω, σοῦ γράφω, ὅτι ἐξαιτίας τῆς διαφορᾶς τῆς θερμοκρασίας, μερικοὶ βέβαια ἀπὸ αὐτοὺς ποὺ μεθοῦν γίνονται χλωμοὶ καὶ θυμώδεις, καὶ ἄλλοι ξανθοὶ καὶ αἱματώδεις, ἢ ἀπὸ τὴ σύγχυση τοῦ νοῦ, ἐπειδὴ τὸ αἷμα ξαναγύρισε στὸ βάθος καὶ ἐγκατέλειψε τὴν ἐπιφάνεια τοῦ προσώπου ὠχρή, ἢ ἐπειδὴ ἡ κίνηση ἐπανέφερε τὴν θερμότητα τοῦ βάθους στὴν ἐπιφάνεια. Ὅμως εἴτε ἔτσι, εἴτε ἀλλιῶς εἶναι ἀναμιγμένος, ὁ λογισμὸς μπορεῖ, σὰν ἄριστος ἡνίοχος, ἢ νὰ μὴ ἀφήσει νὰ κινηθεῖ καθόλου τὸ πάθος, ἢ, ἐὰν κινηθεῖ, νὰ τὸ μεταβάλει σὲ ἁρμονία καὶ πραότητα.

294.- ΣΤΟΝ ΠΕΤΡΟ
Γιὰ τὸ κακὸ κέρδος, καὶ ὅτι εἶναι πάρα πολὺ βαρειὰ ἡ ζημιὰ ἀπὸ αὐτὸ γιὰ τὰ παρόντα καὶ τὰ μέλλοντα.

Οἱ ἀδιάντροποι Ἰουδαῖοι, ποὺ ποτὲ ἄλλοτε δὲν ὑπέστησαν αἰχμαλωσία ποὺ νὰ μὴ εἶχε τέλος, παρὰ μόνο αὐτὴν μετὰ τὴ σταύρωση, δὲν ξέρω γιατὶ δὲν δέχονται νὰ ἀναγνωρίσουν τὴν πλάνη τους, καὶ αὐτά, ἐνῶ καὶ οἱ Γραφὲς καὶ τὰ ἴδια τὰ πράγματα τὰ ἐπιβεβαιώνουν, ἐκεῖνοι τὰ καταδικάζουν. Τοὺς ἐπετράπη λοιπὸν νὰ περιέρχονται στὰ ξένα μέρη, ὥστε καὶ τὶς συμφορὲς τοῦ πολέμου νὰ διατραγωδοῦν, καὶ περιπλανώμενοι σὰν αἰχμάλωτοι καὶ ἐλεεινοὶ στὴν ὑφήλιο, νὰ δοῦν ὅτι παντοῦ ἀνθίζει τὸ σύμβολο τοῦ Σταυρωθέντος. Καὶ αὐτὰ βέβαια τόσο μόνο. Γιὰ ἐκείνους ὅμως ποὺ τολμοῦν νὰ ἀδικοῦν ὀρφανούς, λέγω τοῦτο· ὅτι ὁ Βασιλιὰς τῶν βασιλέων καὶ Κύριος αὐτῶν ποὺ ἐξουσιάζουν, λέγει· «Ὁ δοῦλος Ναβουχοδονόσορ», καὶ «στὸν δοῦλο μου Δαβίδ»[4α]. Τὸν ἕνα τὸν ὀνομάζει ἔτσι ἐξαιτίας μόνο τῆς βασιλικῆς του ἰδιότητας, ἐνῶ τὸν ἄλλον καὶ λόγω τῆς πολιτείας του. Αὐτὸς χαίρεται νὰ τὸν ὀνομάζουν πατέρα τῶν ὀρφανῶν καὶ δικαστὴ τῶν χηρῶν. Γιὰ τοὺς ὑψηλὰ βέβαια εὑρισκόμενους χρησιμοποιεῖ τὸ ὄνομα τῆς δεαποτείας, ἐνῶ γιὰ τοὺς ταπεινούς, τὸ ὄνομα τῆς κηδεμονίας. Γιατὶ γιὰ τοὺς πρώτους βεβαιώνει ὅτι εἶναι δεσπότης, ἐνῶ αὐτῶν πατέρας.

4α. Β΄ Βασ. 3, 18.

Μηδεὶς τοιγαροῦν ὀρφανὸν ἀδικείτω, τὸν πατέρα ἐννοῶν, μηδὲ χήραν καταπονείτω, τὸν κριτὴν φανταζόμενος, μηδὲ ἄλλον τινὰ πλεονεκτείτω, τὸν ἀδέκαστον κριτὴν ὀνειροπολῶν. Εἰ δέ τις συνέσεως χηρεύων καὶ τὰ παρόντα μόνον ὁρῶν, περὶ δὲ τὰ μέλλοντα τυφλώττων, κέρδη εἶναι νομίζει τὰς ἁρπαγάς, ἀκουέτω, ὅτι κἀνταῦθα πολλάκις κινδύνους ὠδίνουσιν αἱ πλεονεξίαι, καὶ οὐ μόνον τῶν ὑπαρχόντων στερίσκονται, ἀλλὰ καὶ τὴν ψυχὴν αὐτὴν προσαφαιροῦνται. Οὐ γὰρ εἴ τι λῆμμα, καὶ κάλλιστον, ἀλλ' ἐκεῖνο μόνον, ὃ τῷ καλῷ συμπέφυκε, τούτου δὲ ἀπόντος, ὁδῷ βαδίζει ἐπὶ τὰς συμφοράς. Ὥσπερ γὰρ ἐν θήρᾳ καὶ τὸ ἑλεῖν καλόν, καὶ τὸ διαμαρτεῖν κάλλιον (εἰ τὸ μὲν ἀκινδύνως, τὸ δὲ ἐπὶ τῷ χαλεπόν τι παθεῖν γίγνοιτο), οὕτω καὶ ἐπὶ τῶν κερδῶν. Αἰσχύνην γὰρ προσοφλισκάνουσι καὶ κινδύνους κληρονομοῦσιν, εἴ γε πλεονεκτεῖν, μετὰ τοῦ δικαίου τὰς εὐπορίας ἔχειν δυνάμενοι, ἐπιχειροῖεν. Εἰ δέ τις φαίη, Τίς οὐκ ἂν ἐθελήσειε λαμβάνων εὐπορεῖν; τίς δ' ἂν ἕλοιτο κερδήσας ἀπολωλέναι; φαίην ἄν. Τὸ γὰρ ἀφ' ὧν κινδυνεύειν περίεστι, κερδαίνειν ἐθέλειν, οὐ κέρδη θηρωμένων ἐστίν, ἀλλ' ἀδοξίας καὶ συμφορᾶς, ἐπειδὴ τῶν κερδῶν τὰ μὲν αἰσχρὰν ἔχει τὴν ὑπόθεσιν, τὰ δὲ ἐπικίνδυνον τὴν πλεονεξίαν. Εἴτε οὖν διὰ τὰ παρόντα, εἴτε διὰ τὰ μέλλοντα, βαρυτάτην τὴν ζημίαν τὸ κακῶς κερδαίνειν ἡγούμενοι, παντὶ σθένει τὴν ἀδικίαν φευγέτωσαν.

ΣΛΕ'.– ΧΑΙΡΗΜΟΝΙ, ΖΩΣΙΜΩ, ΜΑΡΩΝΙ
Ὅτι ἀθάνατος ἡ ψυχή.

Μή, νομίζοντες, ὦ βέλτιστοι, μετὰ τῶν σωμάτων σβέννυσθαι τὰς ψυχάς, ἀδεῶς ἁμαρτάνετε, ὡς δίκας μὴ ὑφέξοντες, ἀλλὰ παρὰ τοῦ κριτοῦ τὴν ἀλήθειαν μαθόντες, ὅτι καὶ ἀθάνατοί εἰσι καὶ δίκην ὑφέξουσι, παλινῳδίαν ᾄσατε. «Μὴ φοβηθῆτε», γάρ φησιν, «ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι» (αὕτη ἀναντίρρητος τῆς ἀθα-

Κανένας λοιπὸν νὰ μὴ ἀδικεῖ ὀρφανόν, σκεπτόμενος τὸν πατέρα, οὔτε νὰ ταλαιπωρεῖ χήρα, φέροντας στὸ νοῦ του τὸν κριτή, οὔτε ν' ἁρπάζει ἀπὸ κάποιον ἄλλον ἀπὸ πλεονεξία, ὀνειρευόμενος τὸν ἀδέκαστο κριτή. Ἐὰν ὅμως κάποιος ποὺ δὲν ἔχει σύνεση, βλέποντας μόνο τὰ παρόντα καὶ ὄντας τυφλὸς γιὰ τὰ μελλοντικά, νομίζει ὅτι οἱ ἁρπαγὲς εἶναι κέρδος, ἂς ἀκούσει, ὅτι καὶ ἐδῶ πολλὲς φορὲς οἱ πλεονεξίες ἐγκυμονοῦν κινδύνους, καὶ δὲν στεροῦν μόνο τὰ ὑπάρχοντα, ἀλλὰ ἀφαιροῦν καὶ τὴν ἴδια τὴν ψυχή. Γιατὶ κάθε κέρδος ἄδικο δὲν εἶναι καὶ ὅ,τι καλύτερο, ἀλλὰ μόνο ἐκεῖνο ποὺ συνυπάρχει μαζὶ μὲ τὸ καλό, ἐνῶ ὅταν αὐτὸ ἀπουσιάζει, βαδίζει κατ' εὐθεῖαν στὶς συμφορές. Ὅπως δηλαδὴ στὸ κυνήγι καὶ τὸ νὰ σκοτώσουμε κάτι εἶναι καλό, ἀλλὰ καὶ τὸ νὰ ἀποτύχουμε καλύτερο (ἐὰν βέβαια τὸ πρῶτο γίνει χωρὶς κίνδυνο, ἐνῶ τὸ δεύτερο μὲ τὸ νὰ πάθουμε κάτι κακό), ἔτσι καὶ μὲ τὰ κέρδη. Γιατὶ μᾶς χρεώνουν μὲ ντροπὴ καὶ μᾶς κληροδοτοῦν κινδύνους, ἐὰν βέβαια προέρχονται ἀπὸ πλεονεξίες, ἐνῶ ἐὰν τὰ πλούτη μποροῦμε νὰ τὰ ἔχουμε μὲ τρόπο δίκαιο, νὰ τὸ ἐπιχειροῦμε. Ἐὰν ὅμως κάποιος πεῖ· Ποιὸς δὲν θὰ ἤθελε παίρνοντας νὰ γίνει πλούσιος; Θὰ τοῦ ἔλεγα· Ποιὸς θὰ προτιμοῦσε κερδίζοντας νὰ χαθεῖ; Γιατί, τὸ νὰ θέλει κανεὶς νὰ κερδίσει ἀπὸ ἐκεῖνα στὰ ὁποῖα ὑπάρχει κίνδυνος, δὲν εἶναι κέρδη ἀνθρώπων ποὺ ἐπιδιώκουν νὰ τὰ ἀποκτήσουν, ἀλλὰ κέρδη ἀτιμίας καὶ συμφορᾶς, γιατὶ ἀπὸ τὰ κέρδη ἄλλα ἔχουν αἰσχρὴ τὴν προέλευση, καὶ ἄλλα ἐπικίνδυνη τὴν πλεονεξία. Εἴτε λοιπὸν γιὰ τὰ παρόντα, εἴτε γιὰ τὰ μέλλοντα, θεωρώντας πολὺ μεγάλη τὴ ζημιὰ τὸ νὰ κερδίσουν μὲ τρόπο κακόν, νὰ ἀποφεύγουν μὲ ὅλη τους τὴ δύναμη τὴν ἀδικία.

295.- ΣΤΟΥΣ ΧΑΙΡΗΜΟΝΑ, ΖΩΣΙΜΟ ΚΑΙ ΜΑΡΩΝΑ
Ὅτι ἡ ψυχὴ εἶναι ἀθάνατη.

Μή, φίλτατοί μου, νομίζοντας ὅτι μαζὶ μὲ τὸ σῶμα σβήνουν καὶ οἱ ψυχές, ἁμαρτάνετε ἄφοβα, μὲ τὴν ἐντύπωση ὅτι δὲν θὰ τιμωρηθεῖτε, ἀλλὰ μαθαίνοντας ἀπὸ τὸν κριτὴ τὴν ἀλήθεια, ὅτι καὶ ἀθάνατες εἶναι καὶ θὰ τιμωρηθοῦν, ψάλλετε τὴν ἐπωδό· γιατὶ λέγει· «Νὰ μὴ φοβᾶστε ἀπὸ ἐκείνους ποὺ σκοτώνουν τὸ σῶμα, ἐνῶ τὴν ψυχὴ δὲν μποροῦν νὰ τὴν σκοτώσουν» (αὐτὴ εἶναι μαρτυρία ποὺ δὲν ἐπιδέχεται ἀμφιβολία,

νασίας τῆς ψυχῆς ἡ μαρτυρία)· «φοβηθῆτε δὲ μᾶλλον τὸν δυνάμενον καὶ ψυχὴν καὶ σῶμα ἀπολέσαι ἐν γεέννῃ». Αὕτη καὶ τῆς ἀναστάσεως καὶ τῆς κολάσεως ἀψευδὴς ἀπόδειξις. Τὴν γὰρ τοῦ Δημιουργοῦ ἀπόφασιν πάσης ἀποδείξεως ἰσχυροτέραν χρὴ νομίζειν. Ὅτι δὲ καὶ ἐν τῇ Παλαιᾷ Διαθήκῃ οἱ εὐδόκιμοι καὶ λαμπροὶ τὴν τῆς ψυχῆς ἤδεσαν ἀθανασίαν, ἀκούσατε τῶν τριῶν παίδων ἐν τῇ καμίνῳ λεγόντων· «Εὐλογεῖτε πνεύματα καὶ ψυχαὶ δικαίων τὸν Κύριον». Ἀξιόπιστοι δὲ δήπουθέν εἰσιν, οἱ τὸν τύραννον μὴ φοβηθέντες, ἀλλὰ τὴν εὐσέβειαν ἐπιδειξάμενοι, καὶ τὸ πῦρ δυσωπήσαντες. Ὁ δὲ τῶν Σεραφὶμ θεωρὸς βοῶν, «Τίς ἀναγγελεῖ ὑμῖν ὅτι πῦρ καίεται;», τί ἄλλο, ἢ τὴν γέενναν καὶ τὴν τῶν ψυχῶν ἀθανασίαν καὶ τὴν τῶν σωμάτων ἀναβίωσιν κηρύττει;

Μὴ οὖν μύθους ἡγήσησθε τοὺς ἐπασθέντας ὑμῖν παρὰ τῆς Γραφῆς λόγους, ἀλλ' ἀνενέγκατε. Ἔξεστι γὰρ ἕως ἐνθάδε ἐσμέν. Οὐ γὰρ θέλει ὁ Θεὸς τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι αὐτὸν ἀπὸ τῆς ὁδοῦ αὐτοῦ τῆς πονηρᾶς καὶ ζῆν αὐτὸν τὴν ἀοίδιμον ζωήν. Εἰ γὰρ προφθάσομεν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει, τουτέστιν, εἰ πρὸ τῆς κυρίας διὰ πραγμάτων αὐτὰ ἀπολογησόμεθα, ἐν τῇ κρίσει ἐλεηθησόμεθα. Τὴν γὰρ τοῦ Δημιουργοῦ, ὡς ἔφην, ἀπόφασιν πάσης ἀποδείξεως ἰσχυροτέραν χρὴ νομίζειν.

ΣΗΣ'.– ΑΓΑΘΩΝΙ ΠΡΕΣΒΥΤΕΡΩ

Πῶς νοητέον τὸ εἰρημένον τῷ Ἀβραάμ,
«Πληθύνων πληθυνῶ».

Οὐρανίοις ἄστροις καὶ ψάμμῳ θαλαττίᾳ παρεικάσειν τὸ τοῦ Ἀβραὰμ ἐπηγγείλατο σπέρμα ὁ Θεός, μηνύων ὅτι τινὲς μὲν ἐξ αὐτῶν διαλάμψουσιν (οἷοι ἦσαν οἱ προφῆται καὶ οἱ δίκαιοι ἀπόστολοί τε καὶ οἱ ἐξ αὐτῶν πιστεύσαντες καὶ ἔργοις διαπρέψαντες, οἷς ὁ Σωτὴρ μὲν ἔφη, «Λαμψάτω τὸ φῶς ὑμῶν ἔμπρο-

5. Ματθ. 10,28. 6. Δαν. 3,86. 7. Ἡσ. 33,14.

ὅτι ἡ ψυχὴ εἶναι ἀθάνατη)· «φοβηθεῖτε περισσότερο αὐτὸν ποὺ μπορεῖ καὶ τὴν ψυχὴ καὶ τὸ σῶμα νὰ τὰ καταστρέψει στὴ γέεννα τῆς0 φωτιᾶς»[5]. Αὐτὴ εἶναι ἀδιάψευστη ἀπόδειξη καὶ τῆς ἀνάστασης καὶ τῆς κόλασης. Γιατὶ τὴν ἀπόφαση τοῦ Δημιουργοῦ πρέπει νὰ τὴν θεωροῦμε πιὸ ἰσχυρὴ ἀπὸ κάθε ἀπόδειξη. Ὅτι ὅμως καὶ στὴν Παλαιὰ Διαθήκη οἱ διακεκριμένοι καὶ οἱ ἔνδοξοι γνώριζαν τὴν ἀθανασία τῆς ψυχῆς, ἀκοῦστε τοὺς τρεῖς παῖδες στὴν κάμινο ποὺ λένε· «Εὐλογεῖτε, πνεύματα καὶ ψυχὲς τῶν δικαίων, τὸν Κύριο»[6]. Καὶ εἶναι ὁπωσδήποτε ἀξιόπιστοι αὐτοὶ ποὺ δὲν φοβήθηκαν τὸν τύρανο, ἀλλὰ ἐπιδεικνύοντας εὐσέβεια, ἔκαναν καὶ τὴ φωτιὰ νὰ τοὺς σεβασθεῖ. Καὶ ἐκεῖνος ποὺ εἶδε τὰ Σεραφείμ, φωνάζοντας, «Ποιὸς θὰ σᾶς ἀναγγείλει, ὅτι ὑπάρχει φωτιὰ ποὺ καίει»[7], τί ἄλλο κηρύττει, παρὰ τὴ γέεννα καὶ τὴν ἀθανασία τῶν ψυχῶν καὶ τὴν ἀναβίωση τῶν σωμάτων;

Νὰ μὴ θεωρεῖτε λοιπὸν μύθους τὰ λόγια ποὺ σᾶς ψάλθηκαν ἀπὸ τὴν ἁγία Γραφή, ἀλλὰ συνέλθετε. Γιατὶ εἶναι δυνατὸν ὅσο βρισκόμαστε ἐδῶ. Καθόσον ὁ Θεὸς δὲν θέλει τὸν θάνατο τοῦ ἁμαρτωλοῦ, ἀλλὰ νὰ ἐπιστρέψει ἀπὸ τὸν κακὸ δρόμο καὶ νὰ ζήσει τὴν αἰώνια ζωή[8]. Γιατί, ἂν προφθάσουμε τὸ πρόσωπό του μὲ ἐξομολόγηση, δηλαδή, ἐὰν πρὶν ἀπὸ τὴν κυρία κρίση τὰ ἐξομολογηθοῦμε αὐτὰ μὲ ἔργα, θὰ ἐλεηθοῦμε κατὰ τὴν κρίση. Γιατὶ πρέπει τὴν ἀπόφαση τοῦ Δημιουργοῦ, ὅπως εἶπα, νὰ τὴ θεωροῦμε πιὸ ἰσχυρὴ ἀπὸ κάθε ἄλλη ἀπόδειξη.

296.- ΣΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟ ΑΓΑΘΩΝΑ

Πῶς πρέπει νὰ ἐννοεῖται αὐτὸ ποὺ εἰπώθηκε στὸν Ἀβραάμ· «Θὰ πληθύνω ὑπερβολικὰ τοὺς ἀπογόνους σου»[9].

Ὁ Θεὸς ὑποσχέθηκε στὸν Ἀβραάμ, ὅτι οἱ ἀπόγονοί του θὰ μοιάσουν τὰ ἄστρα τοῦ οὐρανοῦ καὶ τὴν ἄμμο τῆς θάλασσας, δηλώνοντας ὅτι μερικοὶ ἀπὸ αὐτοὺς θὰ διαπρέψουν (ὅπως οἱ προφῆτες καὶ οἱ δίκαιοι καὶ οἱ ἀπόστολοι, καὶ ἐκεῖνοι ποὺ πίστεψαν σ' αὐτοὺς καὶ διέπρεψαν μὲ τὰ ἔργα τους, γιὰ τοὺς ὁποίους ὁ Σωτήρας εἶπε, «Ἂς λάμψει τὸ φῶς σας μπροστὰ στοὺς ἀνθρώπους»[10], ἐνῶ ὁ Ἀπόστολος, «Ἀ-

8. Ἰεζ. 33, 11. 9. Γεν. 16, 10.

σθεν τῶν ἀνθρώπων», ὁ δὲ Ἀπόστολος, «Ἐν οἷς φαίνεσθε ὡς φωστῆρες ἐν κόσμῳ»), τινὲς δὲ χαμαιπετεῖς καὶ χαμαίζηλοι ἁλώσονται, ἀβέβαιοί τε καὶ ὑπὸ παντὸς ἀνέμου περιφερόμενοι, οἵτινες καὶ ἐξευτελισθήσονται, ὡς ψάμμος θαλαττία τε καὶ ἄκαρπος λογισθέντες.

ΣΗΖ'.– ΠΑΥΛΩ

Παραινετικὴ πρὸς συμφιλίωσιν πρώην φίλων.

Εἰ μὲν ὡς διαλλαγησόμενοι οἱ πρώην φίλοι διαφέρονται, ἧττόν ἐστι κακόν, εἰ δὲ ὡς ἄσπονδοι διαμενοῦντες μεῖζον. Πλήν, ὅπως ἂν διακέοιντο, σπούδασον εἰς εἰρήνην θᾶττον αὐτοὺς συναλλάξαι, μήποτε καὶ χρόνος δυσχερέστερον τοῦτο κατασκευάσῃ.

ΣΗΗ'.– ΤΩ ΑΥΤΩ

Εἰς τὸ γεγραμμένον ἐν τῷ νόμῳ·
«Πένητα οὐκ ἐλεήσεις ἐν κρίσει».

Ὁ τῇ πενίᾳ εἰς φιλοπραγμοσύνην καταχρώμενος, οὐ μόνον ἐλέους τυχεῖν οὐκ ἂν εἴη δίκαιος, ἀλλὰ καὶ μίσους ἄξιός ἐστι. Δέον γὰρ τὰς ἡσυχίας ἄγοντα παρακαλεῖν, ἐγκλήματα ῥάπτει. Διὸ δὴ καὶ ἡ τῆς δικαιοσύνης πηγή, μὴ ἐλεεῖσθαι τὸν πένητα ἐν κρίσει ἐθέσπισεν, ἐλεεῖσθαι μὲν αὐτὸν βουλομένη, συκοφαντεῖν δὲ ἀπαγορεύουσα. Εἰ γὰρ ἐκεῖνο τὸ τοῦ ἱκέτου σχῆμα ἀφέμενος, τὸ τοῦ διαδίκου ἀναλαβεῖν τολμήσειε, τὸ δίκαιον κρατείτω παρὰ τῷ ψηφιζομένῳ. Κύριος μὲν γάρ ἐστιν ὁ ἐγκληθεὶς καὶ νικήσας μετὰ τὴν νίκην οἰκτεῖραι τὸν ἡττηθέντα, οὐ μὴν ὁ τῆς ψήφου κύριος δίκαιος ἂν εἴη λυμήνασθαι τὸ δίκαιον.

ΣΗΘ'.– ΘΕΩΝΙ ΕΠΙΣΚΟΠΩ

Ὅτι ὁ Θεὸς μόνον δύναται τὰ ἀνήκεστα νοσήματα θεραπεύειν.

Εἰ καὶ αὐτὴ καθ' ἑαυτὴν ἡ κακία Ζωσίμου δοκιμαζομένη,

---

11. Φιλιππ. 2, 16.

νάμεσα στοὺς ὁποίους λάμπετε στὸν κόσμο σὰν ἀστέρια»[11], ὅμως μερικοὶ προσκολλημένοι στὰ πράγματα τῆς γῆς καὶ ἄνθρωποι μὲ χαμερπεῖς ἐπιδιώξεις, θὰ κυριευθοῦν ἀπὸ τὸν ἐχθρό, ὡς ἀσταθεῖς καὶ παρασυρόμενοι ἀπὸ κάθε ἄνεμο, καὶ θὰ ἐξευτελισθοῦν, ὑπολογιζόμενοι σὰν τὴν ἄμο τῆς θάλασσας καὶ ἄκαρποι.

297.- ΣΤΟΝ ΠΑΥΛΟ

Συμβουλευτικὴ πρὸς συμφιλίωση πρώην φίλων.

Ἐὰν οἱ πρώην φίλοι διαφωνήσουν, μὲ τὴ διάθεση νὰ συμφιλιωθοῦν, τὸ κακὸ εἶναι μικρό, ἐὰν ὅμως τὸ κάνουν γιὰ νὰ παραμείνουν ἀδιάλλακτοι, τὸ κακὸ εἶναι μεγαλύτερο. Ὡστόσο, σὲ ὅποια κατάσταση καὶ ἂν βρίσκονται, προσπάθησε νὰ τοὺς συμφιλιώσεις τὸ γρηγορώτερο, μήπως ὁ χρόνος κάνει τὴ συμφιλίωση δυσκολώτερη.

298.- ΣΤΟΝ ΙΔΙΟ

Σ' αὐτὸ ποὺ εἶναι γραμμένο στὸν νόμο· «Φτωχὸν νὰ μὴ ἐλεήσεις κατὰ τὴ διάρκεια τῆς κρίσης»[12].

Αὐτὸς ποὺ κάνει κατάχρηση τῆς φτώχειας του καὶ ἀσχολεῖται μὲ ξένα πράγματα, ὄχι μόνο δὲν πρέπει νὰ ἐλεεῖται, ἀλλ' εἶναι καὶ ἄξιος μίσους. Γιατί, ἐνῶ πρέπει νὰ ζεῖ μὲ ἡσυχία καὶ νὰ παρακαλεῖ, σχεδιάζει ἐγκλήματα. Γι' αὐτὸ ἀκριβῶς καὶ ἡ πηγὴ τῆς δικαιοσύνης ὅρισε νὰ μὴ ἐλεεῖται ὁ φτωχὸς ὅταν δικάζεται, ποὺ θέλει βέβαια νὰ ἐλεεῖται, ἀλλ' ἀπαγορεύει νὰ συκοφαντεῖ. Γιατὶ ἐάν, ἀφήνοντας τὴν ἐμφάνιση ἐκείνη τοῦ ζητιάνου, τολμήσει νὰ ἀναλάβει τὸν ρόλο τοῦ διαδίκου, τότε τὸ δίκαιο νὰ εἶναι κυρίαρχο σ' αὐτὸν ποὺ ἀποφασίζει. Γιατὶ αὐτὸς ποὺ κατηγορήθηκε καὶ νίκησε, ἔχει τὸ δικαίωμα νὰ ἐλεήσει αὐτὸν ποὺ νικήθηκε, ὁ κύριος ὅμως τῆς ἀποφάσεως (ὁ δικαστὴς) δὲν ἔχει τὸ δικαίωμα νὰ βλάψει τὸ δίκαιο.

299.- ΣΤΟΝ ΕΠΙΣΚΟΠΟ ΘΕΩΝΑ

Ὅτι μόνον ὁ Θεὸς μπορεῖ νὰ θεραπεύει τὰ ἀθεράπευτα νοσήματα.

Ἂν καὶ αὐτὴ καθαυτὴ ἡ κακία τοῦ Ζωσίμου ἐξεταζόμενη, ὅπως

12. Ἐξ. 23, 6.

ὡς γέγραφας, χαλεπὴ τυγχάνει, καὶ τοῖς ἄλλοις παραβαλλομένη χαλεπωτέρα εὑρίσκεται, τὸ δὲ μηδὲ εἰδέναι αὐτὸν ὅτι νοσεῖ, χαλεπωτάτην αὐτὴν δείκνυσι, τί ἡμῖν ἐνοχλεῖς, ὡς δυναμένοις ἀνήκεστον θεραπεῦσαι νόσημα; Τοῦτο γὰρ Θεοῦ μόνου χρήζει, τοῦ καὶ παθῶν καὶ πάσης περιγινομένου κακίας.

Τ΄.– ΠΕΤΡΩ

Περὶ τῆς ἐν ταῖς δημηγορίαις παρρησίας τοῦ Παύλου.

Λίαν θαυμάζω τοῦ ἀοιδίμου Παύλου τὴν ἀνδρίαν, πῶς καὶ κρινόμενος ἐδημηγόρει, καὶ εὐθύνας ἀπαιτούμενος ἐδίδασκε. Διδασκάλου μὲν γάρ ἐστι τὸ μετ᾽ ἐξουσίας λέγειν, κρινομένου δὲ τὸ μετρεῖν τῷ καιρῷ τοὺς λόγους. Ἀλλ᾽ οὗτος εἰς τοὐναντίον ἐχώρει. Εἶχε γὰρ ἐν αὐτῷ τὸν τῆς σοφίας χορηγόν τε καὶ πρύτανιν.

ΤΑ΄.– ΑΡΧΟΝΤΙΩ ΠΟΛΙΤΕΥΟΜΕΝΩ

Περὶ τῶν αὐτῶν πραγμάτων, ἀλλὰ μὴ μετὰ τοῦ αὐτοῦ τόνου λεγομένων.

Ἔοικας ἀγνοεῖν, ὅτι τὸ αὐτὸ ῥῆμα καὶ τὸ αὐτὸ ὄνομα καὶ ὁ αὐτὸς λόγος, μὴ μετὰ τοῦ αὐτοῦ τόνου λεγόμενος, ποτὲ μὲν ἐμφαίνει λογισμοῦ, ποτὲ δὲ ὀργῆς καιρόν.

ΤΒ΄.– ΑΛΥΠΙΩ

Μεσολαβητική.

Ὁ φίλος ὁ σός, παύσων τοὺς ὀνειδίσαντας αὐτῶν τὴν πρός σὲ γεγενημένην αὐτῷ μικροψυχίαν, ἐκεῖσε ἀφῖκτο· ἦκε γὰρ τὴν νυνὶ φιλοφροσύνην οὐ μόνον καλύψων, ἀλλὰ καὶ σβέσων τὴν προλαβοῦσαν δυσμένειαν. Δέδεξο τοίνυν αὐτὸν ὑπτίαις χερσίν.

ΤΓ΄.– ΑΓΑΘΟΔΑΙΜΟΝΙ ΓΡΑΜΜΑΤΙΚΩ

Ὅτι οὐ χρὴ προπηδᾶν ἡ ὀργὴ τοῦ λογισμοῦ.

Εἰ καί τισιν ἴσως κολακεύουσί σε, ἔδοξε λογισμοῦ εἶναι, οὐκ ὀργῆς ἡ ἀπόκρισις, ἐμοὶ δοκεῖ θρασύτητος μᾶλλον εἶναι, ἢ θρά-

ἔγραψες, εἶναι φοβερή, καὶ συγκρινόμενη μὲ τὶς ἄλλες βρίσκεται φοβερώτερη, ἀλλὰ καὶ τὸ ὅτι αὐτὸς δὲν γνωρίζει ὅτι νοσεῖ, τὴν κάνει φοβερώτερη, τότε γιατί μὲ ἐνοχλεῖς, σὰν νὰ μπορῶ νὰ θεραπεύσω ἀθεράπευτη ἀρρώστια; Γιατὶ αὐτὴ ἔχει ἀνάγκη μόνο ἀπὸ τὸν Θεό, ὁ ὁποῖος νικᾶ καὶ τὰ πάθη καὶ κάθε κακία.

300.- ΣΤΟΝ ΠΕΤΡΟ

Γιὰ τὸ θάρρος τοῦ Παύλου κατὰ τὶς δημηγορίες του.

Θαυμάζω πολὺ τὴν ἀνδρεία τοῦ ἀείμνηστου Παύλου, ποὺ καὶ ὅταν ἀκόμα δικαζόταν ἀγόρευε, καὶ ἐνῶ ἦταν κατηγορούμενος, δίδασκε. Γιατὶ γνώρισμα τοῦ δασκάλου εἶναι νὰ μιλᾶ μὲ παρρησία, ὅταν ὅμως δικάζεται, νὰ μετρᾶ τὰ λόγια του ἀνάλογα μὲ τὴν περίσταση. Αὐτὸς ὅμως βάδιζε ἀντίθετα, γιατὶ εἶχε μέσα του τὸν χορηγὸ καὶ πρύτανη τῆς σοφίας.

301.- ΣΤΟΝ ΠΟΛΙΤΕΥΟΜΕΝΟ ΑΡΧΟΝΤΙΟ

Γιὰ τὰ ἴδια πράγματα, ἀλλὰ ποὺ δὲν λέγονται μὲ τὸν ἴδιο τόνο.

Μοιάζεις νὰ ἀγνοεῖς ὅτι τὸ ἴδιο ρῆμα, τὸ ἴδιο ὄνομα καὶ ὁ ἴδιος λόγος, ὅταν δὲν λέγεται μὲ τὸν ἴδιο τόνο, ἄλλοτε φανερώνει ἀποτέλεσμα συλλογισμοῦ, καὶ ἄλλοτε καρπὸ ὀργῆς.

302.- ΣΤΟΝ ΑΛΥΠΙΟ

Μεσολαβητική.

Ὁ φίλος σου ἔφτασε ἐκεῖ γιὰ νὰ σταματήσει αὐτοὺς ποὺ κατηγόρησαν τὴ μικροψυχία ποὺ ἔγινε ἀπὸ αὐτὸν πρὸς ἐσένα. Γιατὶ ἦρθε ὄχι μόνο γιὰ νὰ καλύψει τὴν τωρινὴ φιλοφροσύνη, ἀλλὰ καὶ νὰ σβήσει τὴν δυσαρέσκεια ποὺ προηγήθηκε. Νὰ τὸν δεχθεῖς λοιπὸν μὲ ἀνοιχτὲς ἀγκάλες.

303.- ΣΤΟΝ ΓΡΑΜΜΑΤΙΚΟ ΑΓΑΘΟΔΑΙΜΟΝΑ

Ὅτι δὲν πρέπει ἡ ὀργὴ νὰ ξεπηδᾶ πρὶν ἀπὸ τὸν λογισμό.

Ἂν καὶ σὲ κάποιους, ποὺ ἴσως σὲ κολακεύουν, ἡ ἀπάντηση φάνηκε πὼς ἦταν ἐνέργεια λογισμοῦ καὶ ὄχι ὀργῆς, ἐμένα μοῦ φαίνε-

σους ὁ καιρός. Διὸ δὴ παραινῶ σοι ἔμπροσθεν τῆς ὀργῆς τιθέναι τὸν λογισμόν, καὶ οὕτω καὶ λέγειν καὶ γράφειν. Εἰ γὰρ συγχωρήσειας αὐτῇ προπηδᾶν τοῦ λογισμοῦ, πάντα ἄνω καὶ κάτω ποιήσει.

ΤΔ'.– ΘΕΟΦΙΛΩ ΥΠΟΔΙΑΚΟΝΩ
Περὶ τῆς τοῦ μακαρίου Τιμοθέου φήμης.

Ὅτι μὲν τῇ πείρᾳ τὴν φήμην ὑπερέβη ὁ μακάριος Τιμόθεος καὶ κρείττων ἦν ἀκοῆς εἰς θέαν ἐρχόμενος, ἅπαντες οἱ τῆς μειλιχίου ἐκείνης ἀξιωθέντες συνουσίας ἴσασιν. Ὅτι δὲ καὶ αὐτὸς ηὐχόμην τοσοῦτον δυνηθῆναι φράσαι, ὁπόσον καὶ βούλομαι, οὐδείς, ὡς οἶμαι, ἀμφιβάλλει. Ἐπειδὴ εὔξασθαι μὲν ῥᾴδιον, τυχεῖν δὲ ἀπορώτερον, ἢ ὅσα πρόχειρον εὔξασθαι, ἐγὼ μὲν σιγήσω, σὺ δ', ἐξ ὧν ἀκριβῶς οἶσθα, τὸ ἐγκώμιον αὐτῷ ὑφάναι μὴ παραιτήσῃ.

ΤΕ'.– ΠΕΤΡΩ ΑΝΑΓΝΩΣΤΗ
Περὶ τῆς τῶν Ἰουδαίων συμφορᾶς καὶ τῆς ἀνὰ τὴν ὑφήλιον διασπορᾶς αὐτῶν.

Ὅτε οἱ ἁλιτήριοι Ἰουδαῖοι τῆς ἀγγελικῆς συμμαχίας, διὰ τὸ κατὰ τοῦ Δεσπότου τὴν πάντολμον ἐκείνην λύσσαν δεδραματουργηκέναι, ἐγυμνώθησαν, τότε δὴ τῇ Ῥωμαίων παραδοθέντες ἀσπίδι, τοσούτοι μὲν ἑάλωσαν, ὡς τοὺς τεθεαμένους ἀπιστεῖν, εἴ τις ἀπώλετο· τοσοῦτοι δὲ οἱ πεπτωκότες εὑρέθησαν, ὡς ἀπορεῖν ἅπαντας εἴ τις ἑάλωκεν. Ὅτε μὲν γὰρ περὶ τοὺς συνδούλους ἡ μανία ἐθήγετο, μετρίως ἐσωφρονίζετο, ὅτε δὲ κατὰ τοῦ Δεσπότου ἐμάνησαν, ὡς συγγνώμης μείζονα πταίσαντες, πανωλεθρίᾳ παρεδόθησαν. Οἱ μὲν γὰρ πυρὸς καὶ σιδήρου, οἱ δὲ λιμοῦ ἔργον ἐγένοντο, οἱ δὲ περιλειφθέντες διὰ τοῦτο περιεῖναι συνεχωρήθησαν, ἵνα καὶ τὰς τοῦ πολέμου τραγῳδήσωσι συμφοράς, καὶ ὥσπερ αἰχμάλωτοι μαστιγίαι τὴν ὑφ' ἡλίῳ περιιόντες, ἴδωσι πανταχόσε ἀνθοῦν σταυρωθέντος τὸ σέβας.

ται πὼς ἦταν καρπὸς θρασύτητας μᾶλλον ἢ θράσους. Γι' αὐτὸ λοιπὸν σὲ συμβουλεύω μπροστὰ ἀπὸ τὴν ὀργὴ νὰ βάζεις τὸν λογισμό, καὶ ἔτσι καὶ νὰ μιλᾶς καὶ νὰ γράφεις. Γιατί, ἂν ἐπιτρέψεις σ' αὐτὴν νὰ μπαίνει μπροστὰ ἀπὸ τὸν λογισμό, θὰ τὰ κάνει ὅλα ἄνω-κάτω.

304.- ΣΤΟΝ ΥΠΟΔΙΑΚΟΝΟ ΘΕΟΦΙΛΟ
Γιὰ τὴ φήμη τοῦ μακαρίου Τιμοθέου.

Ὅτι βέβαια μὲ τὴν πεῖρα ξεπέρασε τὴ φήμη ὁ μακάριος Τιμόθεος, καὶ ἦταν ἀνώτερος ἀπὸ τὴ φήμη ὅταν ἐμφανιζόταν, τὸ γνωρίζουν ὅλοι ὅσοι ἔγιναν ἄξιοι τῆς συναναστροφῆς μαζί του. Ὅτι ὅμως καὶ ἐγὼ εὐχόμουν νὰ μπορέσω νὰ μιλήσω τόσο πολύ, ὅσο καὶ θέλω, δὲν ἀμφιβάλλει νομίζω κανένας. Ἐπειδὴ ὅμως τὸ νὰ εὐχηθεῖς εἶναι εὔκολο, ἀλλὰ δυσκολώτερο νὰ ἐπιτύχεις περισσότερο ἀπὸ αὐτὸ ποὺ πρόχειρα μπορεῖς νὰ εὐχηθεῖς, ἐγὼ βέβαια θὰ σιωπήσω, σὺ ὅμως ἀπὸ ὅσα καλὰ γνωρίζεις, νὰ μὴ παραλείψεις νὰ πλέξεις τὸ ἐγκώμιο γι' αὐτόν.

305.- ΣΤΟΝ ΑΝΑΓΝΩΣΤΗ ΠΕΤΡΟ
Γιὰ τὴ συμφορὰ τῶν Ἰουδαίων καὶ τὴ διασπορὰ αὐτῶν σ' ὅλο τὸν κόσμο.

Ὅταν οἱ ἀσεβεῖς Ἰουδαῖοι στερήθηκαν τὴ συμμαχία τῶν ἀγγέλων, ἐπειδὴ διέπραξαν ἐκείνη τὴν πάντολμη λύσσα ἐναντίον τοῦ Δεσπότη, τότε λοιπόν, ἀφοῦ παραδόθηκαν στοὺς ἀσπιδοφόρους Ρωμαίους, αἰχμαλωτίσθηκαν τόσοι πολλοί, ὥστε αὐτοὶ ποὺ τοὺς εἶχαν δεῖ νὰ μὴ πιστεύουν, ὅτι κάποιος χάθηκε, καὶ βρέθηκαν τόσοι σκοτωμένοι, ὥστε νὰ ἀποροῦν ὅλοι, ἂν κάποιος αἰχμαλωτίσθηκε. Γιατὶ ὅταν ἡ μανία στρεφόταν ἐναντίον τῶν συνδούλων τους, γίνονταν ἠπιώτεροι, ὅταν ὅμως ἡ μανία τους στράφηκε ἐναντίον τοῦ Δεσπότη, ἐπειδὴ διέπραξαν ἀδικήματα ἀνώτερα ἀπὸ συγγνώμη, παραδόθηκαν σὲ πανωλεθρία. Γιατὶ ἄλλοι ἔγιναν θύματα τῆς φωτιᾶς καὶ τοῦ σιδήρου, ἄλλοι τῆς πείνας, καὶ ὅσοι ἀπέμειναν, γλύτωσαν γιὰ νὰ διεκτραγωδήσουν τὶς συμφορὲς τοῦ πολέμου, καὶ περιφερόμενοι σὰν αἰχμάλωτοι ἐλεεινοὶ στὴν ὑφήλιο, νὰ δοῦν παντοῦ νὰ ἀνθεῖ τὸ σύμβολο ἐκείνου ποὺ σταυρώθηκε.

ΤΣ΄.– ΚΥΡΙΛΛΩ ΕΠΙΣΚΟΠΩ

Ὅτι κανών ἐστι ἄφθογγος ὁ ὑπὸ τῶν θεσμῶν βασιλευόμενος ἱερεύς.

Ὥσπερ βασιλεὺς ὑπὸ τῶν νόμων ἀρχόμενος ἔμψυχός ἐστι νόμος, οὕτω καὶ ἱερεὺς ὑπὸ τῶν θεσμῶν βασιλευόμενος, κανών ἐστι ἄφθογγος.

ΤΖ΄.– ΗΣΑΪΑ ΣΤΡΑΤΙΩΤΗ

Ὅτι ἕκαστοι ἐκ τῶν καθ' ἑαυτούς, καὶ τὰς περὶ τῶν ἄλλων φέρουσι ψήφους.

Ὥσπερ οἱ γνήσιοι καὶ διάπυροι τῆς σωφροσύνης ἐρασταὶ ἐκ τῆς οἰκείας ἁγνείας, καὶ περὶ τῶν ἄλλων καὶ περὶ μὴ ὄντων τοιούτων πολλάκις καθαρὰς τὰς ψήφους φέρουσι, καὶ οὐδένα ἡγοῦνται ἀκόλαστον εἶναι, οὕτω καὶ οἱ τῷ τῆς ἀσελγείας οἴστρῳ λυττῶντες, ὧν εἷς καὶ αὐτός, ὡς φασι, τυγχάνεις, ἐκ τῆς σφῶν λαγνείας, καὶ τοὺς μὴ ὄντας τοιούτους, τοιούτους εἶναι ψηφίζονται. Ἕκαστοι γὰρ ἐκ τῶν καθ' ἑαυτούς, καὶ τὰς περὶ τῶν ἄλλων φέρουσι ψήφους.

ΤΗ΄.– ΑΜΜΩΝΙΩ ΤΡΙΒΟΥΝΩ

Περὶ τῆς μελλούσης κρίσεως.

Καὶ ὁ καιρὸς τῆς πανηγύρεως ἐπαληθεύων ἑαυτὸν εὐμοιρίᾳ φύσεως κεκόσμηται. Ἵνα γὰρ παρῶ τὸ τῶν ψυχῶν ἔαρ, τὸ μετὰ τὸν χειμῶνα τῶν ἁμαρτημάτων ἀνθῆσαν, οὐδὲ τὸ τῶν σωμάτων ἔξω θαύματος καθέστηκε. Τῆς γὰρ χειμερίου δυσκρασίας δεύτερον ὁρμηθέν, τῆς θερινῆς ὀχλήσεως προτρέχει, ἵνα δείξῃ, ὅτι ὁ τοῦ χειμῶνος τῶν ἁμαρτημάτων ἀπαλλαγείς, εἰ μὴ ἐαρινὴν καὶ βεβηκυῖαν κατάστασιν ἐν ἑαυτῷ φυλάξοι, τῷ πυρὶ τῆς κρίσεως παραδοθήσεται. Ὥσπερ γὰρ ἀνάγκη τινὶ μετὰ τὸ ἔαρ τὸ θέρος, οὕτω καὶ μετὰ τὴν ἀνεξικακίαν ἡ κρίσις πάντως ἐπιφοιτήσει.

306.- ΣΤΟΝ ΕΠΙΣΚΟΠΟ ΚΥΡΙΛΛΟ
Ὅτι εἶναι ἄφωνος κανόνας ὁ ἱερέας ποὺ κυβερνᾶται ἀπὸ τοὺς νόμους.

Ὅπως ὁ βασιλιάς, ὅταν ἐξουσιάζεται ἀπὸ τοὺς νόμους, εἶναι ζωντανὸς νόμος, ἔτσι καὶ ὁ ἱερέας, ὅταν κυβερνᾶται ἀπὸ τοὺς νόμους, εἶναι ἄφωνος κανόνας.

307.- ΣΤΟΝ ΣΤΡΑΤΙΩΤΗ ΗΣΑΪΑ
Ὅτι ὁ καθένας ἀπὸ τὸν ἑαυτό του ἐκφέρει τὴ γνώμη του καὶ γιὰ τοὺς ἄλλους.

Τοῖς ἐν τῇ σκηνῇ, ὦ βέλτιστε, σπουδὴ μεγίστη, οὐ τὸ σωφρονίζειν πολλοὺς τοῖς σκώμμασιν, ὡς ἔφης, σαυτὸν καὶ τοὺς ἀκούοντάς σου παραλογιζόμενος, ἀλλὰ τὸ πολλοὺς ἁμαρτάνειν. Ἐν γὰρ τῇ κακίᾳ τῶν θεατῶν τὴν εὐημερίαν ἔχουσιν, ὥστε, εἰ ἐκεῖνοι βελτίους γένοιντο, τούτοις ἂν ἀπόλοιτο ἡ τέχνη. Οὔτε οὖν εἰ ἔλοιντο ἐπανορθῶσαι τοὺς πταίοντας, καὶ βουληθεῖσιν, οὐχ οἷόν τε. Πέφυκε γὰρ αὐτοῖς ἐπὶ τὸ βλάπτειν ἡ μίμησις.

ΤΛΖ'.– ΘΕΟΔΟΣΙΩ ΕΠΙΣΚΟΠΩ

Ὅτι ὁ ἐξὸν σῶσαι, περιορῶν, τῆς ἀπωλείας αἴτιος.

Ὥσπερ ἰατρὸς ἄριστος τέχνῃ πρὸς συμμαχίαν τῆς ἀρρωστούσης φύσεως ὡπλισμένος, ὅταν πολύτροποι νοσημάτων ἰδέαι τὸ σῶμα πολιορκῶσι, πρὸς τὸ κατεπεῖγον ἱστάμενος (ὁ γὰρ ἐξὸν σῶσαι, περιορῶν, τῆς ἀπωλείας δηλονότι αἴτιος) τὰ ἀναβολὴν καὶ ὑπέρθεσιν ἐπιδεχόμενα τηρεῖ δεύτερα, ἵνα μὴ

διώκουμε. Ἐὰν δὲν τὰ κάνουμε ἀπὸ μόνοι μας, τότε δὲν πρέπει νὰ τιμωρηθοῦμε ὅταν ἁμαρτάνουμε, οὔτε νὰ δεχόμαστε στεφάνια ὅταν κάνουμε κατορθώματα. Βλέπεις ὅτι ἡ ταπεινότητα τοῦ ρήματος ὅταν λέγεται μὲ ὑπερβολή, πείθει καὶ τοὺς ἀγνώμονες νὰ δεχθοῦν μὲ εὐσεβῆ σκέψη τὸ ὕψος αὐτῶν ποὺ ἔχουν εἰπωθεῖ; Ἐὰν ὅμως ἐρευνήσεις καὶ τὸ ἀντίθετο, θὰ δεῖς ὅτι εἰπώθηκε ἔτσι, ὅπως ἑρμηνεύθηκε ἀπὸ μᾶς. Γιατὶ δὲν εἶπε, Ὁ Υἱὸς δὲν μπορεῖ νὰ κάνει τίποτε ἀπὸ μόνος του, ἐὰν δὲν πάρει ἀπὸ τὸν Πατέρα τὴ δύναμη (γιατὶ αὐτὸ πραγματικὰ ἔπρεπε νὰ ἀντιδιασταλεῖ ἀπὸ τὸ ὅτι δὲν μπορεῖ, ἐὰν βέβαια ἐπρόκειτο αὐτὸ ποὺ εἰπώθηκε νὰ τοῦ προσδώσει ἀδυναμία), ἀλλά τί; «Ἐὰν δὲν βλέπει τὸν Πατέρα νὰ κάνει κάτι». Βλέπεις πῶς κηρύττει τὴν ἰσοτιμία καὶ τὴν ἰσοδυναμία καὶ τὸ ὁμοούσιο;

336.- ΣΤΟΝ ΠΟΛΙΤΕΥΟΜΕΝΟ ΗΡΩΝΑ

Ὅτι φροντίδα τῶν θεατρίνων εἶναι ὄχι νὰ σωφρονίζουν μὲ τὰ ἀστειολογήματα τὰ πλήθη, ἀλλὰ τὸ νὰ ἁμαρτάνουν οἱ πολλοί.

Οἱ θεατρίνοι, φίλτατε, καταβάλλουν πολὺ μεγάλη προσπάθεια ὄχι νὰ σωφρονίσουν τὰ πλήθη μὲ τὰ ἀστειολογήματα, ὅπως εἶπες, ἐξαπατώντας τὸν ἑαυτό σου καὶ αὐτοὺς ποὺ σὲ ἀκοῦνε, ἀλλὰ τὸ νὰ ἁμαρτάνουν τὰ πλήθη. Γιατὶ μὲ τὴν κακία τῶν θεατῶν εὐημεροῦν, ἐνῶ ἐὰν ἐκεῖνοι γίνουν καλύτεροι, γι᾽ αὐτοὺς θὰ χαθεῖ ἡ τέχνη. Οὔτε λοιπὸν ἐὰν προτιμοῦσαν νὰ διορθώσουν αὐτοὺς ποὺ φταῖνε, καὶ νὰ θέλουν, δὲν εἶναι δυνατόν. Γιατὶ ἡ μίμηση ἀπὸ τὴ φύση της συντελεῖ στὴ βλάβη αὐτῶν.

337.- ΣΤΟΝ ΕΠΙΣΚΟΠΟ ΘΕΟΔΟΣΙΟ

Ὅτι ἐκεῖνος ποὺ μπορεῖ νὰ σώσει κάποιον καὶ ἀδιαφορεῖ, καθίσταται αἴτιος τῆς ἀπώλειάς του.

Ὅπως ὁ ἄριστος γιατρός, ὁπλισμένος μὲ τὴν τέχνη ποὺ ἀποβλέπει στὴ συμμαχία μὲ τὴν ἄρρωστη φύση, ὅταν ποικίλες ἰδέες ἀρρωστημάτων πολιορκοῦν τὸ σῶμα, ὄντας ἕτοιμος νὰ σπεύσει πρὸς βοήθεια (γιατὶ αὐτὸς ποὺ παραμελεῖ νὰ σώσει τὸν ἀσθενῆ, ἐνῶ μπορεῖ, εἶναι φανερὰ αἴτιος τῆς ἀπώλειας), θεωρεῖ δευτερεύοντα αὐτὰ ποὺ δὲν ἐπιδέχονται ἀναβολὴ καὶ μετάθεση, ἀπὸ φόβο μήπως, νομίζοντας

ταῦτα δόξας νενικηκέναι, ὑπ' ἐκείνου λάθῃ νικώμενος τοῦ καὶ τὴν δόξασαν γεγενῆσθαι νίκην εἰς ἧτταν περιτρέποντος, οὕτω καὶ αὐτός, τῇ συνέσει τὴν τῆς θεραπείας τῶν ψυχῶν ἐπιστήμην κεράσας, πρὸς τὸ κατεπεῖγον βλέψον. Ἐκείνου γὰρ ἰαθέντος, ἐλπὶς καὶ τὰ λοιπὰ συνιαθήσεσθαι.

ΤΛΗ'.– ΩΡΙΩΝΙ

Τί ἐστι, «Ὀργίζεσθε, καὶ μὴ ἁμαρτάνετε».

Αἱ μὲν τοῦ σώματος ἡδοναὶ στωμύλαι εἰσὶ καὶ δειναὶ γοητεῦσαι καὶ τὸν λογισμὸν τῆς ἡγεμονίας ἐκβάλλειν καὶ πάντα ἄνω καὶ κάτω ποιεῖν, ἀλλ' εἰ ὁ θυμὸς τῷ λογισμῷ συμμαχήσειε καὶ καθάπερ ὑπασπιστὴς βασιλεῖ ὑπακούσειε, ῥᾳδίως ἐκεῖναι καταγωνισθήσονται. Δικαίας γὰρ ὀργῆς κατ' αὐτῶν κινηθείσης οὐχ ὑποστήσονται τὴν ἀπειλήν, ἀλλὰ φροῦδοι οἰχήσονται, τὸ νικᾶν, τῷ νικᾶν ὀφείλοντι λογισμῷ ἐπιτρέψασαι. Καὶ τοῦτ' ἐστὶν ὅπερ ὁ Μελῳδὸς μὲν παρεκελεύσατο, σὺ δὲ μαθεῖν ἠθέλησας, «Ὀργίζεσθε, καὶ μὴ ἁμαρτάνετε».

ΤΛΘ'.– ΝΕΜΕΣΣΙΑΝΩ ΣΧΟΛΑΣΤΙΚΩ

Ὅτι οὐ χρὴ πᾶσαν τὴν Παλαιὰν εἰς τὸν Σωτῆρα μεταφέρειν.

Ὥσπερ Ἕλληνας καὶ Ἰουδαίους, καί εἴ τινες τὰ ἐκείνων ἐζήλωσαν, ἀσεβεῖς τε καὶ ἀνοήτους ὁρίζομαι, ἀποφαινομένους μηδὲν περὶ τοῦ Σωτῆρος τοὺς προφήτας εἰρηκέναι, οὕτω τοὺς πᾶσαν τὴν Παλαιὰν εἰς αὐτὸν μεταφέρειν πειρωμένους, οὐκ ἔξω αἰτίας τίθημι, ἅτε δὴ ἐν τῇ καθ' ἡμῶν μάχῃ τρόπον τινὰ τοῖς διαδίκοις συμπράττοντας. Τῷ γὰρ ἐλέγχεσθαι παρ' ἐκείνων περὶ αὐτοῦ μὴ εἰρημένα, εἰς αὐτὸν ἕλκειν ἐκβιαζόμενοι, τούτων κἂν τοῖς περὶ αὐτοῦ ἀληθῶς καὶ διαρρήδην εἰρημένοις ὑπόνοιαν τίκτουσι. Χρὴ δ' οὐχ οὕτως, ἀλλὰ τὰ μὲν εἰς αὐτὸν εἰρημένα σαφῶς λέγειν, τὰ δὲ περὶ ἄλλων πραγμάτων ἐᾶν περὶ ἐκείνων

39. Ψαλμ. 4, 5.

πὼς τὰ νίκησε, χωρὶς νὰ τὸ καταλάβει νικηθεῖ ἀπὸ ἐκεῖνον, ποὺ καὶ αὐτήν, ποὺ θεωρήθηκε ὅτι εἶναι νίκη, τὴν μετατρέπει σὲ ἧττα, ἔτσι καὶ σύ, ἀναμιγνύοντας στὴ σύνεση τὴ γνώση τῆς θεραπείας τῶν ψυχῶν, στρέψε τὸ βλέμμα σου πρὸς ἐκεῖνο ποὺ εἶναι κατεπεῖγον. Γιατί, ἐὰν ἐκεῖνο θεραπευθεῖ, ὑπάρχει ἐλπίδα νὰ θεραπευθοῦν μαζὶ μ᾽ αὐτὰ καὶ τὰ ὑπόλοιπα.

338.– ΣΤΟΝ ΩΡΙΩΝΑ

Τί σημαίνει, «Νὰ ὀργίζεσθε, ἀλλὰ νὰ μὴ ἁμαρτάνετε»[39].

Οἱ σωματικὲς ἡδονὲς εἶναι γλαφυρὲς καὶ φοβερὲς στὸ νὰ γοητεύσουν καὶ νὰ διώξουν τὸν λογισμὸ ἀπὸ τὴν ἡγεμονία καὶ νὰ κάνουν τὰ πάντα ἄνω κάτω, ἐὰν ὅμως ὁ θυμὸς συμμαχήσει μὲ τὸν λογισμὸ καὶ σὰν ὑπασπιστὴς ὑπακούσει στὸν βασιλιά, εὔκολα ἐκεῖνες θὰ ὑπερνικηθοῦν. Ἐὰν δηλαδὴ κινηθεῖ ἐναντίον τους δίκαια ὀργή, δὲν θὰ ἀντέξουν τὴν ἀπειλή, ἀλλὰ θὰ φύγουν καὶ θὰ γίνουν ἄφαντες, ἀφήνοντας τὴ νίκη στὸν λογισμὸ ποὺ ὀφείλει νὰ νικᾶ. Καὶ αὐτὸ εἶναι ἐκεῖνο ποὺ συμβούλεψε ὁ Ψαλμωδός, καὶ σὺ θέλησες νὰ μάθεις· «Νὰ ὀργίζεσθε, ἀλλὰ νὰ μὴ ἁμαρτάνετε»[39α].

339.– ΣΤΟΝ ΣΧΟΛΑΣΤΙΚΟ ΝΕΜΕΣΣΙΑΝΟ

Ὅτι δὲν πρέπει νὰ μεταφέρουμε ὅλη τὴν Παλαιὰ στὸν Σωτήρα.

Ὅπως τοὺς Ἕλληνες καὶ τοὺς Ἰουδαίους καὶ κάποιους ἄλλους ποὺ ζήλεψαν τὰ δικά τους, τοὺς χαρακτηρίζω ἀσεβεῖς καὶ ἀνόητους, γιατὶ διακηρύττουν, ὅτι οἱ προφῆτες δὲν ἔχουν πεῖ τίποτε γιὰ τὸν Σωτήρα, ἔτσι καὶ αὐτοὺς ποὺ προσπαθοῦν νὰ ἀποδώσουν ὅλη τὴν Παλαιὰ Διαθήκη σ᾽ αὐτόν, δὲν τοὺς ἀπαλλάσσω ἀπὸ τὴν κατηγορία, ἐπειδὴ στὴ μάχη ποὺ γίνεται ἐναντίον μας συμφωνοῦν κατὰ κάποιον τρόπο μὲ τοὺς ἀντιδίκους μας. Γιατὶ μὲ τὸ νὰ ἐλέγχονται ἐκεῖνοι, ὅτι ἀποδίδουν μὲ τὴ βία σ᾽ αὐτὸν πράγματα ποὺ δὲν ἔχουν εἰπωθεῖ γι᾽ αὐτόν, δημιουργοῦν ἐξαιτίας αὐτῶν ὑπόνοια καὶ γι᾽ αὐτὰ ποὺ ἔχουν λεχθεῖ πραγματικὰ καὶ ἀπερίφραστα γι᾽ αὐτόν. Δὲν πρέπει ὅμως νὰ γίνεται αὐτό, ἀλλ᾽ αὐτὰ ποὺ ἀναφέρονται σ᾽ αὐτόν, νὰ τὰ λέμε καθαρά, ἐνῶ ἐκεῖνα ποὺ ἔχουν λεχθεῖ γιὰ ἄλλα πράγματα νὰ τὰ ἀφήνουμε

39α. Ὅπ. π.

εἰρῆσθαι, περὶ ὧν εἴρηται. Οὗτος γὰρ καὶ ἀληθείας καὶ ἀποδείξεως ὅρος, οἱ δὲ τὰ μὴ προσήκοντα προφέροντες, καὶ τὰ προσήκοντα ἀνατρέπεσθαι παρασκευάζουσι.

ΤΜΘ'.– ΖΩΣΙΜΩ ΠΡΕΣΒΥΤΕΡΩ

Ὅτι οὐδὲν παραβλάπτεται ὁ δεχόμενος, οὐδὲ χραίνεται τὰ ἄχραντα μυστήρια, εἰ ὁ ἱερεὺς ἀνάξιός ἐστιν.

Ἀνὴρ ἐλλόγιμος, καὶ ὀρθὸς μὲν τὸν τρόπον, λαμπρὸς δὲ τὸν βίον (τὸ γὰρ καὶ ἀξιώματι αὐτὸν λαμπρῷ κεκοσμῆσθαι παρήσω· σκιὰ γὰρ τοῦτο καὶ ὄναρ), ἐντυχὼν ἡμῖν ἀπήγγειλεν, ὅτι προσῆλθε μὲν τῷ σεπτῷ θυσιαστηρίῳ τῶν θείων μυστηρίων μεταληψόμενος, θεασάμενος δέ σε αὐτῷ παρεστῶτα, ἄνθρωπον πρεσβύτην μὲν τὴν ἡλικίαν, πρεσβύτερον δὲ τὴν ἀξίαν, ἀκμάζοντα δὲ τῇ λαγνείᾳ καὶ πάντας τοὺς ἐπ' ἀσελγείᾳ βεβοημένους ὑπερακοντίσαντα, εἰς τοὐπίσω κεχώρηκε, μὴ ἀξιώσας τὰ ἱερὰ μυστήρια διὰ μιαρᾶς χειρὸς δέξασθαι. Ἐγὼ δ' ὅπως μὲν ἐπλήγην τὴν ψυχὴν ταῦτα ἀκούσας, παρήσω, ἃ δ' ἐκεῖνον κατὰ κράτος ἐμεμψάμην, λέξω. Οὐδέν, ἔφην, ὦ σοφώτατε, παραβλάπτεται ὁ δεχόμενος, εἰ καὶ ὁ διδοὺς ἀνάξιος εἶναι δοκοίη, οὐδὲ τὰ ἄχραντα χραίνεται μυστήρια, εἰ ὁ ἱερεὺς πάντας ἀνθρώπους εἰς κακίαν παρελάσειεν. Εἰ δ' ἀπιστεῖς, ἐννόει τὸν κόρακα, τὸ ἀκάθαρτον καὶ μισότεκνον ζῶον, δι' οὗ ὁ οὐρανοδρόμος καὶ οὐρανοπολίτης Ἠλίας ἐτρέφετο. Καὶ ἄλλα δὲ πολλὰ ἔφην, ἅπερ γράψαι σοι δυεῖν ἕνεκεν παρῃτησάμην, τοῦ τε μὴ μῆκος περιττὸν τῇ ἐπιστολῇ προσθεῖναι, τοῦ τε μὴ δόξαι λίαν τὰ σὰ ἐκτραγῳδεῖν κακά. Ὥσπερ τοίνυν ἐκείνῳ ἐμεμψάμην, οὕτω καὶ σοὶ παραινῶ, ἢ μεταγνῶναι, ἢ ἀποστῆναι τοῦ σεπτοῦ θυσιαστηρίου, ἵνα μὴ τοὺς προσιέναι αὐτῷ προῃρημένους διὰ τῶν σαυτοῦ πράξεων ἀπελαύνοις.

ΤΜΑ'.– ΠΑΥΛΩ

Εἰς τὸ γεγραμμένον· «Οὐκ ἐπ' ἄρτῳ μόνον ζήσεται ἄνθρωπος».

Ἐπειδὴ Ἑβραῖοι τεσσαράκοντα ἔτη τῷ μάννα τρεφόμενοι

νὰ λέγονται γιὰ ἐκείνους ποὺ ἔχουν εἰπωθεῖ. Γιατὶ αὐτὸς εἶναι ὁ ὅρος τῆς ἀλήθειας καὶ τῆς ἀπόδειξης, ἐνῶ αὐτοὶ ποὺ προβάλλουν αὐτὰ ποὺ δὲν πρέπει, κάνουν νὰ ἀμφισβητοῦνται καὶ αὐτὰ ποὺ πρέπει.

340.- ΣΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟ ΖΩΣΙΜΟ

Ὅτι δὲν βλάπτεται καθόλου ὁ δεχόμενος τὰ ἄχραντα μυστήρια, οὔτε μολύνονται αὐτὰ ἂν ὁ ἱερέας εἶναι ἀνάξιος.

Κάποιος ἄνδρας λόγιος, σωστὸς στοὺς τρόπους, καὶ λαμπρὸς στὴ ζωὴ (γιατὶ θὰ παραλείψω τὸ ὅτι εἶναι στολισμένος καὶ μὲ λαμπρὸ ἀξίωμα, γιατὶ αὐτὸ εἶναι σκιὰ καὶ ὄνειρο), συναντώντας με τυχαῖα, μοῦ εἶπε, ὅτι πῆγε στὸ ἅγιο θυσιαστήριο τῶν θείων μυστηρίων γιὰ νὰ κοινωνήσει, ἀλλὰ βλέποντάς σε νὰ παρουσιάζεσαι σ᾽ αὐτόν, ἐνῶ εἶσαι ἄνθρωπος ἡλικιωμένος καὶ πρεσβύτερος στὸ ἀξίωμα, νὰ ἐπιδίδεσαι στὶς σαρκικὲς ἀπολαύσεις καὶ νὰ ξεπερνᾶς ὅλους τοὺς διαβόητους στὴν ἀσέλγεια, γύρισε πίσω, χωρὶς νὰ ἀξιωθεῖ νὰ δεχθεῖ τὰ ἱερὰ μυστήρια ἀπὸ χέρι βέβηλο. Ἐγὼ τὸ πόσο πληγώθηκα ψυχικὰ ἀκούοντάς τα αὐτά, τὸ ἀφήνω, θὰ σοῦ πῶς ὅμως αὐτὰ ποὺ εἶπα σ᾽ ἐκεῖνον ἐπικρίνοντάς τον δριμύτατα. Καθόλου, εἶπα, σοφώτατε, δὲν βλάπτεται αὐτὸς ποὺ δέχεται τὰ μυστήρια, κι᾽ ἂν ἀκόμα αὐτὸς ποὺ τὰ δίνει φαίνεται νὰ εἶναι ἀνάξιος, οὔτε τὰ ἄχραντα μυστήρια μολύνονται, ἐὰν ὁ ἱερέας ὅλους τοὺς ἀνθρώπους τοὺς ὁδηγήσει στὴν κακία. Ἐὰν ὅμως δὲν πιστεύεις, σκέψου τὸν κόρακα, τὸ ἀκάθαρτο καὶ μισότεκνο πτηνό, ἀπὸ τὸν ὁποῖο τρεφόταν ὁ οὐρανοδρόμος καὶ οὐρανοπολίτης Ἠλίας. Εἶπα κι᾽ ἄλλα πολλά, τὰ ὁποῖα ἀπέφυγα νὰ σοῦ γράψω γιὰ δύο λόγους, καὶ γιὰ νὰ μὴ προσθέσω στὴν ἐπιστολή μου περιττὸ μῆκος, καὶ γιὰ νὰ μὴ φανεῖ ὅτι διεκτραγωδῶ πολὺ τὰ δικά σου κακά. Ὅπως λοιπὸν κατηγόρησα ἐκεῖνον, ἔτσι συμβουλεύω καὶ σένα, ἢ νὰ μετανοήσεις, ἢ νὰ ἀπομακρυνθεῖς ἀπὸ τὸ θεῖο θυσιαστήριο, γιὰ νὰ μὴ διώχνεις μὲ τὶς πράξεις σου ἐκείνους ποὺ θέλουν νὰ προσέλθουν σ᾽ αὐτό.

341.- ΣΤΟΝ ΠΑΥΛΟ

Σ᾽ αὐτὸ ποὺ ἔχει γραφεῖ· «Ὁ ἄνθρωπος δὲν θὰ ζήσει μόνο μὲ ψωμί».

Ἐπειδὴ οἱ Ἑβραῖοι ἐπὶ σαράντα χρόνια τρέφονταν μὲ τὸ μάννα,

οὐκ ἀξιοπίστῳ, ὅσον κατ' ἀνθρώπινον λογισμόν, πρὸς ἰσχὺν σωμάτων τυγχάνοντι, διέμενον ἐπὶ τῆς ἴσης ἀλκῆς τε καὶ ῥώμης, ἴσως δὲ καὶ μείζονος ἀπέλαυον δυνάμεως (οὐ γὰρ ἡ τροφή, ἀλλ' ὁ θεῖος ὅρος διεκράτει καὶ τὰς ψυχὰς καὶ τὰ σώματα), ἔφη ὁ νομοθέτης, ὅπερ μαθεῖν ἠθέλησας· «Οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ' ἐπὶ παντὶ ῥήματι ἐκπορευομένῳ διὰ στόματος Θεοῦ», ὅπερ καὶ ὁ Χριστὸς διακρουόμενος τὸ διαβολικὸν μηχάνημα, προεβάλλετο, καὶ κατέσειε τοῦ πειράζοντος τὴν ἰσχύν.

ΤΜΒ'.– ΘΕΩΝΙ
Περὶ Ἀρειανῶν καὶ Εὐνομιανῶν.

Λανθάνουσιν αἱρετικοὶ δι' ὧν κατασκευάζουσι, διὰ τούτων ἁλισκόμενοι, καὶ δι' ὧν νικᾶν οἴονται, διὰ τούτων λαμπρῶς ἡττώμενοι. Εἰ γὰρ κτίσμα ἐστὶν ὁ Υἱός, οὐδὲ τὸ «μεῖζον» κατ' αὐτοὺς ἵσταται. Τὸ γὰρ «μεῖζον» λέγεται ἐκ συγκρίσεως, καὶ οὐκ ἐκ τῆς ἀσυγκρίτου ὑπεροχῆς. Ποίαν οὖν σύγκρισιν ἔχει τὸ κτίσμα πρὸς τὸν Κτίστην; λεγέτωσαν οἱ σοφοί.

ΤΜΓ'.– ΠΕΤΡΩ
Περὶ συνέσεως.

Οὐ μικρὸν συνετὸς ἀκροατής, ὁ μὴ μόνον θαύματι διακόπτων τοῦ λόγου τὸν δρόμον, ἀλλὰ καὶ ἐπινοῶν τὰ δυσθεώρητα, καί τι παρ' ἑαυτοῦ εἰσφέρειν δυνάμενος. Ὅτι δὲ οὐ μικρὸν μετὰ τῶν ἄλλων τῶν μεγάλων καὶ ἐξαιρέτων, ὧν ἠπείλησεν ὁ Θεὸς ἀπὸ τῆς Ἱερουσαλὴμ παραιρεῖσθαι, καὶ τὸν συνετὸν ἀκροατὴν ἐνέταξεν, οὐκ ἂν τοῦτο φήσας, εἰ μηδὲν μέγα συνετέλει. Διὸ καὶ Παροιμιαστὴς ἔφη, «Οὗς ἀκροατοῦ, ἐπιθυμία σοφοῦ». Οὐ γὰρ πολλοὺς πόνους, οὔθ' ἱδρῶτας αὐτῷ παρέχει, ἀλλ' ἀφορμὰς μόνον καὶ σπέρματα ἀπαιτεῖ. Πρὸς γὰρ τὴν γεωργίαν ἡ σύνεσις ἀρκεῖ.

---

40. Ματθ. 4, 4.

πού δέν εἶναι ἄξια ἐμπιστοσύνης, σύμφωνα μέ τή λογική τῶν ἀνθρώπων, γιά τήν ἐνδυνάμωση τῶν σωμάτων, παρέμεναν στήν ἴδια σωματική εὐρωστία καί δύναμη, ἴσως μάλιστα νά εἶχαν καί μεγαλύτερη δύναμη (γιατί τίς ψυχές καί τά σώματα δέν τά συγκρατοῦσε ἡ τροφή, ἀλλά ὁ θεῖος λόγος), ὁ νομοθέτης εἶπε αὐτό πού θέλησες νά μάθεις· «Ὁ ἄνθρωπος δέν θά ζήσει μόνο μέ ψωμί, ἀλλά μέ κάθε λόγο πού βγαίνει ἀπό τό στόμα τοῦ Θεοῦ»[40], τό ὁποῖο προέβαλλε καί ὁ Χριστός, ἀντικρούοντας τή διαβολική σκευωρία, καί συγκλόνιζε τή δύναμη ἐκείνου πού ὑπέβαλλε τούς πειρασμούς.

342.- ΣΤΟΝ ΘΕΩΝΑ
Γιά τούς Ἀρειανούς καί Εὐνομιανούς.

Οἱ αἱρετικοί δέν καταλαβαίνουν ὅτι μέ αὐτά πού ἐπινοοῦν, μέ αὐτά τά ἴδια συλλαμβάνονται, καί μέ αὐτά πού νομίζουν ὅτι νικοῦν, μέ αὐτά νικῶνται περίλαμπρα. Γιατί, ἄν ὁ Υἱός εἶναι κτίσμα, τότε, σύμφωνα μέ αὐτούς, οὔτε καί τό «μεγαλύτερο» στέκεται. Γιατί τό μεγαλύτερος ἀναφέρεται στή σύγκριση καί ὄχι στήν ἀσύγκριτη ὑπεροχή. Ἄς μᾶς ποῦν λοιπόν οἱ σοφοί, ποιά σύγκριση ἔχει τό κτίσμα μέ τόν Κτίστη;

343.- ΣΤΟΝ ΠΕΤΡΟ.
Γιά τή σύνεση.

Δέν εἶναι λίγο συνετός ὁ ἀκροατής, πού δέν διακόπτει μόνο μέ θαῦμα τήν πορεία τοῦ λόγου, ἀλλά καί κατανοεῖ αὐτά πού εἶναι δυσκολονόητα, καί μπορεῖ νά προσφέρει κάτι ἀπό τόν ἑαυτό του. Ὅτι βέβαια δέν εἶναι μικρό, φαίνεται ἀπό τό ὅτι, μαζί μέ τούς ἄλλους μεγάλους καί ἐξαίρετους, πού ἀπείλησε ὁ Θεός ὅτι θά ἀπομακρύνει ἀπό τήν Ἰερουσαλήμ, συμπεριέλαβε καί τόν συνετό ἀκροατή, καί δέν θά τό ἔλεγε αὐτό, ἄν ὁ συνετός δέν συντελοῦσε πολύ. Γι' αὐτό καί ὁ συγγραφέας τῶν Παροιμιῶν εἶπε· «Τό αὐτί τοῦ ἀκροατῆ, εἶναι ἐπιθυμία τοῦ σοφοῦ»[41]. Γιατί δέν τοῦ προκαλεῖ πολλούς κόπους, οὔτε ἱδρῶτες, ἀλλά ζητᾶ μόνο ἀφορμές καί σπόρους. Γιατί ἀρκεῖ γιά τήν καλλιέργεια ἡ σύνεση.

---

41. Παροιμ. 25, 12.

ΤΜΔ'.– ΙΕΡΑΚΙ ΛΑΜΠΡΟΤΑΤΩ
Ἐπαινετική.

Ἴσθι, ὦ καθαρότητος τέμενος, ὡς ᾄδῃ κατὰ πᾶσαν τὴν πόλιν. Παράδοξον γὰρ ἔργον ἀνύσας, παραδοξότερον αὐτὸ πεποίηκας τῷ τάχει. Ἦν μὲν γὰρ καὶ αὐτὸ καθ' ἑαυτὸ μέγα, τὸ δὲ τάχος μεῖζον, μᾶλλον δὲ μέγιστον αὐτὸ ἔδειξε, κοσμῆσαν τὴν χάριν καὶ χαριεστέραν πεποικός. Διάλαμπε τοίνυν ἐν τοῖς τούτοις κατορθώμασι. Πρέπει γάρ σοι.

ΤΜΕ'.– ΑΡΠΟΚΡΑ ΣΟΦΙΣΤΗ
Περὶ τῆς δυνάμεως τοῦ θείου κήρυγματος.

Εἰ ἀγχίνοια ἀνθρώπου τῆς τῶν γραμμάτων εἰδήσεως προκρίνεται, τί θαυμαστὸν εἰ οἱ ἀπόστολοι, ἰδιῶται ὄντες καὶ ἀγράμματοι, τῆς θείας ἐμπεπλησμένοι σοφίας, καὶ τῶν διαλεκτικῶν καὶ τῶν ῥητόρων ἐκράτησαν; Εἰ γὰρ τὸν μὲν ἀναγινώσκοντα μὴ εἰδέναι τὴν ἑρμηνείαν εἰκός, τὸν δ' ἀγνοοῦντα τῶν γραμμάτων τοὺς χαρακτῆρας τὸν νοῦν ἐπίστασθαι τῶν γεγραμμένων ἀδύνατον, ἀλλ' ἔστι πολλάκις ἀναγινώσκοντα μὴ εἰδέναι τὸν νοῦν, τὸν δ' ἀκούοντα ὀξύτερον ὄντα καὶ συνέσει διαφέροντα εἰδέναι, καίτοι τῶν γραμμάτων μὴ ἐπιστάμενον τοὺς χαρακτῆρας. Ὧ γὰρ ἀδύνατος ἡ κατάληψις τῶν ἐγκειμένων διὰ τὴν ἄγνοιαν τῶν στοιχείων, τούτῳ ἡ σύνεσις ἀκμάζει πολλάκις ἄλλων ἀναγινωσκόντων. Εἰ τοίνυν ἀγχίνοια τῆς ἐπιστήμης κρατεῖ, πῶς οὐ θεία σοφία λόγων τέχνης περιέσται;

ΤΜΣ'.– ΛΑΜΠΕΤΙΩ ΕΠΙΣΚΟΠΩ
Περὶ τοῦ βωμοῦ.

Ἐπειδὴ ἄμαχος καὶ ἀναντίρρητος πᾶς λόγος παρὰ τῶν ἐναντίων συνομολογούμενος, ἑκάστῳ ἔθνει ἀπὸ τῶν παρ' αὐτοῖς νενομισμένων διαλεκτέον, ὃ καὶ ὁ τῶν τοῦ Χριστοῦ νοημάτων ταμίας ἐποίει Παῦλος, Ἰουδαίοις μὲν ἀπὸ τῶν

344.- ΣΤΟΝ ΕΚΛΑΜΠΡΟΤΑΤΟ ΙΕΡΑΚΑ
Ἐπαινετική.

Νὰ ξέρεις, ναὲ τῆς καθαρότητας, ὅτι ὑμνεῖσαι σ' ὁλόκληρη τὴν πόλη, γιατί, ἔχοντας κατορθώσει ἀπίστευτο ἔργο, τὸ κατέστησες πιὸ ἀπίστευτο μὲ τὴν ταχύτητα. Ἦταν βέβαια τὸ ἔργο καὶ αὐτὸ καθ' ἑαυτὸ μεγάλο, ἡ ταχύτητα ὅμως τὸ ἀπέδειξε μεγαλύτερο, ἢ καλύτερα μέγιστο, ἐπειδὴ στόλισε τὴ χάρη καὶ τὴν ἔκανε πιὸ θελκτική. Εἴθε νὰ διαπρέπεις σὲ τέτοια κατορθώματα, γιατὶ σοῦ ταιριάζουν.

345.- ΣΤΟΝ ΣΟΦΙΣΤΗ ΑΡΠΟΚΡΑ
Γιὰ τὴ δύναμη τοῦ θείου κηρύγματος.

Ἐὰν ἡ εὐστροφία τοῦ πνεύματος τοῦ ἀνθρώπου προτιμᾶται ἀπὸ τὴ γνώση τῶν γραμμάτων, τότε γιατί εἶναι ἄξιο ἀπορίας τὸ ὅτι οἱ Ἀπόστολοι, ἐνῶ ἦταν ἰδιῶτες καὶ ἀγράμματοι, γεμᾶτοι θεϊκὴ σοφία, νίκησαν καὶ τοὺς διαλεκτικοὺς καὶ τοὺς ρήτορες; Γιατί, ἐὰν αὐτὸς ποὺ διαβάζει τὸ νὰ μὴ καταλαβαίνει τὴν ἑρμηνεία εἶναι φυσικό, ἐνῶ αὐτὸς ποὺ ἀγνοεῖ τοὺς χαρακτῆρες τῶν γραμμάτων εἶναι ἀδύνατο νὰ καταλάβει τὸ νόημα αὐτῶν ποὺ εἶναι γραμμένα, ἀλλ' ὅμως πολλὲς φορὲς εἶναι δυνατὸν αὐτὸς ποὺ διαβάζει νὰ μὴ καταλαβαίνει τὸ νόημα, ἐνῶ αὐτὸς ποὺ ἀκούει, ἐπειδὴ εἶναι πιὸ ἔξυπνος καὶ διαφέρει στὴ σύνεση, νὰ καταλαβαίνει, ἂν καὶ δὲν γνωρίζει τοὺς χαρακτῆρες τῶν γραμμάτων. Γιατὶ σ' αὐτὸν ποὺ ἡ κατανόηση τοῦ περιεχομένου εἶναι ἀδύνατη ἐξαιτίας τῆς ἄγνοιας τῶν γραμμάτων, σ' αὐτὸν ἡ σύνεση πολλὲς φορὲς αὐξάνεται, ὅταν διαβάζουν ἄλλοι. Ἐφόσον λοιπὸν ἡ ἑτοιμότητα τοῦ πνεύματος ὑπερνικᾶ τὴν ἐπιστήμη, γιατί ἡ θεία σοφία νὰ μὴ νικᾶ τὴν τέχνη τοῦ λόγου;

346.- ΣΤΟΝ ΕΠΙΣΚΟΠΟ ΛΑΜΠΕΤΙΟ
Γιὰ τὸν βωμό.

Ἐπειδὴ κάθε λόγος ποὺ ὁμολογεῖται ἀπὸ τοὺς ἀντιπάλους εἶναι ἀκαταμάχητος καὶ ἀναντίρρητος, πρέπει σὲ κάθε ἔθνος νὰ μιλᾶμε ξεκινώντας ἀπὸ τὰ δικά τους πιστεύω, πρᾶγμα ποὺ ἔκανε καὶ ὁ ταμίας τῶν διδασκαλιῶν τοῦ Χριστοῦ Παῦλος, συζητώντας μὲ τοὺς

Γραφῶν διαλεγόμενος, Ἀθηναίοις δὲ ἀπὸ τοῦ βωμοῦ. Διὸ καὶ ἔφη, «Ἐγενόμην τοῖς ἀνόμοις ὡς ἄνομος». Ὡς γὰρ ἀνήκοος ὢν τοῦ νόμου, ἀπὸ τοῦ βωμοῦ τὴν παραίνεσιν ἐποιεῖτο, οὐ τὸν βωμὸν ἀξιοπιστότερον τῶν Γραφῶν ἡγούμενος, ἀλλὰ τοὺς ἀπιστοῦντας αὐταῖς ἀπὸ τῶν οἰκείων χειρούμενος δογμάτων.

ΤΜΖ'– ΠΑΥΛΩ ΤΡΙΒΟΥΝΩ

Ὅτι οὐ χρὴ ἐπεμβαίνειν τοῖς πεπτωκόσι, ἀλλ' αἰδεῖσθαι ὡς ἱκέτας, καὶ χεῖρα ὀρέγειν τοῖς ἑαλωκόσιν.

Παλαιὸς λόγος διαγορεύει καὶ θεσμὸς εὖ ἔχειν ἅπασιν ἀνθρώποις δόξας, μὴ ἐπεμβαίνειν τοῖς πεπτωκόσι, μηδὲ καταστάττειν τοὺς κειμένους, ἀλλ' αἰδεῖσθαι ὡς ἱκέτας καὶ χεῖρα ὀρέγειν τοῖς ἑαλωκόσιν. Ἀκούω δὲ ὅτι τὰ θηρία, οἷς μέτεστι φρονήματος, τὸ μὲν ἀνθεστηκὸς ἀμύνεται, τὸ δὲ ἀπειρηκὸς αἰδεῖται. Εἰ τοίνυν καὶ παρ' ἀνθρώποις καὶ παρὰ θηρσίν εἰσιν ἔχθρας καὶ πολέμου ὅροι, οὓς οὐ χρὴ ὑπερβαίνειν, μηδὲ αὐτὸς ὀργίζου τοῖς ἡττημένοις, μηδὲ τοῖς χαμαὶ κειμένοις ὡς ἀντιπάλοις ἔγκεισο.

ΤΜΗ'– ΗΣΑΪΑ

Συμβουλευτική.

Εἰ μὲν τοῦτο δεδιώς, μὴ φθάσῃ ἐγκαλέσας ὁ παροινηθεὶς παρά σοῦ, ᾠήθης προλαβὼν ἐπισκιάσασθαι τὰς αἰτίας καὶ τὰς μέμψεις τὰς κατὰ σαυτοῦ ὑποτιμεῖσθαι, σοφὸν τῷ ὄντι, ἵνα μὴ κακοῦργον εἴπω, καὶ τοῦτο μηχάνημα, εἰ δ' ὡς ἀληθῶς αἰρήσειν προσδοκῶν, ἠλίθιόν τι πέπονθας. Οὐ γὰρ ἂν ἁλοίη ἐφ' οἷς ἤδη ἑάλως κατὰ τὴν τῶν γραψάντων ἀψευδῆ μαρτυρίαν.

Ἰουδαίους μὲ βάση τὶς Γραφές, ἐνῶ μὲ τοὺς Ἀθηναίους παίρνοντας ἀφορμὴ ἀπὸ τὸν βωμό. Γι' αὐτὸ καὶ εἶπε· «Σ' ἐκείνους ποὺ ἦταν ἔξω ἀπὸ τὸν νόμο, σὰν νὰ ἤμουν ἔξω ἀπὸ τὸν νόμο»[42]. Σὰν νὰ μὴ εἶχε ἀκούσει δηλαδὴ γιὰ τὸν νόμο ἔκανε τὴν ὁμιλία του ξεκινώντας ἀπὸ τὸν βωμό, χωρὶς νὰ θεωρεῖ τὸν βωμὸ πιὸ ἀξιόπιστον ἀπὸ τὶς Γραφές, ἀλλὰ κερδίζοντας ἐκείνους ποὺ δὲν πίστευαν σ' αὐτές, μὲ τὰ δικά τους δόγματα.

347.- ΣΤΟΝ ΔΗΜΑΡΧΟ ΠΑΥΛΟ.

Ὅτι δὲν πρέπει νὰ ἐπιτιμοῦμε ἐκείνους ποὺ ἔχουν πέσει, ἀλλὰ νὰ τοὺς σεβόμαστε σὰν ἱκέτες καὶ νὰ ἁπλώνουμε χέρι βοήθειας σ' αὐτοὺς ποὺ ἔχουν αἰχμαλωτισθεῖ.

Παλαιὰ παράδοση καὶ θεσμὸς ποὺ πιστεύεται ἀπὸ ὅλους τοὺς ἀνθρώπους λέγει ὅτι εἶναι σωστό, νὰ μὴ πατᾶμε πάνω σ' αὐτοὺς ποὺ ἔχουν πέσει, οὔτε νὰ σφάζουμε αὐτοὺς ποὺ κοιμοῦνται, ἀλλὰ νὰ τοὺς σεβόμαστε ὡς ἱκέτες, καὶ νὰ ἁπλώνουμε τὸ χέρι σ' αὐτοὺς ποὺ ἔχουν αἰχμαλωτισθεῖ. Ἀκούω ἐπίσης, ὅτι τὰ θηρία ποὺ ἔχουν μυαλό, αὐτὸ ποὺ ἀντιστέκεται ἀντιμετωπίζεται, ἐνῶ ὅποιο ὑποχωρεῖ γίνεται σεβαστό. Ἐφόσον λοιπὸν καὶ στοὺς ἀνθρώπους καὶ στὰ θηρία ὑπάρχουν ὅρια ἔχθρας καὶ πολέμου, τὰ ὁποῖα δὲν πρέπει νὰ παραβαίνουν, οὔτε σὺ νὰ θυμώνεις μὲ τοὺς νικημένους, οὔτε αὐτοὺς ποὺ εἶναι πεσμένοι κάτω νὰ τοὺς ἐπιτίθεσαι σὰν νὰ εἶναι ἀντίπαλοι.

348.- ΣΤΟΝ ΗΣΑΪΑ

Συμβουλευτική.

Ἐάν, φοβούμενος αὐτὸ δὲν φτάσει νὰ σὲ καταγγείλει αὐτὸς ἐναντίον τοῦ ὁποίου φέρθηκες σὰν μεθυσμένος, νόμισες ὅτι πρόλαβες καὶ συγκάλυψες τὶς αἰτίες καὶ ἐλάττωσες τὶς ἐναντίον σου κατηγορίες, εἶναι πραγματικὰ σοφό, γιὰ νὰ μὴ πῶ κακοῦργο, τὸ τέχνασμά σου, ἐὰν ὅμως ἀληθινὰ προτιμήσει νὰ περιμένει, ἔχεις πάθει κάτι ἠλίθιο. Γιατὶ δὲν θὰ συλληφθεῖ γι' αὐτὰ ποὺ ἤδη συνελήφθης ἐσύ, σύμφωνα μὲ τὴν ἀδιάψευστη μαρτυρία αὐτῶν ποὺ σὲ κατήγγειλαν.

---

42. Α' Κορ. 9,21. πρβλ. καὶ Πράξ. 17,23.

ΤΜΘ΄– ΘΕΟΔΟΣΙΩ ΠΡΕΣΒΥΤΕΡΩ
Περὶ φίλου τινός.

Ἴσθι, ὦ θαμασιώτατε, ὅτι μήτ' ἐξειπών, μήτε κοινωσάμενός μοι ὁ δοκῶν εἶναι φίλος (ᾔδει γὰρ οὐκ ἀνεξόμενον, οὐδὲ συγχωρήσοντα αὐτῷ λύσαι πολυχρόνιον φιλίαν) πέπραχεν ἃ πέπραχε. Διὸ καὶ τῆς φιλίας ἡμῶν ἀπεκηρύχθη.

ΤΝ΄– ΕΡΜΕΙΑ ΓΡΑΜΜΑΤΙΚΩ
Περὶ τοῦ, «Φάσκοντες εἶναι σοφοί, ἐμωράνθησαν».

Κινδυνεύεις ἀγνοεῖν, ὅτι οἱ ποιηταὶ τοὺς πλεονεκτήμασιν εὐγενείας ἐμπρέπειν οὐκ ἔχοντας, μυθολογίαις ἀπίστοις ἐσέμνυναν.

ΤΝΑ΄– ΑΝΤΩΝΙΩ ΣΧΟΛΑΣΤΙΚΩ
Περὶ παρθενίας καὶ γάμου.

Ὁ τῆς παρθενίας ἀγὼν μέγας μὲν καὶ λαμπρὸς καὶ ἔνθεος (πρὸς γὰρ τὴν ἔμφυτον τοῦ σώματος ἡδονὴν ὁ πόλεμος), ἐν δὲ τοῖς ἄλλοις ἄθλοις ἐξευμαρίζει τοὺς πόνους. Ῥᾳδίως γὰρ φιλοχρηματίας κρατήσει, κόσμου σωματικοῦ, ἀνδρός τε καὶ παίδων μὴ φροντίζουσα, δι' ὃ ὁ τῶν χρημάτων πορισμὸς ἀναγκαῖος εἶναι τοῖς ἀφιλοσόφοις δοκεῖ, πένθει τε ἀνάλωτος ἔσται. Οὐ γὰρ ἤνθησε κλάδους, οἷς συνανθοῦσι καὶ αἱ φροντίδες καὶ τὰ πένθη. Ζώντων μὲν γὰρ τῶν παίδων, ἀναγκάζονται μεριμνᾶν, τεθνεώτων δὲ πενθεῖν. Ὀδυνῶν τε καὶ ἀθυμιῶν ἔξω ἐσκήνωται, μηδ' ἀνδρὸς δουλευομένη φρονήματος, μήτε ὠδῖσι ταῖς τοῦ θανάτου γείτοσι διακοπτομένη. Οὐ παρευδοκιμουμένη ζηλοῖ, οὐκ ἀγαπωμένη ὑπτιοῦται. Οὐκ ἀποστρεφόμενον κολακεύει, οὐ μισοῦντα θωπεύει, οὐχ ὑβρίζοντα ἀποστρέφεται, ἀλλὰ πάντων τούτων τῶν ἀνηκέστων κακῶν ἀπαλλαγή, ἢ πρὸς τὴν

349.- ΣΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟ ΘΕΟΔΟΣΙΟ
Γιὰ κάποιον φίλο.

Γνώριζε, θαυμασιώτατε, ὅτι χωρὶς νὰ ἐξομολογηθεῖ οὔτε νὰ κοινωνήσει μαζί μου, αὐτὸς ποὺ νομίζει πὼς εἶναι φίλος μου (γιατὶ γνώριζε πὼς δὲν θὰ τὸ ἀνεχόμουν, οὔτε θὰ τοῦ ἐπέτρεπα νὰ λύσει πολλῶν ἐτῶν φιλία) ἔκανε αὐτὰ ποὺ ἔκανε. Γι' αὐτὸ καὶ ἡ φιλία μας ἀποκηρύχθηκε.

350.- ΣΤΟΝ ΓΡΑΜΜΑΤΙΚΟ ΕΡΜΕΙΑ
Γιὰ τὴ ρήση· «Λέγοντας ὅτι εἶναι σοφοί, ἔγιναν μωροί»[43].

Κινδυνεύεις νὰ ἀγνοεῖς, ὅτι οἱ ποιητές, ἐπειδὴ δὲν εἶχαν ἀνθρώπους ποὺ νὰ διέπρεπαν σὲ ἀρετὲς εὐγένειας, τοὺς στόλισαν μὲ ἀπίστευτες μυθολογίες.

351.- ΣΤΟΝ ΣΧΟΛΑΣΤΙΚΟ ΑΝΤΩΝΙΟ
Γιὰ τὴν παρθενία καὶ τὸν γάμο.

Ὁ ἀγώνας τῆς παρθενίας εἶναι μεγάλος βέβαια καὶ ὑπέροχος καὶ θεόπνευστος (ἐπειδὴ ὁ πόλεμος γίνεται ἐναντίον τῆς ἔμφυτης ἡδονῆς τοῦ σώματος), ἐνῶ στὰ ἄλλα ἀθλήματα ἀνακουφίζει τοὺς κόπους. Γιατὶ εὔκολα γίνεται κυρίαρχος τῆς φιλοχρηματίας καὶ τοῦ σωματικοῦ στολισμοῦ, ἀφοῦ δὲν ἔχει φροντίδες γιὰ ἄνδρα καὶ παιδιά, πρᾶγμα γιὰ τὸ ὁποῖο εἶναι ἀναγκαία ἡ ἐξοικονόμηση τῶν χρημάτων ὅπως νομίζουν οἱ ἀφιλοσόφητοι, καὶ εἶναι ἀπόρθητος ἀπὸ πένθος, γιατὶ δὲν βλάστησε κλαδιά, στὰ ὁποῖα ἀνθίζουν ταυτόχρονα καὶ οἱ φροντίδες καὶ τὰ πένθη. Γιατὶ ὅσο τὰ παιδιὰ ζοῦν, ἀναγκάζονται νὰ τὰ φροντίζουν, ἐνῶ ὅταν πεθαίνουν πενθοῦν. Ἐπίσης εἶναι κατασκηνωμένη ἔξω ἀπὸ ψυχικοὺς πόνους καὶ λιποψυχίες, δὲν εἶναι ὑποδουλωμένη στὶς ἐπιθυμίες τοῦ ἄνδρα, οὔτε καὶ διακόπτεται ἀπὸ τοὺς δυνατοὺς πόνους, τοὺς γείτονες τοῦ θανάτου. Δὲν ζηλεύει ὅταν ξεπερνιέται ἀπὸ ἄλλους, οὔτε ὅταν ἀγαπιέται ἀνατρέπεται. Δὲν καλοπιάνει αὐτὸν ποὺ τὴν ἀποστρέφεται, δὲν χαϊδεύει ἐκεῖνον ποὺ τὴ μισεῖ, οὔτε ἀποστρέφεται ἐκεῖνον ποὺ τὴν ὑβρίζει, ἀλλ' εἶναι ἀπαλλαγὴ ἀπὸ ὅλα

43. Ρωμ. 1,22.

ἔμφυτον ἐπιθυμίαν μάχῃ, ἧς κρατοῦσα, πάντα ἐκεῖνα ὑποκύπτοντα ἔχει. Διὸ καὶ ὁ τῶν ἀνθρωπίνων πραγμάτων ἀκριβῶς βασανίσας τὴν φύσιν, ἔγραφε περὶ τῶν πάντα ὑπομενόντων τὰ δυσχερῆ, ἵνα μόνον τὴν ἀπὸ τῆς ἐπιθυμίας λύτταν μὴ χειρώσωνται, «Θλῖψιν τῇ σαρκὶ ἔξουσιν οἱ τοιοῦτοι. Ἐγὼ δὲ ὑμῶν φείδομαι».

Ἀλλ' ἐπειδὴ πολλοὶ μὲν τὴν ἀποστολικὴν συμβουλήν, ὡς διὰ πραγμάτων μὴ δεικνυμένην, ἀτιμάζοντες, τὸ δ' ἀληθὲς τῇ ἡδονῇ συνηγοροῦντες, φασίν, ὅτι θλῖψιν μὲν οὐκ ἔχουσιν οἱ τὸν γάμον ἀσπασάμενοι, ἀλλὰ καὶ τέρψιν καὶ τρυφήν, πολλοὶ δέ, δεινότητι χρώμενοι καὶ ἀνδρειοτέρους ἑαυτοὺς τῶν τὴν ἁγνείαν ἐστεμμένων οἰόμενοι, οὐ δεόντως λέγουσι, ὅτι ἀγεννοῦς τοῦτο ψυχῆς τεκμήριον. Ταῖς γὰρ τῆς ἀγαμίας ἁγιστείαις ἀφιερώσαντες ἑαυτούς, ἀπέκλεισαν τῇ γενέσει τὰς διεξόδους, γάμων ἀμύητοι μείναντες καὶ τῇ τῶν ἀναγκῶν γυμνότητι πρὸς τὰς μεταβολας τῶν πραγμάτων νεανιευσάμενοι, παραπλήσιόν τι ποιοῦσιν, ὥσπερανεί τις, ἀσώματος τυγχάνων, ἐνηβρύνετο τὸ ἄτρωτος εἶναι. Καὶ γὰρ καὶ αὐτοὶ τὰς παραλόγους τῶν ἀβουλήτων ἐφόδους δείσαντες, τὸν τῆς παιδογονίας θεσμὸν ἠτίμασαν, ἀτεκνίᾳ ἑαυτοὺς πρὸς τὰς μεταβολὰς ὀχυρώσαντες, καὶ τὸ ἀνάλωτον διὰ ταύτης πραγματευσάμενοι. Ἡμεῖς δὲ ταῖς τῆς μεταβολῆς παραλόγοις ῥοπαῖς παραδόντες ἑαυτοὺς καὶ οὐ ψιλῶν τάξιν πρὸς αὐτὴν ταγέντες, ἔξω τῆς φάλαγγος ἔστημεν, ἀλλὰ τοῖς βέλεσιν αὐτοῖς ὑποθέντες τὴν πολιτείαν καὶ ἀφθονίαν παρασχόντες εἰς ἃ βούλοιντο πλήττειν, πρὸς ἐκείνην ἐφραξάμεθα, ὡς καὶ τιτρωσκομένους μὴ πλήττεσθαι, καὶ βληθέντας, ἄκεντρα τοξεύεσθαι, καὶ ἐν τῇ τῶν δυσκόλων πείρᾳ τὸ δόγμα βεβαιούμενοι, ὡς ἀρετὴ μεταβολῆς ἀδέσποτος, τὴν ἀκριβεστάτην ἐκφέρομεν βάσανον.

Ἐπεὶ τοίνυν τοιαῦτά τινα συνείροντες καταρητορεύουσιν, αἰσχυνόμενοι μὲν ἐπὶ τῶν ἀπολελεῖφθαι τῶν τῆς παρθενίας

αὐτὰ τὰ ἀθεράπευτα κακὰ ἡ μάχη μὲ τὴν ἔμφυτη ἐπιθυμία, στὴν ὁποία ὅταν ἐπικρατήσει, ἔχει ὅλα ἐκεῖνα νὰ ὑποκύπτουν μπροστά της. Γι' αὐτὸ καὶ αὐτὸς ποὺ ἐρεύνησε μὲ ἀκρίβεια τὴ φύση τῶν ἀνθρώπινων πραγμάτων, ἔγραφε γιὰ ἐκείνους ποὺ ὑπομένουν ὅλα τὰ δυσάρεστα, ἀρκεῖ μόνο νὰ μὴ τοὺς κυριεύσει ἡ λύσσα τῆς ἐπιθυμίας, «Αὐτοὶ θὰ ἔχουν θλίψεις στὴ ζωή τους, ἐγὼ ὅμως σᾶς λυπᾶμαι»[44].

Ὅμως, ἐπειδὴ πολλοὶ περιφρονοῦν τὴν ἀποστολικὴ συμβουλή, γιὰ τὸν λόγο ὅτι τάχα δὲν ἀνταποκρίνεται στὴν πραγματικότητα, καὶ ἀποδίδοντας στὴν ἡδονὴ τὴν ἀλήθεια λένε, ὅτι αὐτοὶ ποὺ δέχθηκαν τὸν γάμο δὲν ἔχουν θλίψη, ἀλλὰ καὶ εὐχαρίστηση καὶ ἀπόλαυση, πολλοὶ μάλιστα, χρησιμοποιώντας τὴν εὐγλωττία τους καὶ θεωρώντας τοὺς ἑαυτούς τους πιὸ ἀνδρείους ἀπὸ ἐκείνους ποὺ εἶναι στεφανωμένοι μὲ τὴν ἁγνότητα, λένε, χωρὶς νὰ ἔχουν δίκιο, ὅτι αὐτὸ εἶναι ἀπόδειξη ἄνανδρης ψυχῆς. Γιατί, ἔχοντας ἀφιερώσει τοὺς ἑαυτούς τους στὶς ἱεροτελεστίες τῆς ἁγαμίας, ἀπέκλεισαν τὶς διεξόδους στὴ δημιουργία, μένοντας ἀμύητοι ἀπὸ τοὺς γάμους, καὶ μὲ τὴ γυμνότητα τῶν ἀναγκῶν μπροστὰ στὶς μεταβολὲς τῶν πραγμάτων παιδαρίζοντας, κάνουν κάτι παρόμοιο, ὅπως ἂν κάποιος, ποὺ εἶναι ἀσώματος, καμάρωνε ὅτι εἶναι ἄτρωτος. Γιατὶ καὶ αὐτοί, φοβούμενοι τὶς παράλογες ἐφόδους αὐτῶν ποὺ εἶναι ἀκούσια, ἀτίμασαν τὸν θεσμὸ τῆς παιδοποιίας, ὀχυρώνοντας μὲ τὴν ἀτεκνία τοὺς ἑαυτούς τους ἀπὸ τὶς μεταβολὲς καὶ ἐξασφαλίζοντας μὲ αὐτὴν τὸ ἀπόρθητο. Ἐμεῖς ὅμως, ἀφοῦ παραδώσαμε τοὺς ἑαυτούς μας στὶς παράλογες κλίσεις τῆς μεταβολῆς, καὶ δὲν τοὺς τάξαμε στὴν τάξη τῶν ἀποψιλωμένων, μείναμε ἔξω ἀπὸ τὴν παράταξη, ἀλλὰ τοποθετώντας τὴν ζωή μας κάτω ἀπὸ τὰ ἴδια τὰ βέλη, καὶ παραχωρώντας τὴν εὐχέρεια σ' αὐτὰ ποὺ θέλουν νὰ μᾶς πλήττουν, κλείσαμε τὸν δρόμο πρὸς τὴν παρθενία, ὥστε καὶ ὅταν τραυματιζόμαστε νὰ μὴ δειλιάζουμε, καὶ ὅταν βαλλόμαστε τὸ τόξευμα νὰ μὴ εἶναι θανάσιμο, καὶ βεβαιώνοντας μὲ τὴν πεῖρα τῶν δυσκόλων τὴ διδασκαλία, ὅτι ἡ ἀρετὴ εἶναι ἐλεύθερη ἀπὸ μεταβολή, παρουσιάζουμε τὴν πιὸ ἀκριβῆ, ὕστερα ἀπὸ βασανιστικὴ ἐξέταση, γνώμη.

Ἐπειδὴ λοιπὸν καταρητορεύουν διακηρύττοντας κάτι τέτοια, αἰσθανόμενοι βέβαια ντροπὴ ἐπειδὴ ὑστέρησαν στοὺς ἄθλους τῆς

44. Α' Κορ. 7,28.

ἄθλων, εὐπρόσωπον δὲ δοκοῦντες ἀπολογίαν προβάλλεσθαι, εἴσονται μὲν διὰ τῶν πραγμάτων ἐπὶ τῶν ἐπάθλων, ὅσον γυναικὶ μὲν ἀνήρ, ἀνδρὶ δὲ γυνή, καὶ γυναικὸς καὶ παίδων φροντίδες ἐμπόδιόν ἐστι πρὸς σωτηρίαν, ἐλέγχονται δὲ καὶ νῦν εἰς τὸν τῶν κακῶν πυθμένα, διὰ ταῦτα συνελαυνόμενοι, δι' ἃ καὶ οἱ μὲν τρυφῆς καὶ ἀνέσεως ἀπολαύεσθαι, οἱ δὲ καὶ μειζόνων στεφάνων ἀξιωθήσεσθαι προσεδόκησαν. Ποίοις γὰρ πάθεσιν οὐχ ὑπόκεινται; Ποίαν δὲ καπηλείαν οὐ μεταχειρίζονται; Πόσας δὲ ἀηδίας ὑπομένοντες, οὐκ αἰσθάνονται; Τί γὰρ τῶν καλῶν αὐτοὺς οὐ παριππεύει; Τί δὲ κατασκηνοῖ παρ' αὐτοῖς ἐπαίνου ἄξιον; Καὶ ταῦτα οὐ τοὺς τὸν τίμιον γάμον ἀσπαζομένους ἀποκηρύττων λέγω, ἄπαγε, ἀλλὰ τοὺς ἀθυρώτῳ καὶ ὀλισθηρᾷ γλώττῃ τολμῶντας τὸν γάμον τῆς παρθενίας ὑπερτιθέναι κωμῳδῶν. Ὅσον γὰρ οὐρανὸς γῆς καὶ ψυχὴ σώματος διαφέρει, τοσοῦτον ἡ παρθενία τοῦ γάμου διενήνοχεν. Ἐκείνη μὲν γὰρ τὰ πρωτεῖα ἐν τῇ παρατάξει ἔχει, καὶ τὸ μέτωπον κοσμεῖ τῆς φάλαγγος, καὶ τὰ λαμπρὰ τρόπαια ἵστησιν, οὗτος δὲ σύμμετρος ὢν καὶ τοῖς ἀθενεστέροις ἔρεισμα δοθείς, δύναται μὲν σώζειν τοὺς φυλάττοντας, οὐ μὴν εἰς τὴν τῆς παρθενίας ἀνάξει κορυφήν. Διὸ καὶ ὁ πνευματικὸς νόμος τοὺς γήμαντας καὶ ἀμπέλους φυτεύσαντας, εἰς τὸν κατὰ τῶν πνευματικῶν τῆς πονηρίας πόλεμον ἐξελθεῖν ἀπηγόρευσε.

Μὴ τοίνυν οἱ τοιούτῳ κατεχόμενοι δεσμῷ τοῖς λελυμένοις ἁμιλλᾶσθαι οἰέσθωσαν, οὐδὲ γὰρ οἷόν τε, μηδὲ οἱ χρηματισμῷ καὶ κόσμῳ σωματικῷ ὅλον ἑαυτῶν ἀναθέντες τὸν βίον, νομιζέτωσαν ἴσα ἆθλα λήψεσθαι τῶν ἀφιερωσάντων ἑαυτοὺς καὶ τὰ τοῦ Κυρίου μεριμνώντων, ἀλλὰ ἐν τῇ προσηκούσῃ τάξει ἑαυτοὺς φυλάττοντες, μὴ ὁπλιζέτωσαν γλῶτταν κατὰ τῶν εἰς τὴν οὐράνιον κορυφὴν ἀναβάντων. Οὐ γὰρ ὁ γάμος κακόν, ἄπαγε, ἀλλὰ καὶ ἔννομον καὶ σύμμετρον ἀγαθόν, ἀλλὰ τὰ ἐπισυρέντα τῷ γάμῳ κακὰ ἱκανὰ καὶ τὴν τοῦ γάμου ἀμβλῦναι ἡδονήν. Εἰ

παρθενίας, καὶ νομίζοντας ὅτι προβάλλουν εὔσχημη δικαιολογία, θὰ γνωρίσουν ἀπὸ τὰ πράγματα ὡς πρὸς τὰ ἔπαθλα, πόσο ὁ ἄνδρας στὴ γυναίκα, καὶ ἡ γυναίκα στὸν ἄνδρα, καὶ οἱ φροντίδες τῆς γυναίκας καὶ τῶν παιδιῶν ἀποτελοῦν ἐμπόδιο πρὸς τὴ σωτηρία, ὅμως ἀποδεικνύονται καὶ τώρα, ὅτι ὁδηγοῦνται στὸν πυθμένα τῶν κακῶν ἀκριβῶς μὲ αὐτὰ μὲ τὰ ὁποῖα περίμεναν ἄλλοι ὅτι θὰ ἔχουν ἀπόλαυση καὶ ἄνεση, καὶ ἄλλοι ὅτι θὰ γίνουν ἄξιοι μεγαλύτερων στεφανιῶν. Γιατὶ σὲ ποιὰ πάθη δὲν εἶναι ὑποταγμένοι; Ποιὰ ἀπάτη δὲν χρησιμοποιοῦν; Καὶ πόσες ἀηδίες, ἐνῶ τὶς ὑφίστανται, δὲν τὸ αἰσθάνονται; Ποιὸ δηλαδὴ ἀπὸ τὰ καλὰ δὲν τοὺς προσπερνᾶ καλπάζοντας; Καὶ τί ἄξιο ἐπαίνου κατασκηνώνει μαζί τους; Καὶ αὐτὰ τὰ λέγω, ὄχι ἀποκηρύσσοντας αὐτοὺς ποὺ ἀσπάζονται τὸν τίμιο γάμο, μακριὰ μὰ τέτοια σκέψη, ἀλλὰ διακωμωδώντας ἐκείνους ποὺ μὲ τὴν ἀπύλωτη καὶ γλιστερὴ γλῶσσα τους τολμοῦν νὰ τοποθετοῦν τὸν γάμο πάνω ἀπὸ τὴν παρθενία. Γιατί, ὅσο διαφέρει ὁ οὐρανὸς ἀπὸ τὴ γῆ, καὶ ἡ ψυχὴ ἀπὸ τὸ σῶμα, τόσο πολὺ διαφέρει ἡ παρθενία ἀπὸ τὸν γάμο. Γιατὶ ἐκείνη ἔχει τὰ πρωτεῖα στὴν παράταξη, ποὺ καὶ στολίζει τὸ μέτωπο τῆς φάλαγγας, καὶ στήνει τὰ λαμπρὰ τρόπαια, ἐνῶ αὐτὸς (ὁ γάμος), ὄντας ἀνάλογος μὲ τὰ μέτρα τοῦ ἀνθρώπου καὶ ἔχοντας δοθεῖ ὡς στήριγμα στοὺς πιὸ ἀδύνατους, μπορεῖ βέβαια νὰ σώζει αὐτοὺς ποὺ τὸν φυλάσσουν, ἀλλὰ δὲν θὰ τοὺς ἀνεβάσει στὴν κορυφὴ τῆς παρθενίας. Γι' αὐτὸ καὶ ὁ πνευματικὸς νόμος ἐκείνους ποὺ παντρεύθηκαν καὶ φύτεψαν ἀμπέλια, τοὺς ἀπαγόρευσε νὰ πάρουν μέρος στὸν πόλεμο τῆς κακίας ἐναντίον τῶν πνευματικῶν.

Ἂς μὴ νομίζουν λοιπόν, αὐτοὶ ποὺ ἐξουσιάζονται ἀπὸ ἕνα τέτοιο δεσμό, ὅτι θὰ ξεπεράσουν τοὺς ἐλεύθερους, γιατὶ δὲν εἶναι δυνατόν, οὔτε αὐτοὶ ποὺ διέθεσαν ὅλο τὸν ἑαυτό τους στὸν χρηματισμὸ καὶ στὸν σωματικὸ στολισμό, ὅτι θὰ πάρουν ἴσα ἔπαθλα μὲ ἐκείνους ποὺ ἀφιερώσαν τοὺς ἑαυτούς τους στὸν Κύριο καὶ φροντίζουν γι' αὐτὰ ποὺ ἀρέσουν σ' αὐτόν, ἀλλὰ φυλάγοντας τοὺς ἑαυτούς τους στὴν τάξη ποὺ τοὺς ἀνήκει, νὰ μὴ ὁπλίζουν τὴ γλώσσα τους ἐναντίον ἐκείνων ποὺ ἀνέβηκαν στὴν οὐράνια κορυφή. Γιατὶ ὁ γάμος δὲν εἶναι κακό, μακριὰ μὰ τέτοια σκέψη, ἀλλὰ καὶ νόμιμο καὶ σύμμετρο ἀγαθό, τὰ κακὰ ὅμως ποὺ συσσωρεύθηκαν στὸν γάμο, εἶναι ἱκανὰ νὰ ἐξασθενή-

δὲ καὶ μηδὲν τούτων ἐπήγετο, οὐδ' οὕτω τῇ παρθενίᾳ παραβάλλεσθαι δίκαιος ἦν. Ὃ δέ με καὶ ἐπειγόμενον παραδραμεῖν οὐκ ἐᾷ, τοῦτο ῥητέον, ὅτι ἡ μὲν παρθενία καὶ τἄλλα χειροῦται πάθη, ὁ δὲ γάμος καὶ τοῖς ἄλλοις ἁλίσκεται πάθεσι. Τίς γάρ, ἵνα παισὶ χορηγήσῃ τροφάς, οὐ πάντα ποιεῖ τὰ μὴ πρέποντα, καὶ εἰς κινδύνους ἑαυτὸν ῥίπτει, καὶ εἰς πέλαγος καὶ εἰς θηρίων βοράν; Οὗτοι οὖν ὡς ἀνδρεῖοι καὶ τροπαιοῦχοι ἐναβρύνεσθαι θέλουσι. Καὶ τίς ἀνέξεται; τίς γὰρ αὐτοῖς ἐπαρκέσει καιρὸς πρὸς τὸ ταῦτα τὰ τραύματα θεραπεῦσαι; Τίς δὲ οὐ συναλγήσει τοῖς ὑπὸ τοσούτων βελῶν κατετρωμένοις; Τοσαῦτα γὰρ αὐτοὺς περιέχει κακά, οἷα οὐδ' ἐννοῆσαι, οὐδὲ φράσαι διὰ τὸ πλῆθος δυνατόν.

Παυέσθωσαν οὖν τῶν τοιούτων λόγων, καὶ μὴ κατὰ τῆς παρθενίας ὁπλιζέτωσαν τὴν γλῶτταν, ἀλλ' ὡς βασιλίδα αὐτὴν γεραιρέτωσαν καὶ ὑπ' αὐτῇ ταττέσθωσαν, ἵνα ἔχοιεν αὐτὴν καὶ ὑπερασπίζουσαν καὶ πρεσβεύουσαν. Ἡλίῳ μὲν γὰρ τοὺς τὴν παρθενιαν (ἵνα καὶ οὐρανίοις χρήσωμαι παραδείγμασι), σελήνῃ δὲ τοὺς τὴν ἐγκράτειαν, ἄστροις δὲ τοὺς τὸν τίμιον γάμον ἀσπασαμένους καὶ διατηρήσαντας, παραβάλλεσθαι θέμις, μάλιστα ἐπιψηφίσαντος τοῦ θεσπεσίου Παύλου καὶ λέγοντος· «Ἄλλη δόξα ἡλίου, καὶ ἄλλη δόξα σελήνης, καὶ ἄλλη δόξα ἀστέρων».

ΤΝΒ'– ΤΩ ΑΥΤΩ

Ὅτι, ὁ τῶν παθῶν κρατῶν, καὶ φόβων καὶ κινδύνων καὶ μεταβολῆς ἁπάσης ἕστηκεν ὑψηλότερος.

Ἐκεῖνον μόνον ἂν ἔγωγε ζῆν κυρίως ὁρισαίμην, τὸν τῶν σωματικῶν παθῶν κρείττονα καὶ ἀνώτερον. Ὁ γὰρ ἐκείνοις ἑαυτὸν ὑποζεύξας καὶ κατὰ κράτος ὑπ' αὐτῶν ἐλαυνόμενος, οὐ μόνον εἰς τὸ ἔσχατον τελευτᾷ βάραθρον, ἀλλ' οὐδὲ ζῆν ἐνταῦθα δύναται διὰ τὰς ἐξ αὐτῶν λύπας καὶ τοὺς φόβους καὶ τοὺς κινδύνους καὶ τὸν μύριον αὐτῶν ἐσμόν. Ἂν τε γὰρ θάνατος προσδοκηθῇ, τέθνηκε καὶ πρὸ τοῦ θανάτου τῷ δέει, ἄν τε νόσος, ἄν

σουν καὶ τοῦ γάμου τὴν ἡδονή. Ἀλλὰ κι' ἂν ἀκόμα δὲν προσετίθετο τίποτε ἀπὸ αὐτά, οὔτε τότε θὰ ἔπρεπε νὰ συγκρίνεται μὲ τὴν παρθενία. Ἀλλ' αὐτὸ πού, ἂν καὶ βιάζομαι, δὲν μὲ ἀφήνει νὰ τὸ προσπεράσω, αὐτὸ πρέπει νὰ πῶ, ὅτι ἡ παρθενία ὑποτάσσει καὶ τὰ ἄλλα πάθη, ἐνῶ ὁ γάμος ὑποτάσσεται καὶ στὰ ἄλλα πάθη. Γιατὶ ποιός, γιὰ νὰ δώσει τροφὲς στὰ παιδιά, δὲν κάνει ὅλα ὅσα δὲν πρέπει, καὶ σὲ κινδύνους ρίχνει τὸν ἑαυτό του, καὶ στὸ πέλαγος, καὶ γίνεται τροφὴ στὰ θηρία; Αὐτοὶ λοιπὸν θέλουν νὰ καμαρώνουν ὡς ἀνδρεῖοι καὶ νικητές. Ποιὸς ὅμως θὰ τοὺς ἀνεχθεῖ; Ποιὸς καιρὸς θὰ ἐπαρκέσει σ' αὐτοὺς γιὰ νὰ θεραπεύσουν τὰ τραύματα αὐτά; Καὶ ποιὸς δὲν θὰ πονέσει μαζὶ μὲ αὐτοὺς ποὺ εἶναι τραυματισμένοι μὲ τόσα βέλη; Γιατὶ τόσο πολλὰ εἶναι τὰ κακὰ ποὺ τοὺς διακατέχουν, τὰ ὁποῖα οὔτε νὰ τὰ σκεφθοῦμε, οὔτε νὰ τὰ ποῦμε εἶναι δυνατόν, λόγω τοῦ πλήθους των.

Ἂς παύσουν λοιπὸν αὐτοὺς τοὺς λόγους, καὶ νὰ μὴ ὁπλίζουν τὴ γλώσσα τους ἐναντίον τῆς παρθενίας, ἀλλὰ νὰ τὴν τιμοῦν σὰν βασίλισσα, καὶ νὰ τάσσονται κάτω ἀπὸ αὐτήν, γιὰ νὰ τὴν ἔχουν καὶ ὑπερασπιστὴ καὶ πρέσβειρα. Γιατὶ πρέπει νὰ παραβάλλουν μὲ τὸν ἥλιο αὐτοὺς ποὺ ἀσκοῦν τὴν παρθενία (γιὰ νὰ χρησιμοποιήσω καὶ οὐράνια παραδείγματα), μὲ τὴ σελήνη ἐκείνους ποὺ ἀσκοῦν τὴν ἐγκράτεια, καὶ μὲ ἄστρα ἐκείνους ποὺ ἀσπάσθηκαν τὸν τίμιο γάμο καὶ τὸν διατήρησαν, μὲ τὴν ἐπικύρωση μάλιστα καὶ τοῦ θεόπνευστου Παύλου ποὺ λέγει· «ἄλλη ἡ λαμπρότητα τοῦ ἡλίου, ἄλλη ἡ λαμπρότητα τῆς σελήνης, καὶ ἄλλη ἡ λαμπρότητα τῶν ἄστρων»[45].

352.- ΣΤΟΝ ΙΔΙΟ

Ὅτι, ἐκεῖνος ποὺ ἐξουσιάζει τὰ πάθη, στέκεται πάνω ἀπὸ τοὺς φόβους, τοὺς κινδύνους καὶ κάθε μεταβολή.

Ἐγὼ βέβαια θὰ ἔλεγα ὅτι ζεῖ κυρίως μόνο ἐκεῖνος ποὺ εἶναι καλύτερος καὶ ἀνώτερος ἀπὸ τὰ σωματικὰ πάθη. Γιατὶ αὐτὸς ποὺ ὑπέταξε τὸν ἑαυτό του σ' ἐκεῖνα καὶ ὁδηγεῖται ἐξολοκλήρου ἀπὸ αὐτά, ὄχι μόνο καταλήγει στὸ πιὸ βαθὺ βάραθρο, ἀλλ' οὔτε νὰ ζεῖ ἐδῶ μπορεῖ, ἐξαιτίας τῶν θλίψεων ποὺ προέρχονται ἀπὸ τὰ πάθη, καὶ τῶν φόβων καὶ τῶν κινδύνων καὶ τοῦ ἄπειρου πλήθους αὐτῶν. Γιατί, ἂν περιμένει

45. Α΄ Κορ. 15, 41.

τε ὕβρις, ἄν τε πενία, ἄν τε ἕτερόν τι τῶν ἀδοκήτων, ἀπόλωλε καὶ ἀπὸ τῆς ὑπονοίας μόνης καὶ διέφθαρται. Ἀλλ' οὐχ ὁ τῶν παθῶν κρατῶν τοιοῦτος, ἀλλὰ καὶ φόβων καὶ κινδύνων καὶ μεταβολῆς ἁπάσης ἔστηκεν ὑψηλότερος, οὐ τῷ μηδὲν ὑπομένειν (τοῦτο γὰρ ἴσως ἀμήχανον), ἀλλ' ὃ καὶ πολλῷ μεῖζόν ἐστι καὶ παραδοξότερον ποιεῖ τὸ τρόπαιον, τῷ καὶ προσβαλλόντων αὐτῶν καὶ ἀκροβολιζομένων καὶ κατατοξευόντων καταφρονεῖν.

ΤΝΓ'.– ΤΙΜΟΘΕΩ ΛΑΜΠΡΟΤΑΤΩ
Περὶ τοῦ Χαιρήμονος, τοῦ ἐπ' ἀδικίας ἀδείᾳ κεχρημένου τοῖς ὅρκοις.

Εἰ καὶ Χαιρήμων, ὡς γέγραφας, ὁ Εὐσεβίου ὑπασπιστής, ἐκ τῆς αὐτοῦ συνουσίας ἠκονημένος πρὸς πᾶσαν κακίαν οἰστρᾷ καὶ πίστιν οὐκ οἶδεν, ἀλλ' ἐπ' ἀδικίας ἀδείᾳ κέχρηται τοῖς ὅρκοις (σπένδεται γὰρ καὶ μένει ἀκήρυκτος· συνθήκας ποιεῖται καὶ λύει· ὄμνυσι, καὶ πανουργίας ἐφόδιον ἔχει τοὺς ὅρκους), ἀλλά γε ὁ τοῦτον συγκροτῶν, παρ' ἐμοὶ κριτῇ, νῦν μὲν καρποῦται τῶν κακιῶν τὴν αἰτίαν, ὕστερον δὲ καὶ τῆς δίκης τὸ πλέον καρπώσεται.

ΤΝΔ'.– ΠΑΥΛΩ ΠΡΕΣΒΥΤΕΡΩ
Περὶ τῶν τοῦ ἱερωμένου κοσμημάτων.

Τῷ ἱερωμένῳ πλοῦτος μὲν ὁ τῆς ἀρετῆς κόσμος, ἡδονὴ δὲ ἡ σωφροσύνη, τρυφὴ δὲ ἡ αὐτάρκεια, εὐφροσύνη δὲ ἡ τῶν ὑπηκόων πρὸς ἀρετὴν ἐπίδοσις. Εἰ δέ τις, τἀναντία τούτων ἐπιτηδεύων, ἱερωσύνης ὀνόματι ἐναβρύνεται, οὗτος ἀνίερος τυγχάνει καὶ τῆς ἀρχῆς ἀνάξιος.

ΤΝΕ'.– ΜΑΡΤΥΡΙΩ ΠΡΕΣΒΥΤΕΡΩ
Περὶ Ἀρειανῶν καὶ Εὐνομιανῶν.

Εἰ μὲν τοῖς ἀνθρωπίνοις πάθεσιν (ὅπερ οὐδὲ εἰπεῖν θέμις)

θάνατο, ἔχει πεθάνει, καὶ πρὶν ἀπὸ τὸν θάνατο, ἀπὸ τὸν φόβο, κι᾽ ἂν τοῦ συμβεῖ ἀρρώστια, ταπείνωση, φτώχεια καὶ ὅ,τιδήποτε ἄλλο ἀπὸ τὰ ἀπροσδόκητα, χάθηκε καὶ μόνο ἀπὸ τὴν ὑποψία καὶ ἐξολοθρεύθηκε. Δὲν εἶναι ὅμως τέτοιος αὐτὸς ποὺ εἶναι κύριος τῶν παθῶν, ἀλλὰ στέκεται πιὸ ψηλὰ καὶ ἀπὸ τοὺς φόβους καὶ τοὺς κινδύνους καὶ ἀπὸ κάθε ἀλλαγή, ὄχι ἐπειδὴ δὲν ὑπομένει τίποτε (γιατὶ αὐτὸ ἴσως εἶναι ἀδύνατο), ἀλλ᾽ αὐτὸ ποὺ καὶ πολὺ μεγαλύτερο εἶναι καὶ κάνει τὴ νίκη πιὸ παράδοξη εἶναι ὅτι, καὶ ὅταν τοῦ ἐπιτίθενται αὐτὰ καὶ τὸν χτυποῦν ἀπὸ μακριὰ καὶ τὸν κατατοξεύουν, αὐτὸς τὰ περιφρονεῖ.

353.- ΣΤΟΝ ΕΚΛΑΜΠΡΟΤΑΤΟ ΤΙΜΟΘΕΟ
Γιὰ τὸν Χαιρήμονα, ὁ ὁποῖος χρησιμοποιεῖ τοὺς ὅρκους χωρὶς φόβο γιὰ τὶς ἀδικίες.

Ἂν καὶ ὁ Χαιρήμονας, ὅπως μοῦ ἔγραψες, ὁ σωματοφύλακας τοῦ Εὐσεβίου, ἀσκημένος ἀπὸ τὴ συμβίωση μαζί του, φέρεται σὰν λυσσασμένος πρὸς κάθε κακία καὶ δὲν γνωρίζει πίστη, ἀλλὰ χωρὶς φόβο χρησιμοποιεῖ τοὺς ὅρκους γιὰ τὴν ἀδικίες (γιατὶ κάνει συμμαχίες καὶ μένει ἀκήρυκτος, συνάπτει συμφωνίες καὶ τὶς λύνει, ὁρκίζεται καὶ χρησιμοποιεῖ τοὺς ὅρκους ὡς ἐφόδιο τῆς πανουργίας), ἀλλὰ καὶ αὐτὸς ποὺ τὸν ἐπιδοκιμάζει, κατὰ τὴ γνώμη μου, τώρα βέβαια ἀπολαμβάνει τὴν αἰτία τῶν κακῶν του, ὕστερα ὅμως θὰ ἀπολαύσει καὶ τὴν ἐπὶ πλέον τιμωρία.

354.- ΣΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟ ΠΑΥΛΟ
Γιὰ τὰ κοσμήματα τοῦ ἱερωμένου.

Στὸν ἱερωμένο πλοῦτος εἶναι τὸ κόσμημα τῆς ἀρετῆς, ἡδονὴ ἡ σωφροσύνη, τροφὴ ἡ αὐτάρκεια, καὶ εὐφροσύνη ἡ ἐπίδοση τῶν πιστῶν στὴν ἀρετή. Ἐὰν ὅμως κάποιος, κάνοντας τὰ ἀντίθετα ἀπὸ αὐτά, καμαρώνει μὲ τὸ ὄνομα τῆς ἱερωσύνης, αὐτὸς εἶναι ἀνίερος καὶ ἀνάξιος τῆς ἱερατικῆς ἐξουσίας.

355.- ΣΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟ ΜΑΡΤΥΡΙΟ
Γιὰ τοὺς Ἀρειανοὺς καὶ τοὺς Εὐνομιανούς.

Ἐὰν βέβαια ὁ Χριστὸς ἀκολουθοῦσε τὰ ἀνθρώπινα πάθη

κατὰ πάντα ἔψοιτο ὁ τὴν θείαν γέννησιν ὑπογράφων, ἀκοῦσαι ἆ εἴη δίκαιος, ὅτι, εἴ σοι πάθος πλάττεται περὶ τὴν γέννησιν, κἀμοὶ περὶ τὴν κτίσιν. Οὐδὲ γὰρ τὸ κτιζόμενον (εἰ τοῖς ἀσθενέσι τῶν ἀνθρώπων λογισμοῖς ἐψοίμην) ἀπαθῶς κτίζεται. Εἰ δὲ θεοπρεπῶς, τὰ μὲν ἁρμόττοντα τῇ ἀκηράτῳ οὐσίᾳ καταδέξοιτο, τὰ δὲ ἀπηχῆ παριππεύσειεν, ἐννοῆσαι ὀφείλει, εἴ γε τὸ λογιστικὸν ἐρρωμένον ἔχει, ὅτι, ἐπειδὴ ὁ θνητὸς οὕτω τίκτει, ὁ ἀθάνατος οὐχ οὕτως. Ὥσπερ οὖν καὶ ὁ κτίζων, ὁ μὲν μετὰ πόνου, ὁ δὲ ἀμογητὶ κτίζει. Ταῦτα γὰρ ἐννοήσας καὶ ὁ πολυόμματος νοῦς, καὶ ὥσπερ ἔνθους γενόμενος, πάντα τὰ γήινα παραδείγματα παραδραμών, ἀπαύγασμα τῆς δόξης καὶ χαρακτῆρα τῆς ὑποστάσεως τῆς πατρικῆς τὸν Υἱὸν εἰκότως ὡρίσατο, τῷ μὲν τὸ συναΐδιον, τῷ δὲ τὸ ἐνυπόστατον παριστάς. Ἐπειδὴ γὰρ τὸ πρῶτον ἀνυπόστατον φαντασίαν ἴσως τισὶν ἔτι-
κτε, διὰ τοῦ δευτέρου τὴν ὑποστάσεων ποιητικὴν ὑπόστασιν ἐχαρακτήρισε.

ΤΝΣ'– ΤΩ ΑΥΤΩ
Εἰς τό, «Καὶ ἦν Δανιὴλ ὑπὲρ τοὺς ταχτικοὺς καὶ τοὺς σατράπας».

Ἔοικας οὐ συνορᾷν τὰ μέχρι νῦν γινόμενα, καὶ διὰ τοῦτο γεγραφέναι, δι' ἣν αἰτίαν, Δαρείου τοῦ Μήδου τρεῖς ταχτικοὺς χειροτονήσαντος (ὧν εἷς ἦν καὶ ὁ Δανιήλ), ὥστε ἄρχειν τῶν χειροτονηθέντων παρ' αὐτοῦ ἑκατὸν εἴκοσι ἀρχόντων, συγκρίνουσα αὐτὸν ἡ Γραφή, δέον τοῖς ἴσοις μόνον συγκρῖναι, καὶ τοῖς πολλῷ ὑποδεεστέροις συνέκρινεν. Ἦρκει γάρ, ἔφης, ἡ τῶν συντεταγμένων ὑπεροχὴ καὶ τὴν κατὰ τῶν ὑποτεταγμένων νίκην ἐνδείξασθαι. Νῦν δέ φησι· «Καὶ ἦν Δανιὴλ ὑπὲρ τοὺς ταχτικοὺς καὶ τοὺς σατράπας»· τοῦτ' ἔστι, σοφώτερος ἀπεδείχθη, καὶ κατὰ

46. Ἑβρ. 1, 3.

(πρᾶγμα ποὺ οὔτε νὰ τὸ ποῦμε ἐπιτρέπεται), αὐτὸς ποὺ κατηγορεῖ τὴ θεία γέννηση, θὰ ἔπρεπε νὰ ἀκούσει, ὅτι ἐὰν σὲ σένα δημιουργεῖται ὑπόνοια πάθους σχετικὰ μὲ τὴ γέννηση, καὶ σὲ μένα συμβαίνει τὸ ἴδιο μὲ τὴν κτίση. Γιατὶ οὔτε αὐτὸ ποὺ κτίζεται (ἂν ἀκολουθοῦσα τοὺς ἀδύνατους συλλογισμοὺς τῶν ἀνθρώπων) κτίζεται χωρὶς πάθος. Ἐὰν ὅμως ἡ γέννηση ἔγινε ὅπως ταιριάζει στὸν Θεό, καὶ αὐτὰ ποὺ ἁρμόζουν στὴν ἀκηλίδωτη οὐσία τὰ ἀποδέχθηκε, ἐνῶ αὐτὰ ποὺ εἶναι ἀνάρμοστα τὰ ξεπέρασε, πρέπει, ἐὰν φυσικὰ ἔχει τὸ νοῦ του δυνατόν, νὰ καταλάβει, ὅτι ἀφοῦ ὁ θνητὸς γεννάει μὲ τὸν τρόπο αὐτόν, ὁ ἀθάνατος δὲν γεννάει ἔτσι. Ὅπως βέβαια καὶ αὐτὸς ποὺ κτίζει, ὁ ἄνθρωπος κτίζει μὲ κόπο, ἐνῶ ὁ Θεὸς χωρὶς κόπο. Αὐτὰ λοιπὸν φέροντας στὴ σκέψη του καὶ ὁ πολυόμματος νοῦς, καὶ σὰν νὰ πληρώθηκε ἀπὸ θεία ἔμπνευση, ἀφοῦ παρέκαμψε ὅλα τὰ γήϊνα παραδείγματα, δικαιολογημένα χαρακτήρισε τὸν Υἱὸ ἀκτινοβολία τῆς δόξας καὶ σφραγίδα τῆς οὐσίας τοῦ Πατέρα[46], παριστάνοντας μὲ τὸ πρῶτο τὸ συναιώνιο, καὶ μὲ τὸ δεύτερο τὸ ἐνυπόστατο αὐτοῦ. Ἐπειδὴ δηλαδὴ τὸ πρῶτο ἴσως νὰ δημιουργοῦσε σὲ κάποιους τὴν ἐντύπωση ὅτι ἦταν φαντασία χωρὶς ὑπόσταση, μὲ τὸ δεύτερο χαρακτήρισε τὴν ὑπόσταση ποὺ δημιουργεῖ τὶς ὑποστάσεις.

356.- ΣΤΟΝ ΙΔΙΟ

Στὴ ρήση· «Καὶ ὁ Δανιὴλ ἦταν ἀνώτερος ἀπὸ τοὺς διοικητὲς καὶ τοὺς σατράπες»[47].

Φαίνεται πῶς δὲν βλέπεις αὐτὰ ποὺ γίνονται μέχρι τώρα καὶ γι' αὐτὸ μοῦ ἔγραψες, γιὰ ποιὸν λόγο, ὅταν ὁ Δαρεῖος, ὁ βασιλιὰς τῶν Μήδων, διόρισε τρεῖς ἀνώτατους διοικητὲς (ἕνας ἀπὸ τοὺς ὁποίους ἦταν καὶ ὁ Δανιήλ), ὥστε νὰ εἶναι διοικητὲς τῶν ἑκατὸν εἴκοσι σατραπῶν ποὺ εἶχαν διοριστεῖ ἀπὸ αὐτόν, ἡ Γραφὴ συγκρίνοντας τὸν (Δανιήλ), ἐνῶ ἔπρεπε νὰ τὸν συγκρίνει μόνο μὲ τοὺς ἴσους, ἔκανε τὴ σύγκρισή του καὶ μὲ τοὺς κατὰ πολὺ κατωτέρους. Γιατὶ ἀρκοῦσε, εἶπες, ἡ ὑπεροχὴ αὐτῶν ποὺ ἦταν στὸ ἴδιο ἀξίωμα, νὰ δείξει καὶ τὴν ὑπεροχή του ἀπέναντι στοὺς κατωτέρους του. Τώρα ὅμως λέγει· «Καὶ ὁ Δανιὴλ ἦταν ἀνώτερος ἀπὸ τοὺς διοικητὲς καὶ τοὺς σατράπες»[47],

47. Δαν. 6, 3.

τὴν διοίκησιν ἐπιτηδειότερος, οὐ μόνον τῶν δυοῖν τῶν ἐξόχων, ἀλλὰ καὶ τῶν μετ' αὐτούς. Ἡ δὲ λύσις τοῦ ζητουμένου αὕτη. Ἐπειδὴ ἐνεδέχετο τὴν τοῦ βασιλέως κρίσιν, οὐχ ὑγιῆ τυγχάνουσαν, πολλάκις τοὺς φαυλοτέρους εἰς ἀρχὴν φέρειν (ὃ δὴ φιλεῖ γίνεσθαι, οὐ μόνον ἐπὶ τῶν βασιλειῶν, ἀλλὰ καὶ ἐπὶ τῶν Ἐκκλησιῶν· τί γὰρ δὴ θαυμάζειν, εἰ οἱ τὰ βιωτικὰ ἐγκεχειρισμένοι τοιαῦτα ἁμαρτάνουσιν, ὁπότε καὶ εἰς τὰ ἅγια εἰσεκώμασεν αὕτη ἡ ἀλογία;), εἶναι δέ τινας τῷ πλήθει συνέσει τούτων προὔχοντας, ἀναγκαίως τὴν σύγκρισιν τοῦ δικαίου οὐ πρὸς τοὺς δύο μόνους ἐποιήσατο τακτικούς, τοῦτ' ἔστι, τοὺς στρατιωτικῶν τάξεων ἡγουμένους, καὶ τάττοντας ταύτας ὅποι χρή, εἴτε ἐν πολέμῳ, εἴτε ἐν εἰρήνῃ, ἀλλὰ καὶ πρὸς τοὺς ἄλλους ἅπαντας, οὐκ ἀπὸ τῆς κρατοῦντος γνώμης, τῆς πολλάκις διαμαρτανούσης, ἀλλ' ἀπὸ τῆς τῶν πραγμάτων ἀληθείας αὐτὸν στεφανοῦσα. Ὑπερέφερε γὰρ οὐ μόνον τῶν δοξάντων τῷ βασιλεῖ συνετῶν εἶναι, ἀλλὰ καὶ τῶν ὄντως συνετῶν. Διὸ καὶ βασιλεὺς μὲν κατέστησεν αὐτὸν ἐφ' ὅλης τῆς βασιλείας, ἐκ τῶν πραγμάτων κρείττονα τῶν λοιπῶν δηλονότι ὀφθέντα, οἱ δ' ἄλλοι δόλους καὶ σκευωρίας ῥάπτειν διεγίνωσκον. Φθόνος γὰρ ταῖς εὐπραγίαις ἀντιστρατεύεσθαι πέφυκεν.

ΤΝΖ'.– ΗΣΑΪΑ

Συμβουλευτικὴ πρὸς ἀποβολὴν τῆς ἀλαζονείας.

Βλέπε μή ποτε ἡ ἀνυπέρβλητός σου ἀλαζονεία ἀναγκάσῃ τὴν θείαν καὶ ἡμερωτάτην φύσιν τὴν οἰκείαν ἐπιδείξασθαι δύναμιν, τὴν κἀνταῦθα πανωλεθρίᾳ σε παραδοῦναι, κἀκεῖσε πικροτάτας ἀπαιτῆσαι δίκας δυναμένην.

ΤΝΗ'.– ΤΩ ΑΥΤΩ

Περὶ ἀφιλοχρηματίας.

Ὁ χρημάτων κρείττων, οὔτε εἰς τοὺς πλούτῳ κομῶντας,

δηλαδὴ ἀποδείχθηκε πιὸ σοφὸς καὶ καταλληλότερος στὴ διοίκηση, ὄχι μόνο ἀπὸ τοὺς δύο ἐπιφανεῖς, ἀλλὰ καὶ ἀπὸ ἐκείνους ποὺ ἦταν μετὰ ἀπὸ αὐτούς. Ἡ ἐξήγηση λοιπὸν αὐτοῦ ποὺ ζητᾶς εἶναι ἡ ἑξῆς· Ἐπειδὴ ἡ κρίση τοῦ βασιλιᾶ δὲν ἦταν ὑγιής, ὑπῆρχε τὸ ἐνδεχόμενο πολλὲς φορὲς νὰ τοποθετεῖ στὴν ἐξουσία τοὺς πιὸ ἀνάξιους (πρᾶγμα ποὺ συνηθίζεται νὰ γίνεται ὄχι μόνο στὶς βασιλεῖες, ἀλλὰ καὶ στὶς Ἐκκλησίες· καὶ γιατί πρέπει νὰ ἀποροῦμε, ἐὰν αὐτοὶ ποὺ διαχειρίζονται τὰ βιωτικὰ πράγματα κάνουν τέτοια σφάλματα, τὴ στιγμὴ ποὺ ἀκόμα καὶ στὰ ἅγια εἰσχώρησε ὁ παραλογισμὸς αὐτός;), ὑπάρχουν ὅμως καὶ μερικοὶ ἀπὸ αὐτοὺς ποὺ ξεχωρίζουν μὲ τὴ σύνεσή τους, γι' αὐτὸ ἀναγκαστικὰ ἔκανε τὴ σύγκριση τοῦ Δανιήλ, ὄχι μόνο πρὸς τοὺς δύο διοικητές, δηλαδὴ ἐκείνους ποὺ ἡγοῦνταν τῶν στρατιωτικῶν τάξεων, καὶ τοὺς τοποθετοῦσαν ὅπου χρειάζονταν, εἴτε κατὰ τὴ διάρκεια πολέμου, εἴτε σὲ καιρὸ εἰρήνης, ἀλλ' ἔκανε τὴ σύγκρισή του καὶ μὲ ὅλους τοὺς ἄλλους, ὄχι μὲ κριτήριο τὴ γνώμη τοῦ βασιλιᾶ, ἡ ὁποία πολλὲς φορὲς εἶναι λανθασμένη, ἀλλὰ στεφανώνοντάς τον ἀπὸ τὰ ἴδια τὰ πράγματα. Γιατὶ τὸν ἀνέβασε ὄχι μόνο πάνω ἀπὸ ἐκείνους ποὺ κρίθηκαν ἀπὸ τὸν βασιλιὰ συνετοί, ἀλλὰ καὶ ἀπὸ ἐκείνους ποὺ ἦταν πραγματικὰ συνετοί. Γι' αὐτὸ καὶ ὁ βασιλιὰς τὸν τοποθέτησε σὲ ὁλόκληρο τὸ βασίλειο, ἐπειδὴ ἀπὸ τὰ ἴδια τὰ πράγματα φάνηκε ἀνώτερος τῶν ἄλλων, οἱ ἄλλοι ὅμως ἀποφάσισαν νὰ πλέξουν ἐναντίον του δόλους καὶ σκευωρίες. Γιατὶ φθόνος συνήθως ἀντιστρατεύεται στὶς ἐπιτυχίες.

357.- ΣΤΟΝ ΗΣΑΙΑ

Συμβουλευτικὴ πρὸς ἀποβολὴ τῆς ἀλαζονείας.

Πρόσεχε μήπως ἡ ἀνυπέρβλητη ἀλαζονεία σου ἀναγκάσει τὴ θεία καὶ ἡμερώτατη φύση νὰ ἐπιδείξει τὴς δύναμή της, ἡ ὁποία καὶ ἐδῶ θὰ σὲ παραδώσει σὲ πανωλεθρία, καὶ ἐκεῖ μπορεῖ νὰ σοῦ ἐπιβάλει ὀδυνηρότατες τιμωρίες.

358.- ΣΤΟΝ ΙΔΙΟ

Γιὰ τὴ φιλοχρηματία.

Αὐτὸς ποὺ εἶναι ἀνώτερος χρημάτων, οὔτε σ' ἐκείνους ποὺ εἶναι

οὔτε εἰς τοὺς δυσνουθετήτῳ θηρίῳ, τῇ πενίᾳ φημὶ μαχομένους, παρὰ νόμον τι ἀξιοῖ διαπράξασθαι. Οὔτε γὰρ ἐκείνους ἀδικεῖ ἁρπάζων τὰ χρήματα, οὔτε τούτους λήμματι παραφθείρων τὸ δίκαιον.

ΤΝΘ'.– ΛΥΣΟΝΙΩ ΚΟΡΡΗΚΤΟΡΙ

Περὶ τῆς κολακείας.

Ἐπειδὴ δεινὸν ἡ κολακεία, οὐ μόνον τῶν ἀνδρείων, ἀλλὰ καὶ τῶν ἐμφρόνων κλέψαι τὸν νοῦν, διὰ τοῦτο εἰκότως τοῦ φόβου ταύτην φημὶ δυνατωτέραν εἶναι. Τῷ μὲν γὰρ αἰσχύνονται πολλοὶ εἶξαι, τῆς δὲ ἡδέως ἥττωνται, ἀκρίτως καὶ ἀβασανίστως ἑαυτοὺς ἐνδιδόντες.

ΤΞ'.– ΛΕΟΝΤΙΩ

Περὶ τοῦ ἐπηρμένου φρονήματος τοῦ Ζωσίμου.

Μὴ θαύμαζε, ὦ ἄριστε, μηδὲ ἔξω τοῦ πρέποντος ἐξακοντιζέσθω σου τὸ φρόνημα, εἰ κεκλεισμένης, ὡς γέγραφας, Ζωσίμου τῆς παρρησίας, οὐ κιγκλίσι καὶ θύραις τισίν, ἅς τινες ἂν καὶ παρανοίξειαν, ἀλλὰ τοσούτοις καὶ τηλικούτοις ἐγκλήμασιν, ἔτι καὶ ἀθυρογλωττεῖ. Ὥσπερ γὰρ τοῖς κατορθοῦσι μετριάζειν μετὰ τὰ κατορθώματα ἔθος, οὕτω καὶ τοῖς ἁμαρτάνουσι μετὰ τὰ πταίσματα ἐπαίρεσθαι. Εἰ δὲ βούλει ἀπόδειξιν τούτου λαβεῖν, θέα τοὺς τρεῖς παῖδας ἐκείνους, τοὺς κρείττονας τοῦ πυρὸς διὰ δικαιοσύνην ἀποφανθέντας, τί φασιν· «Ἡμάρτομεν, ἠνομήσαμεν, ἠδικήσαμεν». Οἱ δὲ Ἰουδαῖοι, οἷς οὐδὲν ἁμάρτημα ἄπρακτον, οὐδὲ λόγος αἰσχρὸς ἄρρητος ἦν, ἔφασκον· «Ἐφυλάξαμεν τὰ προστάγματά σου καὶ τὰ δικαιώματά σου, καὶ νῦν μακαρίζομεν ἀλλοτρίους».

Μὴ τοίνυν μηδὲ αὐτὸς ταράττου, μηδὲ ἀπηχές τι φθέγγου καὶ ἀπῳδόν, γινώσκων ὅτι τοῦτο μάλιστα δεῖγμά ἐστι τῆς ἐσχάτης αὐτοῦ παραπληξίας.

---

48. Δαν. 3,20. Προσευχὴ Ἀζαρίου 5.

παραφορτωμένοι ἀπὸ πλοῦτο, οὔτε σ' αὐτοὺς ποὺ μάχονται τὸ θηρίο ποὺ δύσκολα νουθετεῖται, ἐννοῶ τὴν φτώχεια, καταδέχεται νὰ κάνει κάτι παράνομο. Γιατὶ οὔτε τοὺς πρώτους ἀδικεῖ ἁρπάζοντας τὰ χρήματά τους, οὔτε τοὺς ἄλλους, διαφθείροντας μὲ δωροδοκία τὸ δίκιο.

359.– ΣΤΟΝ ΣΩΦΡΟΝΙΣΤΗ ΛΥΣΟΝΙΟ
Γιὰ τὴν κολακεία.

Ἐπειδὴ ἡ κολακεία εἶναι φοβερὴ στὸ νὰ ξεγελάσει τὸν νοῦ, ὄχι μόνο τῶν ἀνδρείων, ἀλλὰ καὶ τῶν γνωστικῶν, γι' αὐτὸ δικαιολογημένα λέγω ὅτι αὐτὴ εἶναι πιὸ δυνατὴ ἀπὸ τὸν φόβο. Γιατὶ στὸν φόβο ντρέπονται πολλοὶ νὰ ἐνδώσουν, ἐνῶ ἀπὸ τὴν κολακεία εὐχαρίστως ἡττῶνται, παραδίνοντας τοὺς ἑαυτούς τους ἄκριτα καὶ ἀβασάνιστα.

360.– ΣΤΟΝ ΛΕΟΝΤΙΟ
Γιὰ τὸ ἀλαζονικὸ φρόνημα τοῦ Ζωσίμου.

Νὰ μὴ ἀπορεῖς, ἄριστε, οὔτε νὰ ἐξακοντίζεται ἡ σκέψη σου ἔξω ἀπὸ αὐτὸ ποὺ πρέπει, ἐὰν ἡ ἐλευθεροστομία τοῦ Ζωσίμου, ὅπως ἔγραψες, εἶναι περικλεισμένη ὄχι μὲ κάποια κάγκελλα καὶ πόρτες, τὶς ὁποῖες θὰ μποροῦσαν κάποιοι νὰ παραβιάσουν, ἀλλὰ μὲ τόσο πολλὰ καὶ μεγάλα ἐγκλήματα, καὶ ὅμως ἐξακολουθεῖ ἀκόμα νὰ εἶναι ἀθυρόστομος. Γιατί, ὅπως ἐκεῖνοι ποὺ κάνουν κατορθώματα ὑπάρχει συνήθεια νὰ τὰ μετριάζουν, ἔτσι καὶ αὐτοὶ ποὺ ἁμαρτάνουν, μετὰ τὰ πταίσματα συνηθίζουν νὰ ὑπερηφανεύονται. Καὶ ἂν θέλεις νὰ ἔχεις ἀπόδειξη αὐτοῦ, πρόσεχε ἐκείνους τοὺς τρεῖς παῖδες, ποὺ ἀναδείχθηκαν ἀνώτεροι ἀπὸ τὴ φωτιὰ ἐξαιτίας τῆς ἐνάρετης ζωῆς τους, τί λένε· «Ἁμαρτήσαμε, παρανομήσαμε, ἀδικήσαμε»[48]. Ἀντίθετα οἱ Ἰουδαῖοι, ποὺ δὲν εἶχαν ἀφήσει κανένα ἁμάρτημα ποὺ νὰ μὴ τὸ ἔχουν κάνει, καὶ κανένα αἰσχρὸ λόγο ποὺ νὰ μὴ τὸν ἔχουν ἐκστομίσει, ἔλεγαν· «Φυλάξαμε τὰ προστάγματά σου καὶ τὶς ἐντολές σου, καὶ τώρα μακαρίζουμε τοὺς ξένους»[49].

Οὔτε ἐσὺ λοιπὸν νὰ ταράζεσαι, οὔτε νὰ λὲς κάτι τὸ ἀνάρμοστο καὶ παράφωνο, γνωρίζοντας ὅτι αὐτὸ κατ' ἐξοχὴν εἶναι δεῖγμα τῆς ἀνυπέρβλητης παραφροσύνης του.

---

49. Μαλαχ. 3, 13-14.

ΤΞΑ'.– ΙΕΡΑΚΙ ΛΑΜΠΡΟΤΑΤΩ
Ἐπαινετική.

Οὐ χαλκῆ εἰκὼν χρυσῷ ἀπαστράπτουσα τῆς σῆς πράξεως ἀξία, ἀλλὰ ζωὴ τέλος οὐκ ἔχουσα. Τὴν μὲν γὰρ ὁ χρόνος ἀφανίζει, τὴν δὲ αἰῶνες στεφανοῦσι τελευτὴν μὴ ἐπιστάμενοι.

ΤΞΒ'.– ΕΡΜΟΓΕΝΕΙ ΕΠΙΣΚΟΠΩ
Ὅτι ἄμεινον πράττειν μὴ λέγοντα, ἢ λέγειν μὴ πράττοντα.

Ὥσπερ λόγος ἄπρακτος ἀτελής, οὕτω καὶ πρᾶξις ἄλογος. Ἐκ τούτων γὰρ ἀμφοῖν, εἰ καὶ μὴ βούλοιντο οἱ τὴν ἐλλόγιμον σοφίαν, φαῦλόν τι καὶ πεπατημένον πρᾶγμα παραλόγως οἰόμενοι, ὁ ὀρθὸς καὶ λαμπρὸς χαρακτηρίζεται τῶν ὑφηγητῶν βίος. «Ὃς γὰρ ἂν ποιήσῃ καὶ διδάξῃ, μέγας κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν». Εἰ δὲ χρὴ σύγκρισιν ἀμφοῖν ποιήσασθαι, ἄμεινον πράττειν μὴ λέγοντα, ἢ λέγειν μὴ πράττοντα.

ΤΞΓ'.– ΑΠΟΛΛΩΝΙΩ ΕΠΙΣΚΟΠΩ
Ὅτι οὐκ εὐπρεπὲς τὸ διάζεσθαι καὶ ἕλκειν πρὸς εὐσέβειαν τοὺς αὐτεξουσίους γεγονότας.

Ἐπειδὴ τὸ διάζεσθαι καὶ ἕλκειν πρὸς εὐσέβειαν τοὺς αὐτεξουσίους γεγονότας εὐπρεπὲς οὔτ' ἐστὶν οὔτε δοκεῖ, τῷ πείθειν οὗ καιρός ἐστι χρησάμενος, φώτιζε τῷ σαυτῷ βίῳ τοὺς ἐν σκότῳ διατρίβοντας.

ΤΞΔ'.– ΝΕΙΛΑΜΜΩΝΙ ΔΙΑΚΟΝΩ
Ὅτι μυρίων τιμωριῶν ἄξιοί εἰσιν οἱ πλημμελοῦντες καὶ τῶν ἀχράντων μυστηρίων μιαραῖς χερσὶ τολμῶντες ἅπτεσθαι.

Οἱ μὲν πταίοντες καὶ τοῖς ἱεροῖς μυστηρίοις προσιέναι μὴ τολμῶντες, εὐγνώμονές εἰσι καὶ ταχέως εἰς τὸ μὴ ἁμαρτά-

361.- ΣΤΟΝ ΕΚΛΑΜΠΡΟΤΑΤΟ ΙΕΡΑΚΑ

Ἐπαινετική.

Δὲν εἶναι ἀντάξια τῆς πράξεώς σου χάλκινη εἰκόνα ἐπιχρυσωμένη, ἀλλὰ ζωὴ ποὺ δὲν ἔχει τέλος. Γιατὶ ἐκείνην τὴν καταστρέφει ὁ χρόνος, ἐνῶ αὐτὴν τὴν στεφανώνουν αἰῶνες, ποὺ δὲν γνωρίζουν τέλος.

362.- ΣΤΟΝ ΕΠΙΣΚΟΠΟ ΕΡΜΟΓΕΝΗ

Ὅτι εἶναι προτιμότερο νὰ πράττει κανεὶς καὶ νὰ μὴ λέγει, παρὰ νὰ λέγει καὶ νὰ μὴ πράττει.

Ὅπως ὁ ἀνεκπλήρωτος λόγος εἶναι ἀτελής, ἔτσι καὶ ἡ πράξη χωρὶς λόγο. Γιατὶ ἀπὸ αὐτὰ τὰ δύο, ἂν καὶ δὲν θέλουν ἐκεῖνοι ποὺ ἀπὸ παραλογισμὸ θεωροῦν τὴν ἐλλόγιμη σοφία σὰν ἕνα κακὸ καὶ περιφρονημένο πρᾶγμα, χαρακτηρίζεται ὁ σωστὸς καὶ λαμπρὸς βίος τῶν διδασκάλων. Γιατὶ λέγει· «Ἐκεῖνος ποὺ θὰ τὶς ἐφαρμόσει καὶ θὰ τὶς διδάξει, θὰ ὀνομασθεῖ μέγας στὴ βασιλεία τῶν οὐρανῶν»[50]. Ἐὰν ὅμως χρειασθεῖ νὰ κάνει κανεὶς σύγκριση τῶν δύο, εἶναι προτιμότερο νὰ πράττει καὶ νὰ μὴ λέγει, παρὰ νὰ λέγει καὶ νὰ μὴ πράττει.

363.- ΣΤΟΝ ΕΠΙΣΚΟΠΟ ΑΠΟΛΛΩΝΙΟ

Ὅτι δὲν εἶναι ὡραῖο νὰ ἀναγκάζει κανεὶς καὶ νὰ σύρει πρὸς τὴν εὐσέβεια ἐκείνους ποὺ ἔχουν πλασθεῖ ἐλεύθεροι.

Ἐπειδὴ τὸ νὰ ἐξαναγκάζει κανεὶς καὶ νὰ σύρει πρὸς τὴν εὐσέβεια ἐκείνους ποὺ ἔχουν πλασθεῖ ἐλεύθεροι, οὔτε εἶναι, οὔτε θεωρεῖται ὡραῖο, χρησιμοποιώντας τὴν πειθώ, ὅταν εἶναι κατάλληλη εὐκαιρία, φώτιζε μὲ τὴ ζωή σου αὐτοὺς ποὺ ζοῦν στὸ σκοτάδι.

364.- ΣΤΟΝ ΔΙΑΚΟΝΟ ΝΕΙΛΑΜΜΩΝΑ

Ὅτι εἶναι ἄξιοι μυρίων τιμωριῶν ἐκεῖνοι ποὺ διαπράττουν πλημμελήματα καὶ τολμοῦν νὰ ἀγγίζουν μὲ τὰ μολυσμένα χέρια τους τὰ ἄχραντα μυστήρια.

Αὐτοὶ βέβαια ποὺ διαπράττουν πταίσματα καὶ δὲν τολμοῦν νὰ προσέλθουν στὰ ἱερὰ μυστήρια, εἶναι εὐγνώμονες, καὶ γρήγορα θὰ

50. Ματθ. 5, 19.

νειν περιστήσονται, οἱ δὲ καὶ πλημμελοῦντες καὶ τῶν ἀχράντων μυστηρίων μιαραῖς χερσὶ τολμῶντες ἅπτεσθαι, ὧν εἷς, καθὼς γέγραφας, καὶ Ζώσιμος, μυρίων εἰσὶ τιμωριῶν ἄξιοι. Ἐνόχους γὰρ ἑαυτοὺς ἀποφαίνουσι, κατὰ τὴν ἀψευδῆ τοῦ Παύλου φωνήν, τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ Κυρίου. Διὸ δὴ τοῖς μὲν πρώτοις οὐ πάνυ ἐπιτίθεται ὁ διάβολος, εἰδὼς ὅτι καὶ πταίουσιν, ἀλλ' οὖν γε γικώσκοντες τοῖς θείοις τὸ σέβας φυλάττουσι, τοῖς δὲ δευτέροις, τοῖς καὶ πλημμελοῦσι καὶ μὴ γινώσκουσι, ἢ γινώσκουσι μέν, καταφρονοῦσι δέ, καὶ τῶν ἱερῶν μυστηρίων τολμῶσιν ἅψασθαι, ὅλος ἐπικωμάζει, τεκμήριον τῆς ἀναλγησίας καὶ τῆς διαφθορᾶς τῆς παντελοῦς, τοῦτ' εἶναι εἰκότως οἰόμενος, ὃ δὴ καὶ ἐπὶ τοῦ προδότου πεποίηκεν. Οὐ γάρ, ὡς ἠγῇ, τοῦ Δεσποτικοῦ καταφρονῶν σώματος εἰσῆλθεν εἰς αὐτόν, ἀλλὰ τῆς πονηρίας αὐτοῦ κατα-
γνούς, ὅτι λοιπὸν ἀνίατα νοσεῖ, προδοῦναι μὲν διανοούμενος, μετασχεῖν δὲ μὴ παραιτούμενος, ᾤχετο ἄγων. Εἰ γὰρ εἶδεν αὐτὸν εὐλαβῶς ἔχοντα περὶ τὸ θεῖον μυστήριον καὶ παραιτησάμενον, ἴσως ἂν ὡς ἔτι νήφοντα παρώδευσεν, ἐπεὶ δ' εἶδεν αὐτὸν ὑπὸ τῆς φιλοχρηματίας καρηβαροῦντα καὶ μηκέτι τὸν ὀρθὸν ἔχοντα λογισμόν, ἀλλ' ἐκβαχευθέντα ὑπὸ τῆς ἀκορέστου μέθης, οὐ μὴν δέ, ἀλλὰ καὶ τολμήσαντα ἅψασθαι, ὧν ἅψασθαι τοιοῦτον ὄντα οὐκ ἐχρῆν, τῆς ἀναλγησίας αὐτοῦ καταγνούς, ὅλος εἰς αὐτὸν ἐχώρησε.

ΤΞΕ'– ΤΑΥΡΩ ΥΠΑΡΧΩ

Ὁποῖον χρὴ εἶναι τὸν ὀρθὸν ὅρον τῆς δίκης.

Τότε ὁ ὀρθὸς τῆς δίκης ὅρος σώζεται, ὦ ἀρχικῆς ἀρετῆς ἀψευδέστατον βασανιστήριον, ὅταν τῇ μὲν αἰτιάσει ἡ κρίσις ἀκολουθήσῃ, τῇ δὲ κρίσει ὁ ἔλεγχος, τῷ δὲ ἐλέγχῳ ἡ ψῆφος, ἡ πρὸς τὴν ποιότητα τοῦ ἁμαρτήματος τὴν τιμωρίαν ὁρίζουσα.

φτάσουν καὶ στὸ νὰ μὴ ἁμαρτάνουν, ἐνῶ ἐκεῖνοι ποὺ καὶ ἁμαρτάνουν, καὶ τολμοῦν νὰ ἀγγίζουν μὲ τὰ βέβηλα χέρια τους τὰ ἄχραντα μυστήρια, ἕνας ἀπὸ τοὺς ὁποίους, ὅπως μοῦ ἔγραψες, εἶναι καὶ ὁ Ζώσιμος, εἶναι ἄξιοι μυρίων τιμωριῶν. Γιατὶ ἀποδεικνύουν τοὺς ἑαυτούς τους ἐνόχους, σύμφωνα μὲ τὰ ἀδιάψευστα λόγια τοῦ Παύλου, τοῦ σώματος καὶ αἵματος τοῦ Κυρίου. Γι' αὐτὸ ἀκριβῶς τοὺς πρώτους δὲν τοὺς ἐπιτίθεται πολὺ ὁ διάβολος, ἐπειδὴ γνωρίζει ὅτι καὶ ἁμαρτάνουν, ἀλλὰ καὶ γνωρίζουν νὰ φυλάγουν τὸν σεβασμὸ στὰ θεῖα, ἐνῶ τοὺς δεύτερους, οἱ ὁποῖοι καὶ ἁμαρτάνουν καὶ δὲν γνωρίζουν, ἢ γνωρίζουν βέβαια, ἀλλὰ δείχνουν περιφρόνηση, καὶ τολμοῦν νὰ πιάνουν τὰ ἱερὰ μυστήρια, ἐπιτίθεται ἐναντίον τους σφοδρότατα, θεωρώντας εὔλογα ὅτι αὐτὸ εἶναι ἀπόδειξη τῆς ἀναγλησίας καὶ τῆς πλήρους διαφθορᾶς τους, πρᾶγμα ποὺ ἔχει κάνει καὶ στὴν περίπτωση τοῦ προδότη. Γιατὶ δὲν εἰσῆλθε μέσα του, ὅπως νομίζεις, περιφρονώντας τὸ σῶμα τοῦ Δεσπότη, ἀλλὰ γνωρίζοντας πολὺ καλὰ τὴν πονηρία του, ὅτι δηλαδὴ εἶναι ἀθεράπευτα ἄρρωστος, ἀφοῦ σκεπτόταν νὰ τὸν προδώσει καὶ δὲν παραιτοῦνταν νὰ λάβει μέρος στὸ μυστήριο, ἐπιτέθηκε ἐναντίον του μὲ ὁρμή, ὁδηγώντας τον στὴν προδοσία. Γιατί, ἂν τὸν ἔβλεπε νὰ εἶναι εὐλαβὴς μπροστὰ στὸ θεῖο μυστήριο καὶ νὰ θέλει ν' ἀποφύγει τὴν προδοσία, ἴσως, βλέποντάς τον ἀκόμα νηφάλιο, νὰ τὸν προσπερνοῦσε, ἐπειδὴ ὅμως τὸν εἶδε νὰ εἶναι μεθυσμένος ἀπὸ τὴν ἀγάπη του γιὰ τὰ χρήματα καὶ νὰ μὴ ἔχει σωστὰ τὰ λογικά του, ἀλλὰ ἀπὸ τὴν ἀκόρεστη μέθη του νὰ ἔχει κυριευθεῖ ἀπὸ βακχικὴ μανία, καὶ ὄχι μόνο, ἀλλὰ καὶ νὰ τολμᾶ νὰ πιάσει ἐκεῖνα ποὺ δὲν ἔπρεπε, σὰν τέτοιος ποὺ ἦταν, γνωρίζοντας τὴν ἀναλγησία του, εἰσχώρησε ὁλόκληρος μέσα του.

365.- ΣΤΟΝ ΥΠΑΡΧΟ ΤΑΥΡΟ

Γιὰ τὸ ποιὸς πρέπει νὰ εἶναι ὁ ὀρθὸς κανόνας τῆς δίκης.

Ὁ σωστὸς κανόνας τῆς δίκης τηρεῖται τότε, ἀψευδέστατο κριτήριο τῆς ἐξουσιαστικῆς ἀρετῆς, ὅταν τὴν κατηγορία ἀκολουθήσει ἡ κρίση, τὴν κρίση ὁ ἔλεγχος, καὶ τὸν ἔλεγχο ἡ ἀπόφαση, ἡ ὁποία ὁρίζει τὴν ποινὴ ἀνάλογα πρὸς τὴν ποιότητα τοῦ ἁμαρτήματος.

ΤΞΓ'.– ΜΑΡΤΙΑΝΩ, ΖΩΣΙΜΩ, ΜΑΡΩΝΙ, ΕΥΣΤΑΘΙΩ

Προτρεπτικὴ πρὸς ἀπαλλαγὴν ἐκ τῆς μανίας.

Κινδυνεύετε, ὡς πυνθάνομαι, πεφραγμένας ἀπογνώσει τὰς ἀκοὰς ἔχειν, καὶ ὡς ἂν ἔκπαλαι καθοσιώσαντες ἑαυτοὺς ταῖς τιμωρίαις, παροξύνεσθαι πρὸς τοὺς παροινοῦντας τὰ κάλλιστα. Ἐγὼ δὲ εὔχομαι ὑμᾶς ἀνενεγκεῖν ἐκ τῆς μανίας, οὐχ ὅτι βλάβην ὑποστήσομαι μὴ ἀνενεγκόντων ὑμῶν (πλὴν εἰ μή τις λέγει τὴν ἀθυμίαν τὴν προγιγνομένην μοι ἐκ τούτου. Εἰς γὰρ τὸν τοῦ μισθοῦ λόγον οὐδὲν παραβλαβήσομαι), ἀλλ' ἐπειδὴ ποθεινοτέρα μοι ὑμῶν ἡ σωτηρία τῆς τῶν μισθῶν ἀπολαύσεως. Εἰ δέ τις ἀπιστεῖ, πόρρω μὲν τυγχάνων φιλικῆς ἕξεως ἁλώσεται καὶ τὰ ἑαυτοῦ μόνον ζητῶν φωραθήσεται. Εἰ δὲ ἐλεγχόμενος εἰς ἀναισχυντίαν τραπείη καὶ μηδένα ἀνθρώπων τοῦτο κατωρθωκέναι φαίη, ἐλεγχθήσεται καὶ παρὰ τοῦ θεοφιλοῦς Μωσέως, καὶ παρὰ τοῦ σοφωτάτου Παύλου, ὧν ὁ μὲν ἐξαλειφθῆναι τῆς θείας βίβλου ηὔξατο, εἰ μὴ συγγνωσθεῖεν Ἰουδαῖοι, ὁ δὲ καὶ ἀνάθεμα ηὔξατο εἶναι, ἵνα Ἰουδαῖοι πάντες πιστεύσωσιν. Εἰ δὲ πάλιν φαίη, Ἐκείνοις οὖν τοῖς ἀνδράσι παραβάλλεις σαυτόν; Εἴποιμ' ἄν, ὅτι ἐν τοῖς ἄλλοις ἅπασι πλεονεκτήμασιν ἁπάντων σχεδὸν ἀνθρώπων ἐλαττούμενος, οὗ φημι τούτοιν μόνον τοῖν δυοῖν. Τούτου μόνου ἐκθύμως περιέχομαι, τοῦ βούλεσθαι πάντας, τό γε ἡμέτερον μέρος, σωθῆναι.

ΤΞΔ'.– ΕΡΜΟΓΕΝΕΙ ΚΑΙ ΛΑΜΠΕΤΙΩ ΕΠΙΣΚΟΠΩ

Περὶ τῆς τοῦ Εὐσεβίου κακότητος.

Ἐπειδή, ὡς γεγράφατε, δεινότατος ὢν Εὐσέβιος ἐπιτιμῆσαι ἑτέροις, καὶ αἰτιάσασθαι τὰ ψεύδη, καὶ μέμψεις ἀτόπους συμπλάσαι, αὐτὸς μὲν παντὸς μᾶλλον ἔνοχός ἐστιν οἷς

366.- ΣΤΟΥΣ ΜΑΡΤΙΝΙΑΝΟ, ΖΩΣΙΜΟ, ΜΑΡΩΝΑ ΚΑΙ ΕΥΣΤΑΘΙΟ

Προτρεπτικὴ πρὸς ἀπαλλαγὴ ἀπὸ τὴ μανία τους.

Κινδυνεύετε, ὅπως μαθαίνω, νὰ ἔχετε φραγμένα ἀπὸ τὴν ἀπόγνωση τὰ αὐτιά σας, καὶ σὰν νὰ ἔχετε ἀπὸ πολὺ καιρὸ παραδομένους τοὺς ἑαυτούς σας στὶς τιμωρίες, ἐξοργίζεστε πρὸς ἐκείνους ποὺ σᾶς συμβουλεύουν τὰ καλύτερα. Ἐγὼ ὅμως εὔχομαι νὰ συνέλθετε ἀπὸ τὴ μανία, ὄχι βέβαια ὅτι θὰ ὑποστῶ βλάβη ἂν δὲν ἀνανήψετε (ἐκτὸς φυσικὰ ἐὰν ἀναφέρει κανεὶς τὴ λύπη ποὺ δοκιμάζω ἀπὸ αὐτό. Γιατὶ ὅσον ἀφορᾶ τὸ θέμα τοῦ μισθοῦ δὲν θὰ βλαβῶ καθόλου), ἀλλ' ἐπειδὴ ἡ σωτηρία σας μοῦ εἶναι πιὸ ποθητὴ ἀπὸ τὴν ἀπόλαυση τῶν ἀμοιβῶν. Ἐὰν ὅμως κάποιος δὲν μὲ πιστεύει, αὐτὸς θὰ ἀποδειχθεῖ ὅτι βρίσκεται μακριὰ ἀπὸ τὴ φιλικὴ συνήθεια, καὶ θὰ συλληφθεῖ ἐπ' αὐτοφώρω νὰ ἐπιδιώκει μόνο τὰ δικά του. Ἐὰν ὅμως ἐλεγχόμενος τραπεῖ σὲ αὐθάδεια, καὶ πεῖ ὅτι κανένας ἀπὸ τοὺς ἀνθρώπους δὲν τὸ ἔχει κατορθώσει αὐτό, θὰ κατηγορηθεῖ καὶ ἀπὸ τὸν ἀγαπητὸ στὸν Θεὸ Μωυσῆ, καὶ ἀπὸ τὸν σοφώτατο Παῦλο, ἀπὸ τοὺς ὁποίους ὁ ἕνας προσευχήθηκε νὰ ἐξαλειφθεῖ ἀπὸ τὴ θεία βίβλο, ἐὰν δὲν συγχωρηθοῦν οἱ Ἰουδαῖοι, καὶ ὁ ἄλλος εὐχήθηκε νὰ γίνει ἀνάθεμα[50α], γιὰ νὰ πιστέψουν ὅλοι οἱ Ἰουδαῖοι. Ἂν πάλι πεῖ, Μ' ἐκείνους λοιπὸν τοὺς ἄνδρες συγκρίνεις τὸν ἑαυτό σου; θὰ μποροῦσα νὰ τοῦ πῶ, ὅτι εἶμαι κατώτερος, ὄχι μόνο ἀπὸ αὐτοὺς τοὺς δύο, ἀλλὰ καὶ ὡς πρὸς ὅλα τὰ ἄλλα πλεονεκτήματα ὅλων τῶν ἄλλων ἀνθρώπων. Μόνο ἀπ' αὐτὸ διακατέχομαι ὁλόψυχα, τὸ νὰ θέλω ὅλοι, ὅσον ἐξαρτᾶται ἀπὸ μένα, νὰ σωθοῦν.

367.- ΣΤΟΝ ΕΡΜΟΓΕΝΗ ΚΑΙ ΤΟΝ ΕΠΙΣΚΟΠΟ ΛΑΜΠΕΤΙΟ

Γιὰ τὴν κακότητα τοῦ Εὐσεβίου.

Ἐπειδή, ὅπως μοῦ γράψατε, ὁ Εὐσέβιος, ὄντας δεινότατος στὸ νὰ ἐπιπλήττει ἄλλους, νὰ κατηγορεῖ χρησιμοποιώντας ψεύδη, καὶ νὰ πλάθει κατηγορίες ποὺ δὲν εὐσταθοῦν, ὁ ἴδιος εἶναι ἔνοχος περισσότερο γιὰ ὅλα ὅσα κατηγορεῖ, καὶ μὲ αὐτὸ τὸ τέχνασμα πιστεύει ὅτι θὰ

50α. Ἐξ. 32, 32 καὶ Ρωμ. 9, 3.

αἰτιᾶται, διὰ δὲ μηχανῆς ταύτης λήσειν οἴεται, μανθανέτω, ὅτι τὸ σοφὸν αὐτῷ, ἡλίθιον ἔσται. Καὶ τοῦτ' αὐτὸ μάλιστα οὐ λανθάνει, ὅτι λαθεῖν μηχανώμενος, μᾶλλον ἁλίσκεται.

ΤΞΗ'.– ΖΩΣΙΜΩ ΠΡΕΣΒΥΤΕΡΩ

Ὅτι χρὴ ἐξημεροῦν καὶ πραΰνειν τὰ μεμηνότα καὶ λυττῶντα τῆς σαρκὸς πάθη.

Τὰ μεμηνότα καὶ λυττῶντα τῆς σαρκὸς πάθη τιθασσεύειν καὶ ἐξημεροῦν καὶ πραΰνειν χρή, εἰ δὲ μὴ πείθοιντο, καὶ κολάζειν, ὡς δέχεται. Σὺ δέ, ὥς φασι, τὰς ἡνίας αὐτοῖς ἐνδούς, ἄγῃ ὅποι δ' ἂν ἐκεῖνα βούλοιντο. Βούλονται δ' εἰς ὄλεθρον καὶ ἀπώλειαν τελευτᾷν. Ἵν' οὖν μὴ εἰς τὸν πυθμένα τῶν κακῶν ἐξακοντισθείης, φρόντισον αὐτὰ ἀνασειράσαι.

ΤΞΘ'.– ΕΥΣΤΑΘΙΩ ΔΙΑΚΟΝΩ

Συμβουλευτική.

Εἰ μὲν κεκάκωτό σου τὸ λογιστικὸν τῆς ψυχῆς εὐθὺς ἀπὸ γονῆς, ἢ διὰ νόσους τινὰς ἀνιάτους ἠφάνιστο, ἴσως ἂν συγγνώμης ἔτυχες ἐπὶ τοῖς δρωμένοις. Εἰ δὲ τοῦτο μὲν οὐ πέπονθας, ὑπὸ δὲ ἀνυπερβλήτου ῥᾳθυμίας κατέχωσας τοῦτο, μᾶλλον δὲ ἐνέκρωσας, οὐδὲ συγγνώμης τυγχάνεις παρὰ τῶν θεωμένων. Δυνάμενος γὰρ τοῦτο αὖθις ἀναζωπυρῆσαι ταῖς δεούσαις ἐπιμελείαις, οὐ μόνον οὐ φροντίζεις ὅπως τοῦτο γένηται, ἀλλὰ καὶ ὅπως μηδέποτε γένηται κατασκευάζεις. Τοσοῦτον γὰρ ἡ κακία τὴν ἀρετὴν παρὰ σοὶ παρηυδοκίμησεν, ὡς μηδὲ κακία εἶναι νομίζεσθαι. Εἰ τοίνυν βούλει τῆς κωμῳδίας ἀπαλλαγῆναι, ἀνάνευσον μικρόν, ἵνα, γνοὺς οἵ τῶν κακῶν ἐξηκοντίσθης, σπουδάσειας ἀναδραμεῖν.

ΤΟ'.– ΕΡΜΙΝΩ ΚΟΜΗΤΙ

Περὶ ἀνδρίας καὶ πραότητος.

Πολλοὶ μὲν τροπαιοῦχοι ἀνδρίαν κτησάμενοι, φιλανθρωπίᾳ

διαφύγει, ἂς μάθει, ὅτι ἐκεῖνο ποὺ γι᾽ αὐτὸν εἶναι σοφό, θὰ ἀποδειχθεῖ ἠλίθιο. Καὶ ἂς μὴ λησμονεῖ καὶ αὐτὸ προπάντων, ὅτι, ἐνῶ μεθοδεύει τρόπο νὰ διαφύγει τὴν ἐνοχή, συλλαμβάνεται νὰ εἶναι περισσότερο ἔνοχος.

368.– ΣΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟ ΖΩΣΙΜΟ

Ὅτι πρέπει νὰ ἐξημερώνουμε καὶ νὰ καταπραΰνουμε τὰ μανιασμένα καὶ λυσσασμένα πάθη τῆς σάρκας.

Πρέπει νὰ τιθασσεύουμε καὶ νὰ ἐξημερώνουμε καὶ νὰ καταπραΰνουμε τὰ μανιασμένα καὶ λυσσασμένα πάθη τῆς σάρκας, καὶ ἐὰν δὲν πειθαρχοῦν, νὰ τὰ τιμωροῦμε, ὅσο εἶναι δυνατόν. Σὺ ὅμως, ὅπως λένε, ἔχοντας παραδώσει τὰ χαλινάρια σ᾽ αὐτά, ὁδηγεῖσαι ὅπου θέλουν ἐκεῖνα. Καὶ φυσικὰ θέλουν νὰ καταλήξουν στὸν ὄλεθρο καὶ τὴν ἀπώλεια. Γιὰ νὰ μὴ ἐξακοντισθεῖς λοιπὸν στὸν πυθμένα τῶν κακῶν, φρόντισε νὰ τὰ συγκρατήσεις.

369.– ΣΤΟΝ ΔΙΑΚΟΝΟ ΕΥΣΤΑΘΙΟ

Συμβουλευτική.

Ἐὰν εἶχε πάθει κάκωση ἡ λογικὴ δύναμη τῆς ψυχῆς σου ἀμέσως ἀπὸ τὴ γέννησή σου, ἢ εἶχε ἀφανισθεῖ ἀπὸ κάποιες ἀνίατες ἀσθένειες, ἴσως θὰ μποροῦσες νὰ συγχωρηθεῖς γι᾽ αὐτὰ ποὺ κάνεις. Ἐφόσον ὅμως αὐτὸ βέβαια δὲν τὸ ἔπαθες, ἀλλὰ τὴν καταχώνιασες ἀπὸ ὑπερβολικὴ ραθυμία, ἢ μᾶλλον τὴ νέκρωσες, δὲν συγχωρεῖσαι ἀπὸ αὐτοὺς ποὺ σὲ βλέπουν. Γιατί, ἐνῶ μποροῦσες νὰ τὴν ἀναζωπυρώσεις αὐτὴν καὶ πάλι μὲ τὶς φροντίδες ποὺ πρέπει, ὄχι μόνο δὲν φροντίζεις νὰ γίνει αὐτό, ἀλλὰ ἐργάζεσαι ὥστε νὰ μὴ γίνει ποτέ. Γιατὶ τόσο πολὺ ἡ κακία σὲ σένα ξεπέρασε τὴν ἀρετή, ὥστε νὰ μὴ θεωρεῖται ὅτι εἶναι κακία. Ἐὰν λοιπὸν θέλεις νὰ ἀπαλλαγεῖς ἀπὸ τὴν κωμωδία, σήκωσε λίγο ψηλὰ τὸ κεφάλι σου, ὥστε, διαπιστώνοντας πόσο ψηλὰ ἐξακοντίσθηκες στὰ κακά, νὰ φροντίσεις νὰ ἐπιστρέψεις.

370.– ΣΤΟΝ ΚΟΜΗΤΑ ΕΡΜΙΝΟ

Γιὰ τὴν ἀνδρεία καὶ τὴν πραότητα.

Πολλοὶ νικητές, ἀποκτώντας ἀνδρεία, ἀπὸ φιλανθρωπία ἔσωσαν

τοὺς ὑπηκόους διεσώσαντο, καὶ οὓς ἄκοντας κατεδουλώσαντο, τούτους ἑκόντας ἐχειρώσαντο. Ἡ μὲν γὰρ ἀνδρία δεινὴ τὸ μὴ ὑπάρχον κτήσασθαι, ἡ δὲ πραότης αὐτὸ τὸ κτηθὲν ἀμείνων φυλάξαι. Οἱ δὲ τοῦ πράου τροπαιούχου αὐχοῦντες εἶναι φοιτηταὶ καὶ τοῦ οὐρανίου βασιλέως στρατιῶται, οὓς οἱ παρὰ τὴν ἀρχὴν ὑπασπισταὶ πραότητι ἑκόντας ἐχειρώσαντο, τούτους ἀλαζονείᾳ ἄκοντας ἀποσοβοῦσιν. Οὓς γὰρ ἐκεῖνοι ἑκόντας εἰς τὴν ἀρχὴν παρεστήσαντο, τούτους καὶ μὴ βουλομένους διὰ τῆς ἑαυτῶν τυραννίδος ἀπελαύνουσιν. Ὡς γὰρ λυμεῶνες καὶ ἀλάστορες, οὐχ ὡς ποιμένες, τοῖς ὑπηκόοις προσφέρονται. Τί οὖν ποιητέον ἔφης. Οὐδὲν ἄλλο, ἦ, ἀρετὴν ἀσκοῦντας, τὸ θεῖον ἀναμένειν δικαστήριον.

ΤΟΑ΄.– ΘΕΟΔΟΣΙΩ ΠΡΕΣΒΥΤΕΡΩ

Ὅτι ὁ μὲν ἐγκρατὴς λαμπρὸς τῇ ψυχῇ ἐστι καὶ μέγας, τῷ δὲ βίῳ εὐτελής, ὁ δὲ ἀβροδίαιτος τῇ μὲν ψυχῇ ταπεινός ἐστι καὶ μικρός, τῷ δὲ βίῳ πολυτελής.

Ὁ μὲν τὸν ἐγκρατέστατον καὶ αὐταρκέστατον βίον ἑλόμενος, τῇ μὲν ψυχῇ λαμπρός ἐστι καὶ μέγας, τῷ δὲ βίῳ εὐτελής. Πολλοῦ γὰρ ἄξιος ὤν, ἀναλίσκει ὀλίγα. Ὁ δὲ τὸν ἀβροδίαιτον βίον τιμῶν καὶ τὴν φλεγμαίνουσαν τράπεζαν διώκων, τῇ μὲν ψυχῇ ταπεινός ἐστι καὶ μικρὸς καὶ χαρίτων ἔρημος, τῷ δὲ βίῳ πολυτελής. Οὐδενὸς γὰρ ἄξιος ὤν, πλεῖστα ἀναλίσκει. Διὸ ἐκεῖνος μέν, ἅτε ὀλίγοις ἀρκούμενος, πλουσιώτατον ἑαυτὸν εἶναι ἡγεῖται, οὗτος δέ, πολλὰ ἀναλίσκων, εἰς τὰς τῶν πέλας οὐσίας τὰς μιαρὰς ἑαυτοῦ ῥίπτει χεῖρας, διὸ καὶ πενέστατον ἑαυτὸν εἶναι ἡγεῖται. Τίς οὖν τῶν ἐχεφρόνων τὸν μὲν πρότερον οὐ ζηλώσει, τὸν δὲ δεύτερον οὐ μισήσει;

ΤΟΒ΄.– ΘΕΩΝΙ ΠΕΣΒΥΤΕΡΩ

Γιὰ τὸν Μάρωνα.

Λίαν ἤσθην πυθόμενος, ὅτι ὁ σὸς διάδικος ὥρμησε μὲν κατὰ

τοὺς ὑπηκόους τους. Καὶ αὐτοὺς ποὺ ὑποδούλωσαν χωρὶς νὰ τὸ θέλουν, τοὺς ὑπέταξαν μὲ τὴ θέλησή τους. Γιατὶ ἡ ἀνδρεία εἶναι ἱκανὴ νὰ ἀποκτήσει αὐτὸ ποὺ δὲν ὑπάρχει, ἐνῶ ἡ πραότητα αὐτὸ ποὺ ἀποκτήθηκε εἶναι κατάλληλη νὰ τὸ διαφυλάξει. Αὐτοὶ ὅμως ποὺ καυχῶνται, ὅτι εἶναι μαθητὲς τοῦ πράου θριαμβευτῆ, καὶ στρατιῶτες τοῦ οὐράνιου βασιλιᾶ, τοὺς ὁποίους οἱ ὑπερασπιστὲς τῆς ἐξουσίας τοὺς ὑπέταξαν μὲ πραότητα ἐθελοντικά, αὐτοὺς μὲ τὴν ἀλαζονεία, χωρὶς νὰ θέλουν, τοὺς διώχνουν. Γιατὶ ἐκείνους ποὺ ἐκεῖνοι στὴν ἀρχὴ τοὺς προσείλκυσαν μὲ τὴ θέλησή τους, αὐτούς, καὶ παρὰ τὴ θέλησή τους, μὲ τὴν τυραννικὴ ἐξουσία τους τοὺς διώχνουν. Γιατὶ προσφέρονται στοὺς ὑπηκόους τους σὰν ἐκμεταλλευτὲς καὶ τιμωροί, καὶ ὄχι σὰν ποιμένες. Ρώτησες λοιπόν, τί πρέπει νὰ κάνουμε. Τίποτε ἄλλο, παρὰ νὰ ἀσκοῦμε τὴν ἀρετή, περιμένοντας τὸ θεῖο δικαστήριο.

371.- ΣΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟ ΘΕΟΔΟΣΙΟ

Ὅτι ὁ ἐγκρατὴς εἶναι λαμπρὸς καὶ μέγας στὴν ψυχή, ἀλλ' εὐτελὴς στὴ ζωή, ἐνῶ ὁ μαλθακὸς εἶναι ταπεινὸς καὶ μικρὸς ὡς πρὸς τὴν ψυχή, ἀλλὰ πολυτελὴς ὡς πρὸς τὴ ζωή.

Αὐτὸς βέβαια ποὺ προτίμησε τὴ ζωὴ ποὺ συνοδεύεται ἀπὸ ὑπερβολικὴ ἐγκράτεια καὶ αὐτάρκεια, ὡς πρὸς τὴν ψυχή του εἶναι λαμπρὸς καὶ μεγάλος, ἐνῶ στὴ ζωή του λιτός. Γιατί, ἐνῶ εἶναι πολὺ ἄξιος, δαπανᾶ λίγα. Ἀντίθετα ἐκεῖνος ποὺ ἀποδίδει μεγάλη ἀξία στὸν μαλθακὸ βίο καὶ ἐπιδιώκει τὴν προκλητικὴ τράπεζα, στὴ ψυχὴ εἶναι ταπεινὸς καὶ μικρὸς καὶ γυμνὸς ἀπὸ χάρες, ἐνῶ στὴ ζωὴ πολυδάπανος. Γιατί, ἐνῶ δὲν εἶναι ἄξιος γιὰ τίποτε, ξοδεύει πολλά. Γι' αὐτὸ ἐκεῖνος, ἐπειδὴ ἀρκεῖται σὲ λίγα, νομίζει ὅτι εἶναι πλουσιώτατος, ἐνῶ αὐτός, ἐπειδὴ δαπανᾶ πολλά, βάζει τὰ μολυσμένα χέρια του στὶς περιουσίες τῶν συνανθρώπων του, γι' αὐτὸ καὶ θεωρεῖ τὸν ἑαυτό του φτωχότατον. Ποιὸς λοιπὸν ἀπὸ τοὺς μυαλωμένους δὲν θὰ ζηλέψει τὸν πρῶτο, καὶ δὲν θὰ μισήσει τὸν δεύτερο;

372.- ΣΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟ ΘΕΩΝΑ

Γιὰ τὸν Μάρωνα.

Χάρηκα πολὺ μαθαίνοντας, ὅτι ὁ ἀντίδικός σου ὅρμησε βέβαια

σου ὡς αὐτοβοεὶ περιεσόμενος, ἐρράγη δέ, καθάπερ ἐν τοῖς ὀλυμπιακοῖς ἀγῶσιν, ὑπὸ τῆς σῆς φιλοσοφίας νενικημένος.

ΤΟΓ'.– ΕΡΜΙΝΩ, ΔΩΡΟΘΕΩ, ΙΕΡΑΚΙ ΛΑΜΠΡΟΤΑΤΩ

Ὅτι, ὁ βουλόμενος μεγάλα ἑαυτοῦ ποιῆσαι τὰ κατορθώματα, μὴ ἡγείσθω αὐτὰ εἶναι μεγάλα, καὶ τότε ἔσται μεγάλα.

Ὁ μὲν τὴν ἀρετὴν ἀσκῶν στέφανον ἔχει λαμπρόν, ὁ δὲ κατορθῶν μέν, μὴ ἡγούμενος κατωρθωκέναι, καὶ αὐτοῦ τοῦ οὕτω διακεῖσθαι χάριν, στέφανον ἕξει λαμπρότερον. Ἀντίροπον γὰρ τῶν κατορθωμάτων ἐστὶ τὸ κατορθοῦντα, μὴ ἡγεῖσθαι κατορθωκέναι. Μᾶλλον δὲ τοῦτο παρόν μέν, κἀκεῖνα δείκνυσι μεγάλα, ἀπὸν δέ, καὶ τὰ μέγιστα κατασμικρύνει. Ὁ βουλόμενος τοιγαροῦν μεγάλα αὐτοῦ ποιῆσαι τὰ κατορθώματα, μὴ ἡγείσθω αὐτὰ εἶναι μεγάλα, καὶ τότε ἔσται μεγάλα.

ΤΟΔ'.– ΑΡΧΟΝΤΙΩ ΠΡΕΣΒΥΤΕΡΩ

Περὶ τῆς ἀρετῆς καὶ τῆς παιδεύσεως.

Ἡ μὲν ἀρετὴ καὶ τὴν εὐημερίαν καὶ τὴν δυσημερίαν κοσμεῖν εἴωθε, ἡ δὲ παίδευσις, τῆς μὲν δοκεῖ κόσμος εἶναι, τῆς δ' ὅρμος. Εἰ μὲν οὖν ἄμφω ἔχειν δυνατόν, εὖ ἂν ἔχοι, εἰ δὲ θάτερον λείπεται, ἄμεινον ἑλέσθαι τὴν ἀρετήν. Τὸ γὰρ εἶναι, τοῦ δοκεῖν ἄριστον, παρ' ἐμοὶ κριτῇ, προτιμότερον.

ΤΟΕ'.– ΕΡΜΙΝΩ ΚΟΜΗΤΙ

Ἐπαινετική.

Θαυμαστά τινα περὶ σοῦ οἱ τῆς σῆς θέας ἀπολαύσαντες περιᾴδουσιν, ὅτι, ἡμερότητος τυγχάνων ἄγαλμα καὶ ἐπανθοῦσαν ἔχων τῷ προσώπῳ τὴν αἰδώ, τῷ βλοσυρῷ τῶν ὀφθαλμῶν τοὺς πλημμελεῖν προῃρημένους προαναστέλλεις, τὴν μὲν γαλήνην τοῖς ὀρθῶς βιοῦσι, τὸν δὲ φόβον τοῖς ῥᾳθύμοις ἐπιδεικνύμενος. Τὴν μὲν γὰρ τοῖς ἀδικουμένοις προτείνεις, τὸν δὲ τοῖς

ἐναντίον σου γιὰ νὰ σὲ νικήσει ἀμέσως, ἀλλ' ὅμως συντρίφθηκε, ὅπως στοὺς ὀλυμπιακοὺς ἀγῶνες, νικημένος ἀπὸ τὴ δική σου φιλοσοφία.

373.- ΣΤΟΥΣ ΕΡΜΙΝΟ, ΔΩΡΟΘΕΟ, ΚΑΙ ΤΟΝ ΕΚΛΑΜΠΡΟΤΑΤΟ ΙΕΡΑΚΑ

Ὅτι αὐτὸς ποὺ θέλει νὰ κάνει μεγάλα τὰ κατορθώματά του, νὰ μὴ θεωρεῖ ὅτι αὐτὰ εἶναι μεγάλα, καὶ τότε θὰ εἶναι μεγάλα.

Αὐτὸς βέβαια ποὺ ἀσκεῖ τὴν ἀρετὴ ἔχει λαμπρὸ στεφάνι, ἐκεῖνος ὅμως ποὺ ἀσκεῖ τὴν ἀρετή, ἀλλὰ δὲν νομίζει ὅτι τὴν ἔχει κατορθώσει, θὰ ἔχει πιὸ λαμπρὸ στεφάνι. Γιατὶ εἶναι ἰσοδύναμο πρὸς τὰ κατορθώματα, τὸ νὰ τὰ κατορθώνει κανείς, ἀλλὰ νὰ μὴ νομίζει ὅτι τὰ ἔχει κατορθώσει. Ἡ καλύτερα, ὅταν εἶναι αὐτὸ παρόν, καὶ ἐκεῖνα τὰ δείχνει μεγάλα, ἐνῶ ὅταν ἀπουσιάζει, καὶ τὰ πολὺ μεγάλα τὰ μικραίνει πάρα πολύ. Αὐτὸς λοιπὸν ποὺ θέλει νὰ κάνει μεγάλα τὰ κατορθώματά του, νὰ μὴ νομίζει ὅτι αὐτὰ εἶναι μεγάλα, καὶ τότε θὰ εἶναι μεγάλα.

374.- ΣΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟ ΑΡΧΟΝΤΙΟ

Γιὰ τὴν ἀρετὴ καὶ τὴν παιδαγωγία.

Ἡ ἀρετὴ συνήθως στολίζει καὶ τὴν εὐημερία καὶ τὴ δυστυχία, ἐνῶ ἡ παιδαδωγία εἶναι στολίδι τῆς εὐημερίας, καὶ λιμάνι τῆς δυστυχίας. Ἐὰν λοιπὸν εἶναι δυνατὸν νὰ τὰ ἔχουμε καὶ τὰ δύο, ἔχει καλῶς, ἐὰν ὅμως λείπει τὸ ἕνα ἀπὸ τὰ δύο, εἶναι προτιμότερο νὰ προτιμήσουμε τὴν ἀρετή. Γιατὶ τὸ νὰ εἴμαστε ἄριστοι, ἀπὸ τὸ νὰ νομίζουμε ὅτι εἴμαστε, εἶναι, κατὰ τὴ γνώμη μου, προτιμότερο.

375.- ΣΤΟΝ ΚΟΜΗΤΑ ΕΡΜΙΝΟ

Ἐπαινετική.

Διαδίδουν κάποια ἀξιοθαύμαστα γιὰ σένα αὐτοὶ ποὺ εἶχαν τὴν εὐκαιρία νὰ σὲ δοῦν, ὅτι δηλαδὴ εἶσαι κόσμημα ἡπιότητας καὶ ἔχεις στὸ πρόσωπό σου ἔντονα ἔκδηλη τὴν ντροπή, καὶ μὲ τὴν αὐστηρότητα τῶν ματιῶν σου ἀνακόπτεις ἀπὸ τὴν ἀρχὴ ἐκείνους ποὺ ἐπιθυμοῦν νὰ ἁμαρτήσουν, δείχνοντας τὴν ἠρεμία σ' αὐτοὺς ποὺ ζοῦν σωστά, καὶ τὸν φόβο στοὺς ράθυμους. Γιατὶ σὲ ἐκείνους ποὺ ἀδικοῦνται προσφέρεις ἠρεμία, καὶ σ' ἐκείνους ποὺ ἀδικοῦν προκαλεῖς φόβο. Νὰ

ἀδικοῦσιν ἐφοπλίζεις. Χρῶ τοίνυν, ὦ θαυμάσιε, διὰ τέλους τοῖς θαυμαστοῖς τούτοις πλεονεκτήμασι.

ΤΟΣ'.– ΤΙΝΙ ΗΓΟΥΜΕΝΩ

Ὅτι ὁ Λόγος τοῦ Θεοῦ οὐ μισεῖ τοὺς λόγους, οὐδὲ ἡ Σοφία τὴν σοφίαν ἀποκηρύττει.

Μετὰ τῶν ἄλλων ἐπωνυμιῶν τῶν μεγάλων καὶ θαυμαστῶν, καὶ τῆς θείας αὐτοῦ φύσεως τὴν μεγαλοπρέπειαν, ὡς ἐνδέχεται, σημαινουσῶν, καὶ Λόγος κληθῆναι καταξιώσας, οὐ μισεῖ τοὺς λόγους, οὐδὲ ἡ Σοφία τὴν σοφίαν ἀποκηρύττει, ἀλλὰ τότε κἀκείνους καὶ ταύτην ἔξω τῶν ἱερῶν περιβόλων ἀπελαύνει, ὅταν τὴν κακίαν ἐπαινῶσι καὶ τὴν εἰδωλολατρίαν συγκροτῶσιν. Εἰ δὲ μηδὲν τούτων ποιεῖεν, καὶ ἀσπάζεται καὶ τοῖς ἱεροῖς συλλόγοις συνεστίους ποιεῖ καὶ ὁμοτραπέζους.

ΤΟΖ'.– ΓΕΡΜΑΝΩ ΚΟΜΗΤΙ

Περὶ τοῦ ἀληθοῦς τροπαιούχου.

Οὐχ ὁ τοὺς ἔξωθεν βαρβάρους νικῶν, τροπαιοῦχος ἂν εἰκότως καλοῖτο, ἀλλ' ὁ τὸν ἔσω πόλεμον τῶν ἡδονῶν χειρούμενος. Πολλοὶ μέν, ἐκείνους νενικηκότες, ὑπὸ τούτων αἰσχρῶς καὶ ἐλεεινῶς ἑάλωσαν.

ΤΟΗ'.– ΕΠΙΜΑΧΩ ΣΧΟΛΑΣΤΙΚΩ

Παρακλητική.

Ὁ φίλος ὁ σός, ἐν μεγίστῳ κλύδωνι πραγμάτων ἀποληφθεὶς καὶ πᾶσαν κινήσας μηχανήν, ὥσπερ οἱ κυβερνῆται, ὧν ὁ χειμὼν τὴν τέχνην ἐβάπτισεν, ἐν εὐχαῖς σαλεύει. Εὔχου τοίνυν καὶ αὐτός, ὅπως κρείττων χειμῶνος γένηται.

ΤΟΘ'.– ΘΕΟΔΩΡΩ ΣΧΟΛΑΣΤΙΚΩ

Ὅτι οὔτε ἀλαζόνα εἶναι χρή, οὔτε κόλακα.

Οὔτε ἀλαζόνα εἶναι χρή, οὔτε κόλακα, ἀλλ' ἀμφοτέρων κακιῶν τούτων τὴν ἀμετρίαν κολάζοντα, ἐλευθέριον εἶναι, μήτε

χρησιμοποιεῖς λοιπόν, θαυμάσιε, μέχρι τέλους αὐτὰ τὰ θαυμαστὰ προτερήματά σου.

376.- ΠΡΟΣ ΚΑΠΟΙΟΝ ΗΓΟΥΜΕΝΟ

Ὅτι ὁ Λόγος τοῦ Θεοῦ δὲν μισεῖ τοὺς λόγους, οὔτε ἡ Σοφία ἀπορρίπτει τὴ σοφία.

Μαζὶ μὲ τὶς ἄλλες ἐπωνυμίες, τὶς μεγάλες καὶ θαυμαστές, οἱ ὁποῖες φανερώνουν τὴ μεγαλοπρέπεια τῆς θείας φύσεώς του, ὅσο εἶναι δυνατόν, ἐπειδὴ δέχθηκε νὰ ὀνομασθεῖ καὶ Λόγος, δὲν μισεῖ τοὺς λόγους, οὔτε ἡ Σοφία ἀποκηρύσσει τὴ σοφία, ἀλλὰ τότε μόνο διώχνει καὶ ἐκείνους καὶ αὐτὴν ἔξω ἀπὸ τὶς ἱερὲς αὐλές, ὅταν ἐπαινοῦν τὴν κακία, καὶ ἐπιδοκιμάζουν τὴν εἰδωλολατρία. Ἐὰν ὅμως δὲν κάνουν τίποτε ἀπὸ αὐτά, καὶ τοὺς δέχεται καὶ τοὺς πλησιάζει, καὶ τοὺς κάνει συνέστιους καὶ ὁμοτράπεζους στὶς ἱερὲς συναθροίσεις.

377.- ΣΤΟΝ ΚΟΜΗΤΑ ΓΕΡΜΑΝΟ

Γιὰ τὸν πραγματικὸ τροπαιοῦχο.

Δὲν μπορεῖ δικαιολογημένα νὰ ὀνομάζεται νικητὴς αὐτὸς ποὺ νικᾶ τοὺς ἐξωτερικοὺς βαρβάρους, ἀλλὰ ἐκεῖνος ποὺ νικᾶ στὸν ἐσωτερικὸ πόλεμο τῶν ἡδονῶν. Γιατὶ πολλοί, ἐνῶ νίκησαν ἐκείνους, νικήθηκαν ἀπὸ αὐτὲς μὲ τρόπο αἰσχρὸ καὶ ἐλεεινό.

378.- ΣΤΟΝ ΣΧΟΛΑΣΤΙΚΟ ΕΠΙΜΑΧΟ

Παρακλητική.

Ὁ φίλος σου ἔχει περιπέσει σὲ πάρα πολὺ μεγάλη θαλασσοταραχὴ καταστάσεων, καὶ ἀφοῦ ἔβαλε σὲ κίνηση κάθε μηχανή, ὅπως οἱ κυβερνῆτες, τῶν ὁποίων τὴν τέχνη τὴν ἔπνιξε ὁ χειμώνας, παλεύει μὲ προσευχές. Προσευχήσου λοιπὸν καὶ σὺ ὁ ἴδιος, γιὰ νὰ νικήσει τὴ θαλασσοταραχή.

379.- ΣΤΟΝ ΣΧΟΛΑΣΤΙΚΟ ΘΕΟΔΩΡΟ

Ὅτι δὲν πρέπει κανεὶς οὔτε ἀλαζόνας νὰ εἶναι οὔτε κόλακας.

Δὲν πρέπει νὰ εἶσαι οὔτε ἀλαζόνας οὔτε κόλακας, ἀλλά, καταδικάζοντας τὴν ὑπερβολὴ καὶ τῶν δύο αὐτῶν κακῶν, νὰ εἶσαι ἐλεύθε-

εἰς αὐθάδειαν ἀποκλίνοντα, μήτε εἰς δουλοπρέπειαν καταπίπτοντα.

ΤΠ΄.– ΤΙΜΟΘΕΩ ΣΧΟΛΑΣΤΙΚΩ

Περὶ διανέξεως μεταξὺ φίλων καὶ πρὸς ἐχθρούς.

Μάνθανε, ὦ σοφώτατε καὶ ῥητορικώτατε, ὅπερ κινδυνεύεις, ὡς ἔοικεν, ἀγνοεῖν, ὅτι, εἰ συμβαίη φίλοις πρὸς ἀλλήλους διενεχθῆναι, ἢ ἐχθροῖς, οὐχ ὁμοίως διαγωνιοῦνται, ἀλλ᾽ οἱ μὲν ὡς διαλλαγησόμενοι διοίσονται, οἱ δὲ ὡς ἀκήρυκτον ἔξοντες τὸν πόλεμον.

ΤΠΑ΄.– ΔΩΡΟΘΕΩ ΛΑΜΠΡΟΤΑΤΩ

Περὶ μεγαλόφρονος καὶ μικρόφρονος, περὶ κενοδόξου καὶ ὑπερηφάνου, περὶ μεγαλοψύχου καὶ μικροψύχου.

Ἐγὼ καὶ μετριόφρονα καλῶ καὶ μεγαλόφρονα τὸν μέγιστα μὲν κατορθοῦντα, τῆς δὲ ἐπὶ τῷ μεγάλα πράττειν μὴ ἀντιποιούμενον δόξης, ἀλλὰ σιωπῇ κρύπτοντα τὰ πλεονεκτήματα, καὶ κατὰ τῶν πέλας μὴ ἐπιφυόμενον. Τῷ μὲν γὰρ πρᾶξαι μεγάλα, μεγάλως ἐφρόνησε, τῷ δὲ κρύψαι μετρίως. Τῷ γὰρ μικρόφρονι τὸν μεγαλόφρονα ἀντισταλτέον, καὶ οὐ τῷ ταπεινόφρονι. Μικρὰ γὰρ φρονεῖ ὁ τὰ γήινα ὀνειροπολῶν, μεγάλα δὲ ὁ τὰ ὑπερκόσμια ζητῶν. Διὸ δὴ καὶ ἀπὸ τῆς μεγάλης μὲν καὶ ὑψηλῆς διανοίας τίκτεσθαι συμβαίνει τὴν ταπεινοφροσύνην, ἀπὸ δὲ μικρᾶς καὶ φαύλης τὴν ἀλαζονείαν. Εὐγνώμονα δέ, οὐ ταπεινόφρονα, κλητέον τὸν πταιόντα μέν, ὁμολογοῦντα δὲ καὶ γνωσιμαχοῦντα, οἷος ἦν ὁ τελώνης. Κενόδοξον δέ, τὸν ἐφ᾽ οἷς μὴ πράττει δοξάζεσθαι βουλόμενον, φιλόδοξον δέ, τὸν ἐφ᾽ οἷς πράττει ἐναβρυνόμενον, ὑπερήφανον δέ, τὸν πράττοντα μέν, σεμνυνόμενον δὲ καὶ τοὺς ἄλλους ὀνειδίζοντα, μεγαλόψυχον δέ, τὸν καὶ τὴν εὐημερίαν μετρίως καὶ τὴν δυσπραγίαν γενναίως φέροντα, μικρόψυχον δέ, τὸν τἀναντία τῷ μεγαλοψύχῳ πράττοντά τε καὶ πάσχοντα.

ρος, χωρὶς νὰ ἀποκλίνεις πρὸς τὴν αὐθάδεια, οὔτε νὰ ξεπέφτεις σὲ δουλοπρέπεια.

380.- ΣΤΟΝ ΣΧΟΛΑΣΤΙΚΟ ΤΙΜΟΘΕΟ
Γιὰ τὴ διένεξη μεταξὺ φίλων καὶ πρὸς ἐχθρούς.

Μάθε, σοφώτατε καὶ ρητορικώτατε, αὐτὸ ποὺ κινδυνεύεις, ὅπως φαίνεται, νὰ ἀγνοεῖς, ὅτι ἐὰν συμβεῖ σὲ φίλους νὰ ἔχουν μεταξύ τους διαφορές, ἢ νὰ φιλονεικήσουν μὲ ἐχθρούς, δὲν μάχονται κατὰ τὸν ἴδιο τρόπο, ἀλλὰ οἱ φίλοι ἀγωνίζονται γιὰ νὰ συμβιβασθοῦν, ἐνῶ οἱ ἐχθροί, γιὰ νὰ ἔχουν ἀκήρυκτο πόλεμο.

381.- ΣΤΟΝ ΕΚΛΑΜΠΡΟΤΑΤΟ ΔΩΡΟΘΕΟ
Γιὰ τὸν μεγαλόφρονα καὶ μικρόφρονα, γιὰ τὸν κενόδοξο καὶ τὸν ὑπερήφανο, καὶ τὸν μεγαλόψυχο καὶ μικρόψυχο.

Ἐγὼ μετριόφρονα καὶ μεγαλόφρονα ὀνομάζω ἐκεῖνον ποὺ κάνει πολὺ μεγάλα κατορθώματα, ὅμως δὲν ἐπιδιώκει τὴ δόξα γιὰ τὰ μεγάλα κατορθώματα ποὺ κάνει, ἀλλὰ μὲ σιωπὴ κρύβει τὶς ἀρετές του, καὶ δὲν καταφέρεται ἐναντίον τῶν πλησίον του. Γιατὶ μὲ τὸ νὰ κάνει μεγάλα δείχνει ὅτι εἶναι μεγαλόφρων, ἐνῶ μὲ τὸ νὰ τὰ κρύβει δείχνει ὅτι εἶναι μετριόφρων. Πρέπει δηλαδὴ τὸν μεγαλόφρονα νὰ τὸν ἀντιδιαστέλλουμε μὲ τὸν μικρόφρονα, καὶ ὄχι μὲ τὸν ταπεινόφρονα. Γιατὶ μικρὰ φρονεῖ αὐτὸς ποὺ ὀνειρεύεται τὰ γήϊνα, ἐνῶ μεγάλα αὐτὸς ποὺ ζητᾶ τὰ ὑπερκόσμια. Γι᾽ αὐτὸ λοιπὸν καὶ ἀπὸ τὴ μεγάλη καὶ ὑψηλὴ διάνοια συμβαίνει νὰ γεννιέται ἡ ταπεινοφροσύνη, ἐνῶ ἀπὸ τὴ μικρὴ καὶ φαύλη ἡ ἀλαζονεία. Εὐγνώμονα πάλι, καὶ ὄχι ταπεινόφρονα, πρέπει νὰ ὀνομάζουμε ἐκεῖνον ποὺ κάνει βέβαια πταίσματα, ἀλλὰ τὰ ὁμολογεῖ καὶ τὰ ἀναγνωρίζει, ὅπως ὁ τελώνης, κενόδοξο ἐκεῖνον ποὺ θέλει νὰ δοξάζεται γι᾽ αὐτὰ ποὺ δὲν κάνει, φιλόδοξον ἐκεῖνον ποὺ καμαρώνει γι᾽ αὐτὰ ποὺ κάνει, ὑπερήφανον ἐκεῖνον ποὺ κάνει βέβαια, ἀλλὰ ὑπερηφανεύεται καὶ χλευάζει τοὺς ἄλλους, μεγαλόψυχον ἐκεῖνον ποὺ καὶ τὴν εὐημερία καὶ τὴν δυστυχία τὶς δέχεται μὲ γενναιότητα, καὶ μικρόψυχον ἐκεῖνον ποὺ κάνει καὶ πάσχει τὰ ἀντίθετα ἀπὸ τὸν μεγαλόψυχο.

ΤΠΒ'.– ΤΩ ΑΥΤΩ
Συμβουλευτικὴ πρὸς ἀποφυγὴν ἐπαίνων.

Εἰ καί, ὡς γέγραφας, ὁ λόγος τὸν κρότον ἐγέννησεν, ἀλλ' οὖν γε καὶ ὁ κρότος τὸν λόγον ἐπέρωσεν, ἔρεισμα τῷ τεκόντι φανείς. Ἀλλ' ἐπειδὴ πολλάκις ὁ κρότος τὸν μὲν λόγον νευροῖ, τὸν δὲ τρόπον τοῦ λέγοντος λυμαίνεται, εἰς ὑπτιότητα αὐτὸν χειραγωγῶν, παραινῶ τῇ σῇ συνέσει, μάλιστα μὲν τῷ Θεῷ εἰδέναι χάριν, τῷ καὶ τοιαύτην δεδωκότι χάριν. Εἰ δὲ καὶ ἐπαινεῖν βούλει (ὡς γὰρ ἔφης, ἀδύνατον μὴ κρότοις τὸν λόγον ἀμείβεσθαι), τὸν λόγον ἐπαινῶν, ὡς βούλει, μὴ ἄμετρα ὕφαινε κατ' ἐμοῦ ἐγκώμια, ἵνα μή με ὑπτιώσῃς.

ΤΠΓ'.– ΔΙΟΓΕΝΕΙ ΠΡΕΣΒΥΤΕΡΩ
Περὶ τῶν σιωπώντων τὰ μέγιστα κατορθώματα, καὶ τῶν προχείρως ἐπαινούντων τοὺς εὐφημίας ἐρήμους.

Ἀδελφὰ ἁμαρτάνειν μοι δοκοῦσιν οἵ τε ἐπὶ τοῖς μεγίστοις κατορθώμασι σιγῇ προέμενοι τὴν ἀλήθειαν (φθόνῳ γὰρ τήκονται, πάθει χαλεπωτάτῳ, καὶ συγγνώμης παρά γε τοῖς ἐχέφροσιν ἁμοίρῳ), καὶ οἱ προχείρως ἐπαινοῦντες τοὺς πάσης εὐφημίας ἐρήμους. Τὴν γὰρ τῶν κολάκων ἐναπομάττονται δύσκλειαν, τοῦ σωφρονισμοῦ δεομένους ἐγκωμιάζειν ἐπιχειροῦντες.

ΤΠΔ'.– ΤΙΜΟΘΕΩ ΛΑΜΠΡΟΤΑΤΩ
Προτρεπτικὴ πρὸς ἄσκησιν ὅλων τῶν ἀρετῶν.

Ὅτι μὲν τὸ πρᾶον οὐκ εὐκαταφρόνητον ἔχεις, οὐδὲ τὸ ἀνδρεῖον ἀνήμερον (ἡ γὰρ φιλανθρωπία κολάζει τὴν ὠμότητα) ἅπαντες ἴσμεν. Ὅτι δὲ χρή σε καὶ τὰς ἄλλας ἀρετὰς ἀναδήσασθαι, ἵνα πᾶσι διαλάμποις, τοῦτο παρ' ἐμοῦ μάνθανε.

ΤΠΕ'.– ΘΕΟΔΟΣΙΩ ΠΡΕΣΒΥΤΕΡΩ
Περὶ τῶν μετὰ δόλου πλεκομένων μηχανῶν τοῦ διαβόλου.

Οὐχ ἁπλῶς ἐπιτίθεται ὁ δεινὸς πειρατὴς τοῖς ταύτην τὴν χειμῶνος γέμουσαν πλέουσι θάλατταν, ἀλλὰ πρῶτον διακωδω-

382.- ΣΤΟΝ ΙΔΙΟ

Συμβουλευτικὴ πρὸς ἀποφυγὴ ἐπαίνων.

Ἂν καί, ὅπως μοῦ ἔγραψες, ὁ λόγος γέννησε τὰ χειροκροτήματα, ἀλλ' ὅμως καὶ τὰ χειροκροτήματα δυνάμωσαν τὸν λόγο, ἀφοῦ ἀποδείχθηκαν στήριγμα αὐτοῦ ποὺ τὰ προξένησε. Ἐπειδὴ ὅμως πολλὲς φορὲς τὰ χειροκροτήματα τὸν λόγο βέβαια τὸν δυναμώνουν, ἀλλὰ καταστρέφουν τὴ συμπεριφορὰ τοῦ ὁμιλητῆ, ἐπειδὴ τὸν ὁδηγοῦν σὲ ἀμέλεια, συμβουλεύω τὴ σύνεσή σου, κατὰ πρῶτον νὰ εὐχαριστεῖς ὅλως ἰδιαίτερα τὸν Θεὸ ποὺ σοῦ ἔδωσε τέτοιο χάρισμα. Ἐὰν μάλιστα θέλεις καὶ νὰ ἐπαινεῖς (γιατί, ὅπως εἶπες, εἶναι ἀδύνατο ὁ λόγος νὰ μὴ ἀμείβεται μὲ χειροκροτήματα), ἐπαινώντας τὸν λόγο, ὅπως θέλεις, νὰ μὴ ὑφαίνεις γιὰ μένα ἐγκώμια, γιὰ νὰ μὴ μὲ ὁδηγήσεις σὲ ἀνεμελιά.

383.- ΣΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟ ΔΙΟΓΕΝΗ

Γιὰ ἐκείνους ποὺ σιωποῦν τὰ πολὺ μεγάλα κατορθώματα, καὶ ἐκείνους ποὺ ἐπαινοῦν εὔκολα τοὺς στερημένους ἐπαίνων.

Μοῦ φαίνεται πὼς ἁμαρτάνουν ἐξίσου καὶ αὐτοὶ ποὺ στὰ πολὺ μεγάλα κατορθώματα παραδίδουν τὴν ἀλήθεια στὴ σιωπὴ (γιατὶ λειώνουν ἀπὸ ζήλεια, πάθος φοβερώτατο καὶ ἀσυγχώρητο γιὰ τοὺς μυαλωμένους), καὶ ἐκεῖνοι ποὺ εὔκολα ἐπαινοῦν αὐτοὺς ποὺ στεροῦνται κάθε ἔπαινο. Γιατί, ἐπιχειρώντας νὰ ἐγκωμιάσουν αὐτοὺς ποὺ ἔχουν ἀνάγκη σωφρονισμοῦ, ἀποκομίζουν τὴν κακὴ φήμη τῶν κολάκων.

384.- ΣΤΟΝ ΕΚΑΛΜΠΡΟΤΑΤΟ ΤΙΜΟΘΕΟ

Προτρεπτικὴ πρὸς ἄσκηση ὅλων τῶν ἀρετῶν.

Ὅτι βέβαια ἔχεις πραότητα ὄχι εὐκαταφρόνητη, καὶ ἀνδρεία γεμάτη ἡμερότητα (γιατὶ ἡ φιλανθρωπία τιμωρεῖ τὴν ὠμότητα), τὸ γνωρίζουμε ὅλοι, ὅτι ὅμως πρέπει νὰ στεφανωθεῖς καὶ μὲ ἄλλες ἀρετές, γιὰ νὰ διαπρέπεις σὲ ὅλα, μάθε το ἀπὸ μένα.

385.- ΣΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟ ΘΕΟΔΟΣΙΟ

Γιὰ τὶς σκευωρίες ποὺ πλέκονται μὲ δόλο ἀπὸ τὸν διάβολο.

Ὁ δεινὸς πειρατὴς δὲν ἐπιτίθεται χωρὶς κανένα σκοπὸ σ' αὐτοὺς ποὺ διασχίζουν τὴ θάλασσα τὴ γεμάτη ἀπὸ φουρτούνες, ἀλλὰ ἀφοῦ

νήσας καὶ τὰς ῥοπὰς καὶ τὰς ὁρμὰς τῆς ψυχῆς καταμαθών, οὕτως ἐπιχειρεῖ καὶ τὰς μηχανὰς πλέκει. Διὰ τί γὰρ εἰς πορνείαν οὐκ ὤθησε τὸν Ἰούδαν, ἀλλ' εἰς προδοσίαν; Ὅτι ἐκεῖνο μὲν τὸ μέρος ἑώρα ἠσφαλισμένον, τὸ δὲ περὶ φιλοχρηματίαν σφαλερὸν καὶ σαθρόν. Ἐκ γὰρ τῆς κλοπῆς τοῦ γλωσσοκόμου ἤλπισε καὶ εἰς προδοσίαν αὐτὸν ῥᾳδίως ὁρμήσειεν. Τὰς ὁρμὰς οὖν ἑκάστου καὶ τὰς συγκαταθέσεις πολυπραγμονῶν καὶ οὐδένα καιρὸν οὐδ' ὥραν παραλειπών, οὕτω τὰς ὕλας ἔξωθεν χορηγεῖ, καὶ εἰς ὃ ἐπιρρεπῶς ἔχοντα αἰσθάνεται, εἰς ἐκεῖνο τιτρώσκει. Χρὴ οὖν πανταχόθεν ἠσφαλίσθαι τὸν εὐδόκιμον. Πολλάκις γὰρ πολιτείαν, ὥσπερ πόλιν ἀπορθήτοις τείχεσι πεπυργωμένην, διὰ μέρους σαθροῦ παρεστήσατο, ματαίαν τὴν τῶν λοιπῶν τειχῶν δείξας ὀχυρότητα.

ΤΠΣ'.– ΕΛΙΣΣΑΙΩ ΜΟΝΑΖΟΝΤΙ

Περὶ Ἀρειανῶν καὶ Εὐνομιανῶν

Εἰ ὁ ἅγιος Δανιήλ, ἄγγελον θεασάμενος καὶ ἀγασθεὶς τὸ κάλλος τοῦ ὀφθέντος, προνὴς ἔπεσεν, ἐκπλαγεὶς πρὸς τὸ παράδοξον τῆς θέας, ποίαν ἔξουσιν ἀπολογίαν οἱ Πατρὶ καὶ Υἱῷ μεσιτεύειν τολμῶντες, καὶ τὴν ἄρρητον φύσιν λόγοις ζυγοστατεῖν ἐπιχειροῦντες;

ΤΠΖ'.– ΛΕΟΝΤΙΩ ΕΠΙΣΚΟΠΩ

Ὅτι ἄξιοι ἀναρρήσεως οἱ τῆς τιμῆς τῆς ἱερωσύνης τετυχηκότες καὶ ἑαυτοὺς ἀξίους θαύματος ἀποφήναντες.

Ἐγώ σε, ὦ ἁγνείας ἀνάκτορον, οὐκ ἐκ τῆς ἱερωσύνης θαυμάζω, ἀλλ' ὅτι προσηκόντως ταύτης τετύχηκας. Πολλοὶ μὲν γὰρ αὐτῇ ἐπεκώμασαν οὐκ εὐαγῶς, οἱ δὲ εἰκότως τετυχηκότες τῆς τιμῆς καὶ διὰ τέλους ἑαυτοὺς οὐ μόνον μέμψεως κρείττους, ἀλλὰ καὶ θαύματος ἀξίους ἀποφήναντες, οὗτοι παρὰ πάντων ἀναρρηθῆναι ἂν εἶεν δίκαιοι, ὧν εἷς καὶ αὐτὸς τυγχάνων, μυρίοις ὀφθαλμοῖς τὰ κατὰ σαυτὸν περισκόπει, μή ποτέ τι παροφθέν, τῇ τοσαύτῃ λυμήνηται ἀρετῇ.

πρῶτα ἀφοῦ ἐξετάσει καλὰ καὶ διαγνώσει τὶς κλίσεις καὶ τὶς ὁρμὲς τῆς ψυχῆς, τότε ἐπιτίθεται καὶ πλέκει τὶς μηχανορραφίες. Γιατί δηλαδὴ δὲν ἔσπρωξε τὸν Ἰούδα στὴν πορνεία, ἀλλὰ στὴν προδοσία; Ἐπειδὴ ἐκείνη τὴν πλευρὰ τὴν ἔβλεπε ἀσφαλισμένη, ἐνῶ ἡ πλευρὰ τῆς φιλοχρηματίας ἦταν ἐπιρρεπὴς στὰ πταίσματα καὶ σαθρή. Γιατὶ ἀπὸ τὴν κλοπὴ τοῦ ταμείου ἔλπιζε ὅτι εὔκολα αὐτὸς θὰ ὁρμήσει καὶ σὲ προδοσία. Ἀφοῦ λοιπὸν ἐξετάσει προσεκτικὰ τὶς τάσεις καὶ τὶς προθέσεις τοῦ καθενός, χωρὶς νὰ ἀφήσει ἀνεκμετάλλευτη καμμιὰ εὐκαιρία καὶ ὥρα, τότε χορηγεῖ καὶ τὰ ὑλικὰ ἀπέξω, καὶ σ' ἐκεῖνο τὸ σημεῖο ποὺ αἰσθάνεται ὅτι εἶναι ἐπιρρεπὴς στὴν πτώση, σ' ἐκεῖνο πληγώνει. Πρέπει λοιπὸν ἀπὸ παντοῦ νὰ εἶναι ἀσφαλισμένος αὐτὸς ποὺ εὐδοκιμεῖ στὴ ζωή. Γιατὶ πολλὲς φορὲς ζωὴ ἐνάρετη, ποὺ εἶναι ὠχυρωμένη σὰν πόλη μὲ ἀπόρθητα τείχη, τὴν κυρίεψε ἀπὸ ἕνα μέρος ἑτοιμόρροπο, ἀποδεικνύοντας ἄχρηστη τὴν ὀχύρωση μὲ τὰ ὑπόλοιπα τείχη.

386.– ΣΤΟΝ ΜΟΝΑΧΟ ΕΛΙΣΣΑΙΟ
Γιὰ τοὺς Ἀρειανοὺς καὶ τοὺς Εὐνομιανούς.

Ἐὰν ὁ ἅγιος Δανιήλ, ὅταν εἶδε ἕναν ἄγγελο, θαμπωμένος ἀπὸ τὴν ὀμορφιὰ ἐκείνου ποὺ εἶδε, ἔπεσε μπρούμυτα, ἔκπληκτος ἀπὸ τὸ παράδοξο θέαμα, ποιὰ δικαιολογία θὰ ἔχουν αὐτοὶ ποὺ τολμοῦν νὰ μεσιτεύουν στὸν Πατέρα καὶ τὸν Υἱό, καὶ ἐπιχειροῦν νὰ ζυγίσουν τὴν ἀπερίγραπτη φύση μὲ λόγια;

387.– ΣΤΟΝ ΕΠΙΣΚΟΠΟ ΛΕΟΝΤΙΟ
Ὅτι εἶναι ἄξιοι γιὰ στεφάνια ἐκεῖνοι ποὺ ἀξιώθηκαν τῆς τιμῆς τῆς ἱερωσύνης καὶ κατέστησαν ἀξιοθαύμαστο τὸν ἑαυτό τους.

Ἐγώ, ναὲ τῆς ἀγνότητας, δὲν σὲ θαυμάζω ἀπὸ τὴν ἱερωσύνη σου, ἀλλ' ἐπειδὴ τὴν ἔλαβες ὅπως ἔπρεπε. Γιατὶ πολλοὶ τὴν ἐπιθύμησαν, ἀλλὰ ὄχι μὲ ἁγνότητα, ἐνῶ αὐτοὶ ποὺ δέχθηκαν εὔλογα τὴν τιμή, καὶ μέχρι τὸ τέλος ἀπέδειξαν τοὺς ἑαυτούς τους ὄχι μόνο ἀνώτερους ἀπὸ μομφή, ἀλλὰ καὶ ἄξιους θαυμασμοῦ, αὐτοὶ πρέπει νὰ ἀνακηρυχθοῦν ἀπὸ ὅλους. Ἐπειδὴ εἶσαι καὶ σὺ ἕνας ἀπὸ αὐτούς, πρόσεχε τὸν ἑαυτό σου μὲ μύρια μάτια, μήπως κάτι ποὺ παραβλέφθηκε, σοῦ καταστρέψει τὴν τόσο μεγάλη ἀρετή.

ΤΠΗ'.– ΙΕΡΑΚΙ ΠΡΕΣΒΥΤΕΡΩ

Περὶ ἀναγνώσεως, κατὰ Ἑλλήνων. Περὶ τῆς χάριτος τῶν θεοπνεύστων Γραφῶν καὶ τῆς ἐξ αὐτῶν ὠφελείας.

Οἱ θεῖοι καὶ οὐράνιοι χρησμοὶ τοῖς μὲν τῶν καλῶν ἀνεράστοις γράμματα μόνον εἶναι δοκοῦσι, τοῖς δὲ ὑπερκοσμίοις καὶ φιλοθεάμοσι λειμωνές εἰσιν εὐανθεῖς, ὥσπερ ἐξ οὐρανίου νέκταρος βρύοντες ἀκηράτοις ἄνθεσιν. Ἐξαρκοῦσι μὲν γὰρ καὶ μόνον ῥηθέντες πρὸς ἔκπληξιν, κατανοοῦσι δὲ σχολὴν ἄγειν οὐκ ἐπιτρέπουσιν, ἀλλὰ παρασκεύαζουσι πᾶσαν τὴν νοερὰν αἴσθησιν τρέπειν εἰς ἑαυτούς, ὡς πρὶν τὸ παρὸν ἀκριβῶς θεάσασθαι, ποθεῖν τὸ ἑξῆς, κἀκεῖνο θεασαμένους, ὅπερ ἀπέλιπον ζητεῖν, καὶ τὸ τρίτον ἰδόντας, οὐκ ἔχειν ὅτι θαυμάσουσιν. Εἴσω γὰρ τοῦ γράμματος παραπέμποντες τὸν νοῦν, τοσούτου πίμπλανται θαύματος καὶ τοσαύτης πληροῦνται χάριτος, ὥστε μηδὲν ἔτι χωρῆσαι τῶν ἐπιγείων πραγμάτων δύνασθαι, μηδὲ ἂν πάντα πρὸς αὐτοὺς συρρέῃ τὰ περιμάχητα, λήθης, ὧν πρότερον ἐθαύμαζον, ἐκνικησάσης.

ΤΠΘ'.– ΔΙΟΓΕΝΕΙ ΜΑΓΙΣΤΡΙΑΝΩ

Εἰς τὸ γεγραμμένον, «Ἐὰν ἴδῃς τὸ ὑποζύγιον τοῦ ἐχθροῦ σου πεπτωκὸς ὑπὸ τὸν γόμον, οὐ παρελεύσῃ, ἀλλὰ συνεγείρῃς».

Καὶ ἐν τῇ Παλαιᾷ Διαθήκῃ, ὦ σοφέ, ἐπειδήπερ ἀπὸ ταύτης μόνης ἡμῖν διαλέγῃ, τὴν Νέαν παρείς, εἰ καὶ μὴ φανερῶς μηδὲ διαρρήδην, ἀλλ' αἰνιγματωδῶς ἡμῖν ἐνομοθέτησεν ἡ ἡμερωτάτη φύσις, καταλλάττεσθαι τῷ ἐχθρῷ, φήσασα· «Ἐὰν ἴδῃς τὸ ὑποζύγιον τοῦ ἐχθροῦ σου πεπτωκὸς ὑπὸ τὸν γόμον, οὐ παρελεύσῃ, ἀλλὰ συνεγείρῃς αὐτό». Εἰ δὲ οὐκ ἐφικνῇ ἀτενίσαι πρὸς τὸ βάθος τοῦ χρησμοῦ, ἐγώ σοι τοῦτον ἑρμηνεῦσαι καὶ τοῦ νομοθέτου ἀναπτύξαι τὸ βούλημα πειράσομαι. Οὐ γὰρ τοσοῦτον τοῦ ζώου κηδόμενος, ἀλλ' αὐτῶν ἕνεκα μάλιστα τῶν ἀνθρώπων

51. Ἐξ. 23, 4-5.

388.- ΣΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟ ΙΕΡΑΚΑ

Γιὰ τὴν ἀνάγνωση. Ἐναντίον τῶν ἐθνικῶν. Γιὰ τὴ χάρη τῶν θεοπνεύστων Γραφῶν καὶ τὴν ὠφέλεια ἀπὸ αὐτές.

Οἱ θεῖες καὶ οὐράνιες ἐντολές, σ' αὐτοὺς ποὺ δὲν ἔχουν ἔρωτα γιὰ τὰ καλά, φαίνονται πὼς εἶναι μόνο γράμματα, ἐνῶ γιὰ τοὺς ὑπερκόσμιους καὶ φιλοθεάμονες εἶναι λειβάδια γεμᾶτα ὡραῖα ἄνθη, πού, σὰν ἀπὸ οὐράνιο νέκταρ, γεμίζουν τὰ πάντα ἀπὸ ἀμάραντα λουλούδια. Γιατὶ ἀρκοῦν καὶ μόνο ὅταν λέγονται νὰ προκαλοῦν ἔκπληξη, καὶ σὲ ἐκείνους ποὺ τὶς κατανοοῦν, δὲν τοὺς ἀφήνουν χρόνο νὰ ἀναπαυθοῦν, ἀλλὰ τοὺς κάνουν νὰ στρέφουν ὅλη τὴ νοερὴ αἴσθηση μέσα τους, ὥστε, προτοῦ δοῦν καλὰ ἐκεῖνο ποὺ εἶναι μπροστά τους, νὰ ποθοῦν νὰ δοῦν τὸ ἑπόμενο, καὶ ὅταν τὸ δοῦν καὶ αὐτό, νὰ ἀναζητοῦν ἐκεῖνο ποὺ παρέλειψαν, καὶ ὅταν δοῦν καὶ τὸ τρίτο, δὲν ἔχουν τί νὰ θαυμάσουν. Γιατί, στέλνοντας τὸν νοῦ τους μέσα στὸ γράμμα, γεμίζουν μὲ τόσο θαυμασμὸ καὶ μὲ τόση χάρη, ὥστε νὰ μὴ μποροῦν πιὰ νὰ χωρέσουν κανένα ἀπὸ τὰ ἐπίγεια πράγματα, οὔτε καὶ ἂν συρρέουν σ' αὐτοὺς ὅλα τὰ περιπόθητα, ἐπειδὴ ἡ λήθη νίκησε ἐκεῖνα ποὺ προηγουμένως θαύμαζαν.

389.- ΣΤΟΝ ΜΑΓΙΣΤΡΙΑΝΟ ΔΙΟΓΕΝΗ

Σ' αὐτὸ ποὺ ἔχει γραφεῖ· «Ἐὰν δεῖς τὸ ὑποζύγιο τοῦ ἐχθροῦ σου νὰ ἔχει πέσει ἀπὸ τὸ βάρος τοῦ φορτίου, νὰ μὴ τὸ προσπεράσεις, ἀλλὰ νὰ τὸ σηκώσεις»[51].

Καὶ στὴν Παλαιὰ Διαθήκη, σοφέ, ἐπειδὴ μόνο μὲ αὐτὴν συζητᾶς μαζί μου, ἀφήνοντας τὴν Καινή, ἂν καὶ ἡ ἡμερότατη φύση δὲν νομοθέτησε φανερὰ καὶ ξεκάθαρα, ἀλλὰ μὲ αἰνίγματα μᾶς ἔδωσε ἐντολὲς νὰ συμφιλιωνόμαστε μὲ τὸν ἐχθρό, λέγοντας· «Ἐὰν δεῖς τὸ ὑποζύγιο τοῦ ἐχθροῦ σου πεσμένο ἀπὸ τὸ βάρος τοῦ φορτίου, νὰ μὴ τὸ προσπεράσεις, ἀλλὰ νὰ τὸ σηκώσεις»[51α]. Ἐὰν ὅμως δὲν φτάνεις νὰ ἐξιχνιάσεις τὸ βάθος τοῦ ρητοῦ, ἐγὼ θὰ σοῦ τὸ ἑρμηνεύσω, καὶ θὰ προσπαθήσω νὰ σοῦ ἀναπτύξω τὸ θέλημα τοῦ νομοθέτη. Γιατὶ αὐτὸ δὲν τὸ νομοθέτησε ἐπειδὴ ἐνδιαφερόταν τόσο πολὺ γιὰ τὸ ζῶο, ἀλλὰ γιὰ τοὺς ἴδιους

51α. Ὅπ. π.

τοῦτ' ἐθέσπισεν. Ὁ γὰρ ἐχθρὸς ἐρχόμενος εἰς τὸ συνεγεῖραι τὸ πεπτωκὸς ζῶον, πάντως ὁμιλήσει τῷ ἐχθρῷ καὶ λέξει, ἐκεῖθεν σὺ ἔγειρον, κἀγὼ ἐντεῦθεν. Ὁμιλία δὲ προοίμιόν ἐστι καταλλαγῆς καὶ ὁδὸς ἐπὶ φιλίας ἄγουσα. Τρία τοίνυν κάλλιστα ἐσπούδασε κατορθωθῆναι ἡ θεία γαληνότης, ἓν μὲν τὸ μὴ διαφθαρῆναι τὸ ζῶον, ἕτερον δὲ τὸ μὴ ζημιωθῆναι τὸν δεσπότην, τρίτον δὲ τὸ καταλλαγῆναι πρὸς φιλίαν τοὺς ἐχθρούς. Ὁ γὰρ παθὼν εὖ, εἰ καὶ λίθων ἀναισθητότερος εἴη, σπουδάσει ἀμείψασθαι τὸν εὐεργέτην, ὁ δὲ εὐεργέτην ἐπιγραφόμενος, οὐκ ἂν δήπου ἐχθρὸν ἔτι ὁριεῖται. Ὁρᾷς πῶς ἡ ἄρρητος σοφία πρὸς ἀγαθότητα καὶ φιλανθρωπίαν βλέπουσα νομοθετεῖ;

ΤΗ'.– ΛΑΜΠΕΤΙΩ ΔΙΑΚΟΝΩ

Ὅτι ἥδιον ἂν πάντας εὐεργετήσας, ὡς πάντας ἀδικήσας δοίην δίκην, ἢ ἀδικήσας τινά, ὡς πάντας εὐεργετήσας στεφανωθείην.

Εἰ καὶ ὑπερβολικῶς νομιοῦσί τινες εἰρῆσθαι τὸ ῥηθησόμενον (οἶδα γὰρ πολλοὺς ἀγενῶς καὶ ἀνάνδρως διακειμένους), ἐγὼ τὴν ἐμαυτοῦ γνώμην φράσω. Ἡγοῦμαι γάρ, εἶναί τινας τοὺς ἀποδεξομένους, εἰ δὲ καὶ μηδεὶς ἀποδέξοιτο, ἡ ἀλήθεια προκεκρίσθω. Τί οὖν ἐστιν ὃ βούλομαι φράσαι; Συντόμως λεκτέον. Ἥδιστα (ἥδιον) ἂν πάντας εὐεργετήσας, ὡς πάντας ἀδικήσας δοίην δίκην, ἢ ἀδικήσας τινά, ὡς πάντας εὐεργετήσας, στεφανωθείην καὶ ἀναρρηθείην.

ΤΗΑ'.– ΤΩ ΑΥΤΩ

Τοῦ Δευτερονομίου, εἰς τὸ εἰρημένον περὶ τῶν ἀστέρων, «Ἃ ἀπένειμε Κύριος ὁ Θεός σου πᾶσι τοῖς ἔθνεσιν».

Τί ἐστιν, ἔφης, τὸ περὶ τῶν οὐρανίων φωστήρων εἰρημένον, «Ἃ ἀπένειμε Κύριος ὁ Θεός σου πᾶσι τοῖς ἔθνεσιν». Ἄκουε τοίνυν· ἀπένειμε πρὸς διδασκαλίαν, πρὸς παίδευσιν, πρὸς γνῶσιν, ἵν' ἐκ τοῦ μεγέθους καὶ τῆς καλλονῆς τῶν κτισμάτων ὁ

52. Δευτ. 4, 19. 52α. Ὅπ. π.

τοὺς ἀνθρώπους. Γιατὶ πηγαίνοντας ὁ ἐχθρὸς νὰ σηκώσει τὸ πεσμένο ζῶο, θὰ μιλήσει ὁπωσδήποτε μὲ τὸν ἐχθρό, καὶ θὰ τοῦ πεῖ· Ἐσὺ σήκωσέ το ἀπὸ ἐκεῖ, καὶ ἐγὼ ἀπὸ ἐδῶ. Ἡ ὁμιλία βέβαια εἶναι ἡ ἀρχὴ τῆς συμφιλίωσης καὶ ὁ δρόμος ποὺ ὁδηγεῖ στὴ φιλία. Τρία λοιπὸν πάρα πολὺ καλὰ φρόντισε ἡ θεία γαληνότητα νὰ εἶναι τὰ κατορθώματα. Ἕνα, τὸ νὰ μὴ πάθη ζημιὰ τὸ ζῶο. Δεύτερο, νὰ μὴ ζημιώσει ὁ κύριός του. Καὶ τρίτο, νὰ συμφιλιωθοῦν οἱ ἐχθροί. Γιατὶ αὐτὸς ποὺ εὐεργετήθηκε, ἔστω καὶ ἂν εἶναι πιὸ ἀναίσθητος ἀπὸ πέτρα, θὰ θελήσει νὰ ἀμείψει τὸν εὐεργέτη, καὶ αὐτὸς ποὺ χαρακτηρίζει κάποιον εὐεργέτη, δὲν τὸν θεωρεῖ πιὰ ἐχθρό. Βλέπεις μὲ ποιὸν τρόπο νομοθετεῖ ἡ ἀπόρρητη σοφία, ἀποβλέποντας πρὸς τὴν ἀγαθότητα καὶ τὴ φιλανθρωπία;

390.- ΣΤΟΝ ΔΙΑΚΟΝΟ ΛΑΜΠΕΤΙΟ

Ὅτι εἶναι εὐχάριστο ἄν, ἔχοντας εὐεργετήσει ὅλους, τιμωρηθεῖς σὰ νὰ τοὺς ἀδίκησες ὅλους, παρὰ ἀδικώντας κάποιον, νὰ στεφανωθεῖς σὰν νὰ εὐεργέτησες ὅλους.

Ἂν καὶ μερικοὶ νομίζουν ὅτι ἔχει λεχθεῖ μὲ τρόπο ὑπερβολικὸ αὐτὸ ποὺ θὰ λεχθεῖ (γιατὶ ξέρω ὅτι πολλοὶ διάκεινται μὲ ἀγένεια καὶ ἀνανδρία), ἐγὼ θὰ πῶ τὴ δική μου γνώμη. Γιατὶ ὑπάρχουν, νομίζω, μερικοὶ ποὺ τὸ ἀποδέχθηκαν, ἀλλὰ καὶ κανένας νὰ μὴ τὸ ἀποδεχόταν, πρέπει νὰ προτιμᾶται ἡ ἀλήθεια. Τί εἶναι λοιπὸν αὐτὸ ποὺ θέλω νὰ πῶ; Πρέπει νὰ εἰπωθεῖ μὲ συντομία. Μὲ εὐχαρίστηση, ἔχοντας εὐεργετήσει ὅλους, θὰ δεχόμουν νὰ τιμωρηθῶ σὰν νὰ τοὺς ἀδίκησα ὅλους, παρά, ἀδικώντας ἕναν, νὰ στεφανωθῶ καὶ νὰ ἀνακηρυχθῶ, σὰν νὰ τοὺς εὐεργέτησα ὅλους.

391.- ΣΤΟΝ ΙΔΙΟ

Τοῦ Δευτερονομίου· Σ᾽ αὐτὸ ποὺ ἔχει εἰπωθεῖ γιὰ τὰ ἄστρα· «Τὰ ὁποῖα διένειμε ὁ Κύριος καὶ Θεός σου σὲ ὅλα τὰ ἔθνη»[52].

Τί σημαίνει, ρώτησες, αὐτὸ ποὺ εἰπώθηκε γιὰ τὰ οὐράνια φωτιστικὰ σώματα, «Τὰ ὁποῖα διένειμε ὁ Κύριος Θεός σου σὲ ὅλα τὰ ἔθνη»[52α]. Ἄκουσε λοιπόν· Τὰ διένειμε πρὸς διδασκαλία καὶ παιδαγωγία, ὥστε ἀπὸ τὸ μέγεθος καὶ τὴν ὁμορφιὰ τῶν κτισμάτων νὰ βλέπεται

γενεσιουργός, ἀόρατος ὤν, θεωρῆται. Τοῦτο δὲ ἔφη, ἐπειδὴ τοῖς Ἑβραίοις μετὰ τῆς κρίσεως καὶ ἡ τοῦ νόμου διδασκαλία ἐδόθη, ἀνακηρύττουσα τὸν δημιουργὸν καὶ τεχνίτην. Εἰ δέ τινες οἴονται ἀπονενεμῆσθαι πρὸς τὸ προσκυνῆσαι αὐτοῖς, λαμπρῶς τὴν οἰκείαν ἀπαιδευσίαν στηλιτεύουσι, πάσης τῆς ἱερᾶς Γραφῆς αἰτιωμένης καὶ καταφορικῶς κατηγορούσης τῶν τοῦτο ποιῆσαι τολμησάντων.

ΤΚΒ΄.– ΙΕΡΑΚΙ ΛΑΜΠΡΟΤΑΤΩ

Ὅτι ἀρετῆς σημεῖον τὸ δόξαν καλὴν κτήσασθαι μᾶλλον, ἢ πλοῦτον μέγαν συναγαγεῖν.

Ἀρετῆς σημεῖον οὐ μικρόν, ὦ ἄριστε, ἀλλ᾽ ὡς δυνατὸν καὶ μέγιστον ἐκφέρεις, προῃρημένος δόξαν καλὴν κτήσασθαι μᾶλλον, ἢ πλοῦτον μέγαν συναγαγεῖν. Ὥστε, ἂν ἐμμείνῃς ταύτῃ τῇ γνώμῃ, οὐκ ἀπορήσεις τῶν ἐγκωμιασομένων καὶ πᾶσιν ἀνθρώποις τὴν σὴν φρόνησιν ἀγόντων (ᾄσόντων).

ΤΚΓ΄.– ΑΡΠΟΚΡΑ ΣΟΦΙΣΤΗ

Περὶ τῆς τῶν λόγων δυνάμεως.

Οἱ τὰς τῶν λόγων δυνάμεις ἀποδοκιμάζοντες, οὐ λανθάνουσι τὸ τῆς οἰκείας ἀλογίας ὄνειδος ἐπὶ ταύτας μεταφέρειν τολμῶντες, οἱ δὲ ταύτας ἀποδεχόμενοι μὲν ὅταν τῇ ἀληθείᾳ συναγωνίζοιντο, κακίζοντες δὲ ὅταν τῇ κακίᾳ συμπράττοιεν, οὗτοι καὶ τὴν τῆς ἀνθρωπότητος εὐγένειαν ἴσασιν, ὅτι λόγῳ τετίμηται, καὶ τὴν τῆς κακουργίας τῶν οὐκ ὀρθῶς τοῖς λόγοις χρωμένων οὐκ ἀγνοοῦσι σκαιότητα.

ΤΚΔ΄.– ΔΩΡΟΘΕΩ ΛΑΜΠΡΟΤΑΤΩ

Περὶ τῶν τὴν ἱερωσύνην ἐνεχειριζόντων τοῖς ὥσπερ ἐξ ἀγορᾶς αὐτὴν ὠνουμένοις καὶ μεῖζον φρονούντων ἐπὶ τούτῳ, ἢ ἕτεροι ἐπὶ καλοκαγαθίᾳ καὶ ἀκτημοσύνῃ.

Ἀπιστεῖν μέν σοι οὐκ ἔχω, παραινῶ δὲ μὴ σκανδαλίζεσθαι,

ὁ δημιουργός, ποὺ εἶναι ἀόρατος. Αὐτὸ βέβαια τὸ εἶπε, ἐπειδὴ στοὺς Ἑβραίους μαζὶ μὲ τὴ δημιουργία δόθηκε καὶ ἡ διδασκαλία τοῦ νόμου, ἡ ὁποία διακηρύττει τὸν δημιουργὸ καὶ τεχνίτη. Ἐὰν ὅμως μερικοὶ νομίζουν ὅτι διανεμήθηκαν γιὰ νὰ τὰ προσκυνοῦν, στηγματίζουν μὲ τρόπο ὁλοφάνερο τὴν ἀπαιδευσιά τους, ἀφοῦ ὅλη ἡ ἁγία Γραφὴ κατακρίνει καὶ κατηγορεῖ μὲ σφοδρότητα ἐκείνους ποὺ τὸ τόλμησαν αὐτό.

392.- ΣΤΟΝ ΕΚΛΑΜΠΡΟΤΑΤΟ ΙΕΡΑΚΑ

Ὅτι ἀπόδειξη ἀρετῆς εἶναι τὸ νὰ ἀποκτήσει κανεὶς μᾶλλον φήμη καλή, παρὰ νὰ συγκεντρώσει πλοῦτο μεγάλο.

Παρουσιάζεις ὄχι μικρὸ δεῖγμα ἀρετῆς, ἄριστε, ἀλλὰ καὶ πάρα πολύ, κατὰ τὸ δυνατόν, μεγάλο, ἔχοντας προτιμήσει νὰ ἀποκτήσεις φήμη καλὴ μᾶλλον, παρὰ νὰ συγκεντρώσεις μεγάλο πλοῦτο. Ἐὰν λοιπὸν ἐπιμείνεις σ' αὐτή σου τὴ γνώμη, δὲν θὰ στερηθεῖς αὐτοὺς ποὺ θὰ σὲ ἐγκωμιάσουν, καὶ θὰ μεταδίδουν σὲ ὅλους τοὺς ἀνθρώπους τὴ φρόνησή σου.

393.- ΣΤΟΝ ΣΟΦΙΣΤΗ ΑΡΠΟΚΡΑ

Γιὰ τὴ δύναμη τῶν λόγων.

Αὐτοὶ ποὺ ἀποδοκιμάζουν τὶς δυνάμεις τῶν λόγων, χωρὶς νὰ τὸ καταλαβαίνουν τολμοῦν νὰ μεταφέρουν σ' αὐτὲς τὴν ντροπὴ τοῦ δικοῦ τους παραλογισμοῦ. Ἐνῶ ἐκεῖνοι ποὺ τὶς δέχονται βέβαια ὅταν ἀγωνίζονται μαζὶ μὲ τὴν ἀλήθεια, καὶ τὶς κατηγοροῦν ὅταν συνεργάζονται μὲ τὴν κακία, αὐτοὶ καὶ τὴν εὐγένεια τῆς ἀνθρωπότητας γνωρίζουν, γιατὶ ἔχει τιμηθεῖ μὲ τὸν λόγο, καὶ δὲν ἀγνοοῦν τὴ βαναυσότητα τῆς κακουργίας ἐκείνων ποὺ δὲν χρησιμοποιοῦν τοὺς λόγους σωστά.

394.- ΣΤΟΝ ΕΚΛΑΜΠΡΟΤΑΤΟ ΔΩΡΟΘΕΟ

Γιὰ ἐκείνους ποὺ παραδίδουν τὴν ἱερωσύνη σ' ὅσους κατὰ κάποιο τρόπο τὴν ἀγοράζουν, καὶ καυχῶνται γι' αὐτὸ περισσότερο αὐτοί, παρὰ ἄλλοι γιὰ τὴν καλοκαγαθία καὶ ἀκτημοσύνη.

Δὲν μπορῶ βέβαια νὰ μὴ πιστέψω σὲ σένα, σὲ συμβουλεύω ὅμως

ἀλλ' ἀναμένειν τὴν ἀδέκαστον κρίσιν. Καὶ γὰρ παραινέσας τοιαῦτα, καὶ ἄλλον ἄνδρα μισοπόνηρον ἀνέστειλα, ταὐτά σοι φράσαντα καὶ καταρρητορεύσαντα αὐτήν, καὶ φήσαντα· Οἱ μὲν ἀπόστολοι, ἅτε τῷ θείῳ Πνεύματι σεσοφισμένοι καὶ τὴν Ἐκκλησίαν ὡς δεσποτικὴν νύμφην οὕτω διεκόσμησαν, ὡς μήτε τῶν χειρόνων αὐτῇ μηδὲ διενοχλεῖν, μήτ' εἶναί τι κάλλιον, ὃ χρὴ τῷ θεσμῷ προστεθῆναι. Τινὲς δὲ τῶν νῦν τὸν διδασκαλικόν, οὐκ οἶδ' ὅπως, ἐμπεπιστευμένων θρόνον, τολμῶσι νεωτερίζειν, καὶ τὸν παρ' ἐκείνων κοσμίως καὶ εὐσεβῶς θεμελιωθέντα θεσμὸν ἀτιμάσαντες, τὰ οἰκεῖα προκρίνουσι, τὸν ἐξ ἀρχῆς κόσμον ἀτιμότερον, δι' ὧν ποιοῦσι, νομίζοντες. Ἵνα γὰρ καὶ τ' ἄλλα παρῶ, ἕν, εἰς ὃ πάντα τείνει, λέξω. Ἐκείνῳ γὰρ τῷ χρήμασι ὠνήσασθαι προσδοκήσαντι τὴν ἀποστολικὴν ἀξίαν, ἐπιπλήξάντων καὶ φησάντων, «Τὸ ἀργύριόν σου σὺν σοὶ εἴη εἰς ἀπώλειαν, ὅτι τὴν δωρεὰν τοῦ Θεοῦ ἐνόμισας διὰ χρημάτων κτᾶσθαι· οὐκ ἔστι σοι μερὶς οὔτε κλῆρος ἐν τῷ λόγῳ τούτῳ», οὗτοι τούτοις μάλιστα τοῖς ἱερωσύνην ἐνεχείρισαν τοῖς ὥσπερ ἐξ ἀγορᾶς αὐτὴν ὠνησαμένοις. Καὶ οὐ τοῦτό πω δεινόν, καίπερ ὂν δεινόν, ἀλλὰ καὶ μεῖζον φρονοῦσιν ἐπὶ τούτῳ, ἢ ἕτεροι ἐπὶ καλοκαγαθίᾳ καὶ ἀκτημοσύνῃ. Καὶ ὅταν μὲν δόξωσι παρά τινων λοιδορεῖσθαι, εὐθὺς τὸ ἀποστολικὸν ἀξίωμα προφέρουσιν (οὐ γὰρ ἡμᾶς, φασίν, ἀλλὰ τὴν ἐπισκοπὴν ὕβρισαν), ὅταν δὲ δέῃ τι πρᾶξαι τῶν δεόντων, οὐκ ἔτι τοῦτο προφέρουσιν, ὡς ἐξὸν αὐτοῖς τιμᾶσθαι μὲν ὡς ἀποστόλους, μὴ πράττειν δὲ ὡς ἀποστόλους.

Ὥσπερ τοίνυν ἐκεῖνος, πεισθεὶς τῇ ἡμετέρᾳ παραινέσει καὶ ἀκούσας ὅτι ἀτοπώτατόν ἐστι, τὰ ἑαυτῶν παρέντας κακά, τὰ τῶν ἄλλων περιεργάζεσθαι, ἀπῆλθε χαλινὸν ἐμβαλὼν τῇ ἑαυτοῦ γλώττῃ καὶ σιγὴν ἑαυτοῦ καταψηφισάμενος, οὕτω καὶ σὺ πείσθητι, καὶ ἀπὸ τῶν διδασκάλων πρὸς σαυτὸν τρέψον τὴν ἔρευναν.

νὰ μὴ σκανδαλισθεῖς, ἀλλὰ νὰ περιμένεις τὴν ἀδέκαστη κρίση. Γιατὶ συμβουλεύοντας τὰ ἴδια, καὶ ἄλλον ἄνδρα ποὺ μισοῦσε τὸ κακό, τὸν σταμάτησα, ὅταν εἶπε τὰ ἴδια μὲ σένα καὶ κατακεραύνωσε αὐτήν, καὶ εἶπε· Οἱ ἀπόστολοι βέβαια, διδαγμένοι ἀπὸ τὸ ἅγιο Πνεῦμα, καὶ τὴν Ἐκκλησία, σὰν νύφη τοῦ Κυρίου, τὴν διακόσμησαν ἔτσι, ὥστε νὰ μὴ τὴν ἐνοχλεῖ τίποτε ἀπὸ τὰ χειρότερα, οὔτε νὰ ὑπάρχει κάτι καλύτερο, τὸ ὁποῖο νὰ πρέπει νὰ προστεθεῖ στὸν θεσμό. Μερικοὶ ὅμως ἀπὸ αὐτοὺς πού, δὲν ξέρω πῶς κατέχουν τώρα τὸν διδασκαλικὸ θρόνο, τολμοῦν νὰ νεωτερίζουν, καὶ τὸν θεσμὸ ποὺ θεμελιώθηκε ἀπὸ ἐκείνους (τοὺς Ἀποστόλους) μὲ κοσμιότητα καὶ εὐσέβεια, ἀφοῦ τὸν ἀτίμασαν, προτιμοῦν τὰ δικά τους, θεωρώντας τὸν ἀπὸ τὴν ἀρχὴ διάκοσμο πιὸ ἄτιμο ἀπὸ αὐτὰ ποὺ κάνουν. Γιατί, γιὰ νὰ ἀφήσω τὰ ἄλλα, θὰ πῶ μόνο ἕνα, στὸ ὁποῖο ἀποβλέπουν ὅλα. Ἐνῶ δηλαδὴ ἐκεῖνον ποὺ νόμισε πὼς μὲ χρήματα θὰ ἀγοράσει τὸ ἀποστολικὸ ἀξίωμα, τὸν ἐπέπληξαν καὶ εἶπαν, «Τὰ χρήματά σου νὰ χαθοῦν μαζὶ μὲ σένα, γιατὶ νόμισες ὅτι εἶναι δυνατὸν νὰ ἀποκτήσεις μὲ χρήματα τὴ δωρεὰ τοῦ Θεοῦ. Δὲν ἔχεις μερίδα, οὔτε κλῆρο, στὸ πρᾶγμα αὐτό»[53], αὐτοὶ σ᾽ αὐτοὺς προπάντων ἔδωσαν τὴν ἱερωσύνη, οἱ ὁποῖοι τὴν ἀπέκτησαν σὰν μὲ ἀγορά. Καὶ δὲν εἶναι βέβαια αὐτὸ φοβερό, ἂν καὶ εἶναι φοβερό, ἀλλὰ καὶ καυχῶνται γι᾽ αὐτὸ περισσότερο, ἀπὸ ὅσο οἱ ἄλλοι γιὰ τὴν καλοκαγαθία καὶ τὴν ἀκτημοσύνη. Καὶ ὅταν βέβαια νομίσουν ὅτι βρίστηκαν ἀπὸ κάποιους, ἀμέσως προβάλλουν τὸ ἀποστολικὸ ἀξίωμα (γιατὶ λένε, Δὲν ἔβρισαν ἐμᾶς, ἀλλὰ τὸ ἐπισκοπικὸ ἀξίωμα), ὅταν ὅμως χρειασθεῖ νὰ κάνουν κάτι ἀπὸ αὐτὰ ποὺ πρέπει, τότε δὲν τὸ ἀναφέρουν αὐτό, σὰν νὰ μποροῦν αὐτοὶ νὰ τιμῶνται ὡς ἀπόστολοι, ἀλλὰ νὰ μὴ ἐνεργοῦν σὰν τοὺς ἀποστόλους.

Ὅπως λοιπὸν ἐκεῖνος πείσθηκε μὲ τὴν παραίνεσή μου, καὶ ἀφοῦ ἄκουσε ὅτι εἶναι πιὸ ἄτοπο, παραβλέποντας τὰ δικά μας κακά, νὰ περιεργαζόμαστε τὰ κακὰ τῶν ἄλλων, ἔφυγε βάζοντας χαλινάρι στὴ γλώσσα του καὶ προτιμώντας τὴ σιωπὴ γιὰ τὸν ἑαυτό του, ἔτσι καὶ σὺ νὰ πεισθεῖς, καὶ ἀπὸ τοὺς δασκάλους νὰ στρέψεις τὴν ἔρευνα στὸν ἑαυτό σου.

---

53. Πράξ. 8,20.

ΤΞΕ.– ΠΕΤΡΩ ΣΧΟΛΑΣΤΙΚΩ
Περὶ τῆς ἀληθοῦς πανηγύρεως.

Πανήγυριν ἔγωγε κυρίως εἶναί φημι, τὴν ὑπὸ μηδεμιᾶς αἰσχρᾶς ἐπιμιξίας χραινομένην, ἀλλὰ τῇ ἁγνείᾳ καὶ ταῖς ἀρεταῖς ἐναβρυνομένην.

ΤΞΣ'.– ΛΥΣΟΝΙΩ ΚΟΡΡΗΚΤΟΡΙ
Ὅτι ἡ σύνεσις, τοῦ ἔρωτος τῶν χρημάτων ἀπηλλαγμένη, βασανιστήριόν ἐστι δικαιοσύνης.

Ἡ σύνεσις, ὅταν τὸν τῶν χρημάτων ἐξοστρακίσῃ ἔρωτα, βασανιστήριόν ἐστι δικαιοσύνης ἀψευδέστατον. Εἰ δὲ τοῦτον προσίοιτο, καπηλεῦσαι τὸ δίκαιον καὶ νοθεῦσαι τὴν ψῆφον οὐ πιραιτήσοιτο.

ΤΞΖ'.– ΘΕΟΔΟΣΙΩ ΕΠΙΣΚΟΠΩ
Περὶ τῆς παρρησίας κατὰ τὴν ἴασιν, καὶ ὅτι χρὴ μιγνύναι ταύτῃ τὴν προσήνειαν, τὴν δὲ ἰατρείαν ἐπιτρέπειν τῇ θείᾳ δεξιᾷ.

Οἶδα πολλάκις ἐμαυτῷ παραινέσας τοιαῦτά τινα· Ὦ Ἰσίδωρε, ἐπειδὴ τὰ μεγάλα πράγματα μεγάλοις κινδύνοις φιλεῖ κατορθοῦσθαι, χρῆσαι τῇ πρεπούσῃ παρρησίᾳ· τάχα πως ἐρυθριάσουσιν, οἱ μηδὲ ἐρυθριᾶν ἐν τοῖς πταίσμασιν εἰδότες, ἴσως μὲν γὰρ κατορθώσειας. Εἰ δέ τι καὶ πείσαιο ἄχαρι, μετὰ τῶν προφητῶν καὶ τῶν ἀποστόλων καὶ τῶν ἄλλων ἁγίων πείσῃ, μεθ' ὧν σοι εὐκταῖόν ἐστιν ἑνὶ τῶν πολλῶν ὄντι, εἰ καὶ μὴ ἐν τοῖς κατορθώμασιν, ἀλλ' οὖν γε ἐν τοῖς παθήμασιν ἀριθμεῖσθαι. Ἀλλ' ἀνταπεκρίθην, ἐμαυτῷ λέγων, ὅτι τὰ μὲν ἄλλα εὖ λέγεις, καὶ σοὶ ἕτοιμός εἰμι πείθεσθαι, πῶς δὲ δὴ παρρησιασόμεθα; Ἆρα ἀκράτῳ τῇ παρρησίᾳ χρησάμενοι, ἢ κεράσαντες αὐτὴν προσηνείᾳ; Οἶδα γὰρ τινὰς μὲν ὑπὸ τῆς σφοδρᾶς ἐπιτιμήσεως ἰαθέντας, τινὰς δὲ ἐπιτριβέντας καὶ εἰς χαλεπωτέραν παιδοτριβηθέντας κακίαν, ἄλλοις δὲ τῆς μετρίας συμβουλῆς καὶ παρρησίας καταγελάσαντας, καὶ οὐδὲν αὐτὴν εἶναι ἡγη-

395.- ΣΤΟΝ ΣΧΟΛΑΣΤΙΚΟ ΠΕΤΡΟ

Γιὰ τὸ ἀληθινὸ πανηγύρι.

Πανηγύρι, λέγω ἐγώ, κυρίως εἶναι αὐτὸ ποὺ δὲν μολύνεται ἀπὸ καμμιὰ αἰσχρὴ ἐπιμιξία, ἀλλὰ καμαρώνει γιὰ τὴν ἁγνότητα καὶ τὶς ἀρετές.

396.- ΣΤΟΝ ΣΩΦΡΟΝΙΣΤΗ ΛΥΣΟΝΙΟ

Ὅτι ἡ σύνεση, ἀπαλλαγμένη ἀπὸ τὸν ἔρωτα γιὰ τὰ χρήματα, εἶναι κριτήριο τῆς δικαιοσύνης.

Ἡ σύνεση, ὅταν ἀποβάλει τὸν ἔρωτα τῶν χρημάτων, εἶναι ἀψευδέστατο κριτήριο τῆς δικαιοσύνης. Ἐὰν ὅμως διακατέχεται ἀπὸ τὸν ἔρωτα τῶν χρημάτων, τότε δὲν θὰ ἀποφύγει νὰ ἐμπορευθεῖ τὸ δίκαιο καὶ νὰ νοθεύσει τὴν ἀπόφαση.

397.- ΣΤΟΝ ΕΠΙΣΚΟΠΟ ΘΕΟΔΟΣΙΟ

Γιὰ τὴν παρρησία κατὰ τὴ θεραπεία, καὶ ὅτι πρέπει νὰ ἀναμιγνύει κανεὶς σ' αὐτὴν τὴν καλωσύνη, καὶ νὰ ἀναθέτει τὴ θεραπεία στὴ θεία δύναμη.

Γνωρίζω, ὅτι πολλὲς φορὲς συμβούλεψα στὸν ἑαυτό μου μερικὰ τέτοια· Ἰσίδωρε, ἐπειδὴ τὰ μεγάλα πράγματα συνήθως κατορθώνονται μὲ μεγάλους κινδύνους, χρησιμοποίησε τὴν παρρησία ποὺ πρέπει. Ἴσως νὰ κοκκινίσουν κάπως ἀπὸ ντροπή, αὐτοὶ ποὺ οὔτε ὅταν φταῖνε ξέρουν νὰ κοκκινίζουν. Γιατὶ ἴσως καὶ νὰ τὸ κατορθώσεις. Ἐὰν ὅμως πάθεις καὶ κάτι τὸ δυσάρεστο, θὰ τὸ πάθεις μαζὶ μὲ τοὺς προφῆτες καὶ ἀποστόλους καὶ τοὺς ἄλλους ἁγίους, μαζὶ μὲ τοὺς ὁποίους μακάρι νὰ εἶσαι ἕνας ἀπὸ τοὺς πολλούς, ἂν ὄχι μὲ τὰ κατορθώματα, ἀλλὰ τοὐλάχιστον νὰ συναριθμηθεῖς μὲ αὐτοὺς μὲ τὰ παθήματα. Ἀλλὰ ἀνταπάντησα στὸν ἑαυτό μου λέγοντας, ὅτι τὰ ἄλλα βέβαια τὰ λὲς καλά, καὶ εἶμαι πρόθυμος νὰ πεισθῶ, πῶς ὅμως θὰ δείξω παρρησία; Ἄραγε χρησιμοποιώντας ἀπεριόριστη παρρησία, ἢ ἀναμιγνύοντάς την μὲ πραότητα; Γιατὶ γνωρίζω μερικοὺς ποὺ θεραπεύθηκαν ἐξαιτίας τῆς αὐστηρῆς ἐπίπληξης, μερικοὺς ποὺ ἐρεθίσθηκαν καὶ παροτρύνθηκαν σὲ φοβερώτερη κακία, καὶ ἄλλοι πάλι μὲ τὴν ἤπια συμβουλὴ καὶ παρρησία γέλασαν κοροϊδευτικά, καὶ δὲν

σαμένους. Πῶς οὖν τις τοσούτοις πάθεσιν ἓν προσενέγκῃ φάρμακον; Πῶς δὲ θεραπεύσει, τῶν αἰτίων ἐξ ἐναντίων παθῶν φυουσῶν; Οὐκοῦν, ἔφην πρὸς ἐμαυτόν, ὅπερ καὶ πρὸς σὲ νῦν φημι. Ὅτι, εἰ μὲν σὺ μόνος ἀποτυγχάνειν ἔμελλες, ὀκνεῖν ἐχρῆν, εἰ καὶ Μωσῆς καὶ Ἠλίας καὶ Ἰωάννης, οἱ θεοφιλεῖς ἄνδρες, οὔτε συμβουλεύσαντες οὔτε παρρησιασάμενοι ὤνησαν ἐκείνους (οὐ μὴν τὰ καθ' ἑαυτοὺς χεῖρον διέθεσαν), χρὴ τῇ μὲν παρρησίᾳ μιγνύναι τὴν προσήνειαν, τῇ δὲ θείᾳ δεξιᾷ ἐπιτρέπειν τὴν ἰατρείαν. Τὰ γὰρ κακὰ ἴσασι πάντες ἄνθρωποι σχεδὸν ἀφ' ἑαυτῶν, τὰ καλὰ δὲ οὐδὲ παρ' ἄλλων ἀκούοντες μαθεῖν ἐθέλουσιν.

ΤΗ΄.– ΑΛΥΠΙΩ

Περὶ τοῦ πιστευθέντος τὰ πέντε τάλαντα.

Καταβολήν, ὦ βέλτιστε, ἀργυρίου λέγει τὴν τῶν θείων Γραφῶν διδασκαλίαν, τόκον δὲ ἀκροάσεως, τὴν τῶν ἔργων ἐπίδειξιν. Ὄφελος γὰρ οὐδὲν ἀκροάσεως, ὅταν ἡ διὰ τῶν ἔργων ἐπίδειξις μὴ συμβαίνει τοῖς λεγομένοις. Ὅτι δὲ τοῦτ' ἐστὶν ἀληθές, τιμωρία ἕπεται τῷ μὲν διδάσκοντι καὶ πράττοντι, εἰ μὴ καὶ φράσειεν, τῷ δ' ἀκούοντι, εἰ μὴ καὶ πράξειεν.

ΤΘ΄.– ΑΡΧΟΝΤΙΩ

Εἰς τό, «Καθ' ἡμέραν ἀποθνήσκω».

«Καθ' ἡμέραν ἀποθνήσκω», ἔφη ὁ Ἀπόστολος τῷ πρὸς τοῦτο παρασκευάσθαι. Ὁ γὰρ παρασκευαζόμενος εἴς τι, εἰ καὶ μὴ τῇ πείρᾳ αὐτὸ ὑποσταίη, ὑφίσταται τῇ προσδοκίᾳ καὶ τῇ προθυμίᾳ. Ἀπὸ γὰρ τῶν ἐπιχειρημάτων, οὐκ ἐκ τῶν ἀποτελεσμάτων τὰ πράγματα ὡς τὰ πολλὰ κρίνεται, ἀπὸ τῆς γνώμης, οὐκ ἀπὸ τοῦ τέλους ὁ στέφανος πλέκεται. Εἰ δὲ καί, ὅτι κινδυνεύουσιν οἱ ὀρθῶς ἁπτόμενοι φιλοσοφίας, λέληθε τοὺς πολλούς,

---

54. Ματθ. 25, 15.

τὴν ὑπολόγισαν καθόλου. Πῶς λοιπὸν κανεὶς στὰ τόσο πολλὰ πάθη θὰ προσφέρει ἕνα φάρμακο; Καὶ πῶς θὰ θεραπεύσει, ὅταν οἱ αἰτίες προέρχονται ἀπὸ ἀντίθετα πάθη; Εἶπα λοιπὸν στὸν ἑαυτό μου, αὐτὸ ποὺ λέγω τώρα σὲ σένα· Ἐὰν βέβαια ἐπρόκειτο νὰ ἀποτύχεις μόνο ἐσύ, ἔπρεπε νὰ διστάζεις, ἂν ὅμως καὶ ὁ Μωυσῆς καὶ ὁ Ἠλίας καὶ ὁ Ἰωάννης, οἱ ἀγαπητοὶ ἄνδρες τοῦ Θεοῦ, χωρὶς νὰ συμβουλεύσουν, οὔτε νὰ μιλήσουν μὲ παρρησία, ὠφέλησαν ἐκείνους, χωρὶς νὰ βλάψουν τοὺς ἑαυτούς τους, πρέπει ὁπωσδήποτε στὴν παρρησία νὰ ἀναμίξουμε καὶ τὴν πραότητα, καὶ νὰ ἀναθέσουμε τὴ θεραπεία στὴ δεξιὰ τοῦ Θεοῦ. Γιατὶ τὰ κακὰ τὰ γνωρίζουν σχεδὸν ὅλοι οἱ ἄνθρωποι ἀπὸ μόνοι τους, τὰ καλὰ ὅμως οὔτε ὅταν τὰ ἀκοῦνε ἀπὸ τοὺς ἄλλους θέλουν νὰ τὰ μάθουν.

398.– ΣΤΟΝ ΑΛΥΠΙΟ

Γιὰ ἐκεῖνον ποὺ τοῦ ἐμπιστεύθηκε τὰ πέντε τάλαντα[54].

Καταβολὴ χρημάτων, φίλε μου, ἐννοεῖ τὴ διδασκαλία τῶν θείων Γραφῶν, καὶ τόκο τῆς ἀκρόασης, τὴν ἐπίδειξη τῶν ἔργων. Γιατὶ δὲν ὑπάρχει κανένα ὄφελος ἀπὸ τὴν ἀκρόαση, ὅταν ἡ ἐπίδειξη μὲ τὰ ἔργα δὲν συμβαδίζει μὲ αὐτὰ ποὺ λέγονται. Ὅτι αὐτὸ εἶναι ἀληθινό, φαίνεται ἀπὸ τὸ ὅτι ἀκολουθεῖ τιμωρία σ' αὐτὸν ποὺ διδάσκει καὶ πράττει τὰ λεγόμενα, ἐὰν δὲν μιλήσει, καὶ σὲ ἐκεῖνον ποὺ ἀκούει, ἂν δὲν ἐφαρμόσει αὐτὰ ποὺ ἀκούει.

399.– ΣΤΟΝ ΑΡΧΟΝΤΙΟ

Στό· «Κάθε μέρα πεθαίνω»[55].

«Κάθε μέρα πεθαίνω», εἶπε ὁ Ἀπόστολος τὴν προετοιμασία γι' αὐτό. Γιατὶ αὐτὸς ποὺ προετοιμάζεται γιὰ κάτι, κι' ἂν ἀκόμα δὲν τὸ ὑποστεῖ αὐτὸ ἔμπρακτα, τὸ ὑφίσταται μὲ τὴν ἀναμονὴ καὶ τὴν προθυμία. Γιατὶ τὰ πράγματα συνήθως κρίνονται ὄχι ἀπὸ τὰ ἀποτελέσματα, ἀλλὰ ἀπὸ τὶς προσπάθειες, καὶ τὸ στεφάνι πλέκεται ἀπὸ τὴν θέληση, καὶ ὄχι ἀπὸ τὸ ἀποτέλεσμα. Ἐὰν ὅμως, τὸ ὅτι κινδυνεύουν αὐτοὶ ποὺ καταγίνονται σωστὰ μὲ τὴν κατὰ Χριστὸν ζωή, διαφεύγει τοὺς πολλούς, ὅτι πεθαίνουν ὡς πρὸς τὸν κόσμο μὲ τὸ νὰ νεκρώνουν τὶς ἡδονές,

55. Α΄ Κορ. 15, 31.

ὅτι τῷ κόσμῳ ἀποθνήσκουσι διὰ τοῦ νεκροῦν τὰς ἡδονάς, ἐπίστησον. Ἐκεῖνο μὲν γὰρ πιθανώτερον, τοῦτο δὲ πικρότερον.

Υ΄.– ΚΑΣΣΙΩ ΠΡΕΣΒΥΤΕΡΩ
Περὶ αἰσχύνης.

Τὸ μὲν εἰδέναι αἰσχύνεσθαι ἃ δεῖ, αἰσχύνης ὄντως ἀπαλλάττει, τὸ δὲ μὴ εἰδέναι, αἰσχύνῃ ἀθανάτῳ περιβάλλει.

ΥΑ΄.– ΖΩΣΙΜΩ ΠΡΕΣΒΥΤΕΡΩ
Περὶ τῶν ἀκολάστως βιούντων.

Εἰ οἱ νηστείαις καὶ χαμευνίαις καὶ ταῖς ἄλλαις σκληραγωγίαις τὸ σῶμα δαμάζοντες, καὶ ταύτῃ τὴν ἄλογον τῶν παθῶν ἐξουσίαν κολάζοντες, ἁλοῖεν ἅπαξ ὑπὸ ἐπιθυμίας κεχειρωμένοι, οὐ συγγνωσθήσονται, οἱ τὸ ἀκόλαστον παρακαλοῦντες καὶ διὰ τῆς τρυφῆς τοῦτο διεγείροντες, ὧν ἕνα σέ φασιν εἶναι, ποίας ἀπολαύσειαν συγγνώμης;

ΥΒ΄.– ΚΑΣΣΙΑΝΩ ΔΙΑΚΟΝΩ
Τῆς Νέας, τῶν δ΄ Εὐαγγελίων, εἰς τό,
«Ἐν ἀρχῇ ἦν ὁ Λόγος.

Ὁ θεολόγος καὶ θεοφιλὴς Ἰωάννης, ὁ τῆς βροντῆς ὄντως υἱός, θεοφράστῳ γλώττῃ (ὑπὸ ἁγίου γὰρ Πνεύματος ἐκινεῖτο) τὴν τοῦ θείου Λόγου ὑπόστασίν τε καὶ ἰδιότητα, ἀϊδιότητά τε καὶ βασιλείαν, οὐκ ἐπίκτητον, ἀλλ᾽ οὐσιώδη τυγχάνουσαν, ἀνεκήρυξε, καὶ τῷ πολλάκις τὸ «ἦν» εἰπεῖν, τὸ «ἐκ μὴ ὄντων» ἐξωστράκισε.

ΥΓ΄.– ΤΩ ΑΥΤΩ
Ὅτι χρὴ κιρνᾶν τῇ τῶν δογμάτων ὀρθότητι, τὴν ἀπὸ τῆς πολιτείας φιλοσοφίαν.

Κιρνᾶν, ὦ σοφώτατε, τῇ τῶν δογμάτων ὀρθότητι, τὴν ἀπὸ τῆς πολιτείας φιλοσοφίαν, εἴ γε ἀληθές ἐστιν, ἀληθὲς δέ, ὅτι

μάθε το καλά. Γιατὶ τὸ πρῶτο εἶναι τὸ πιθανώτερο, ἐνῶ αὐτὸ τὸ πιὸ πικρό.

400.- ΣΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟ ΚΑΣΣΙΟ
Γιὰ τὴ ντροπή.

Τὸ νὰ γνωρίζουμε αὐτὰ ποὺ πρέπει νὰ ντρεπόμαστε, μᾶς ἀπαλλάσσει πραγματικὰ ἀπὸ τὴν ντροπή, ἐνῶ τὸ νὰ μὴ τὰ γνωρίζουμε, μᾶς περιβάλλει μὲ ἀθάνατη ντροπή.

401.- ΣΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟ ΖΩΣΙΜΟ
